Εἰς τὴν σύστασιν τοῦ Κοινοβίου προέβη ὁ Ἀββᾶς Γελάσιος, οὐχὶ ἀπὸ προσωπικὸν θέλημα, ἀλλὰ ἀπὸ θείαν ἀποκάλυψιν Ἐκείνου, ποὺ προηγουμένως εἶχεν ὑποδείξει παρόμοιον καὶ εἰς τὸν θεῖον Παχώμιον, δηλαδὴ τοῦ Θεοῦ.

8. Ὁ Γέρων ἐκεῖνος Ἀσκητής, περὶ τοῦ ὁποίου ἀναφέρομεν ἀνωτέρω, βλέπων τὸν Ἀββᾶν Γελάσιον νὰ ἀσχολῆται εἰς αὐτὰ καὶ ἀγαπῶν εἰλικρινῶς αὐτόν, τοῦ ἔλεγε μὲ ἀδελφικὸν θάρρος:

—Φοβοῦμαι, Ἀββᾶ Γελάσιε, μήπως ὁ νοῦς σου δεθῇ εἰς τὰ χωράφια καὶ τὰ κτήματα τοῦ Κοινοβίου.

Ὁ Ἀββᾶς Γελάσιος τότε ἀπαντοῦσε.

—Περισσότερον ὁ λογισμὸς ὁ ἰδικός σου ἔχει δεθῆ εἰς τὸ κεντητήριον, μετὰ τοῦ ὁποίου ἐργάζεσαι, παρὰ ὁ λογισμὸς τοῦ Γελασίου εἰς τὰ κτήματα τοῦ Κοινοβίου.

9. Μερικοὶ Γέροντες διηγοῦντο, ὅτι ὁ Ἀββᾶς Γεώργιος ὁ Ἀναχωρητής, ἐπὶ τριάκοντα πέντε ἔτη περιήρχετο γυμνὸς εἰς τὰς ἐρήμους. Τὸ κατόρθωμα αὐτὸ καὶ πολλοὶ ἄλλοι ἐκ τῶν Ἁγίων τὸ ἐπέτυχαν.

10. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Εὐτρόπιον:

—Πῶς πρέπει, Ἀββᾶ, νὰ ρυθμίζω τὰ ἀφορῶντα τὴν συντήρησιν τοῦ σώματος ζητήματα;

Καὶ ὁ Γέρων ἀπήντησε:

—Χορτάρι νὰ τρώγῃς, χορτάρι νὰ φορῇς καὶ εἰς χορτάρι νὰ κοιμᾶσαι. Μόνον τὴν καρδιά σου νὰ κάμῃς σιδερένια, διὰ νὰ ἔχῃς τὴν δύναμιν νὰ τὰ περιφρονῇς ὅλα.

Μὲ τὴν ἀπάντησιν αὐτὴν ὁ Γέρων συνεβούλευσε τὸν ἀδελφὸν νὰ θεωρῇ τὰ πάντα εὐτελῆ καὶ ἄνευ ἀξίας, ὅπως τὸ χορτάρι, νὰ γυμνητεύῃ καὶ νὰ ἱκανοποιῇ τὰς βιοτικὰς αὐτοῦ ἀνάγκας μόνον μὲ τὸν χόρτον καὶ τὰς βοτάνας τῆς γῆς.

11. Ὁ ἴδιος Γέρων διδάσκων ἔλεγε: αἱ σωματικαὶ ἀνάγκαι (τροφή, ἐνδυμασία κ.λ.π.) εἶναι ὑλικά, ποὺ τροφοδοτοῦν τὰ πάθη καὶ τὰς ψυχοκτόνους φροντίδας. Αὐτὸς λοιπόν, ποὺ ἀγαπᾷ αὐτὰ τὰ ζητήματα, ἐπιθυμεῖ νὰ ἔχῃ εἰς τὴν πνευματικήν του προσπάθειαν ἐμπόδια καὶ δυσκολίας. Ἐὰν λοιπὸν κάποτε μᾶς συμβῇ νὰ χάσωμεν κάτι σωματικόν, πρέπει τότε νὰ ἐξομολογηθῶμεν καὶ νὰ χαίρωμεν, διότι ἀπηλλάγημεν ἀπὸ ἐνοχλητικὰς φροντίδας.

ΙϚ´. Τοῦ Ἀββᾶ Νείλου.

ΡΟΔΑ τοῦ βίου εἰσὶν ὑποκριταί, πλεονέκται, φιλήδονοι, ἀλλὰ μετὰ μικρόν, τὸν χόρτον θεωρεῖς πατούμενον.

2. Ἀμέλει δὲ πάντων ὅσα κτηνώδη κατασκευάζει τὸν ἄνθρωπον· ὅσον

γὰρ ὁ βίος ῥυπαρός, κτηνώδης εἰκότως ἡ ψυχή, καὶ πενθεῖν δεῖ, ὡς τὸ λογικὸν ὑφ' ἑαυτῶν ζημιωθέντες, ὀφείλουσι κόλασιν.

3. Μὴ βούλου οὖν πλουτεῖν μηδὲ δοξάζεσθαι, φθορὰ γὰρ ταῦτα τοῦ βίου, ἡμεῖς δὲ οὐκ ἐσμεν ὡσεὶ φθειρόμενοι. Πάντα φθαρτὰ νόμιζε εἶναι, τὴν δὲ ἀρετὴν ἄφθαρτον· ταύτην ἀεὶ ἐπιμελοῦ· αὕτη γὰρ θεὸν διὰ φιλοσοφίας τὸν ἄνθρωπον ἀποδείκνυσιν.

Ἑ ρ μ η ν ε ί α

ΟΙ ΥΠΟΚΡΙΤΑΙ, οἱ πλεονέκται καὶ οἱ φιλήδονοι ὁμοιάζουν εἰς τὴν ζωὴν αὐτήν, μὲ τριαντάφυλλα, τὰ ὁποῖα ἐλάχιστα διατηροῦνται, καὶ ἐντὸς ὀλίγου βλέπεις αὐτὰ νὰ καταπατοῦνται, ὡς χόρτα ἄνευ ἀξίας.

2. Νὰ περιφρονῇς ὅλα ὅσα μεταβάλλουν τὸν ἄνθρωπον εἰς κτῆνος· διότι ὅταν ἡ ζωὴ εἶναι ἐρρυπωμένη ἀπὸ τὴν ἁμαρτίαν, κατὰ φυσικὴν συνέπειαν καὶ ἡ ψυχὴ θὰ εἶναι ἡ ἰδία. Εἰς τὴν περίπτωσιν αὐτὴν οἱ ἄνθρωποι πρέπει νὰ πενθοῦν καὶ νὰ λυποῦνται, διότι ἀσφαλῶς θὰ κολασθοῦν, διὰ τὰς παραλόγους αὐτὰς πράξεις των.

3. Μὴ ἐπιθυμῇς λοιπὸν νὰ πλουτίζῃς, οὔτε νὰ δοξάζεσαι, διότι ὅλα αὐτὰ σὲ καταστρέφουν· ἐνῷ ἡμεῖς δὲν ἐπλάσθημεν ἀπὸ τὸν Θεὸν διὰ νὰ καταστραφῶμεν. Ὅλα νὰ τὰ θεωρῇς, ὅτι εἶναι φθαρτά· μόνον ἡ ἀρετὴ παραμένει ἄφθαρτος καὶ αὐτὴν πάντοτε νὰ φροντίζῃς. Διότι ἡ ἀρετή, διὰ τῆς ὑψηλῆς φιλοσοφίας, ἀναδεικνύει τὸν ἄνθρωπον θεὸν κατὰ Χάριν.

ΙΖ'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἰουλιανοῦ, ὅτι περὶ τὰ ἑβδομήκοντα ἔτη ἐποίησεν εἰς ἓν σπήλαιον μικρόν, μὴ κτησάμενός τι τοῦ αἰῶνος τούτου, πλὴν στιχαρίου τριχίνου καὶ σαγίου καὶ καυκίου ξυλίνου καὶ βαυκαλίου.

2. Παρέβαλόν ποτε τῷ Ἀββᾷ Μακαρίῳ ἀδελφοὶ εἰς Σκῆτιν, καὶ οὐχ εὗρον ἐν τῷ κελλίῳ οὐδέν, εἰ μὴ ὕδωρ σαπρόν· καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, δεῦρο ἄνω εἰς τὴν κώμην, καὶ ἀναπαύομέν σε. Ὁ δὲ εἶπεν αὐτοῖς· οἴδατε, ἀδελφοί, τὸ ἀρτοκοπεῖον τοῦ δεῖνος εἰς τὴν πόλιν; ἀπεκρίθησαν ἐκεῖνοι· ναί· λέγει αὐτοῖς ὁ Γέρων· κἀγὼ οἶδα αὐτό· εἶτα πάλιν ἐρωτᾷ· οἴδατε καὶ τὸ χωρίον τοῦ δεῖνος, ὅπου ὁ ποταμὸς κρούει; καὶ εἶπον, ναί· λέγει αὐτοῖς ὁ Γέρων· κἀγὼ οἶδα αὐτό· ὅτε οὖν χρήζω τινὸς ὧν θέλω, οὐ χρήζω ὑμῶν, ἀλλ' ἑαυτὸν ἀναβιβάζω.

Τοῦ Πατρὸς

ΟΡΑΣ τὴν ἑκούσιον ἀκτημοσύνην καὶ κακουχίαν τοῦ Γέροντος, πῶς καὶ εὐχερῶς ἔχων τὰ ἀναγκαῖα πορίσασθαι, οὐκ ἠβούλετο, ἀλλ' ᾑρεῖτο μᾶλλον τῷ σαπρῷ ὕδατι, καὶ τοῖς ἀγρίοις τάχα βοτάνοις τὴν ἔνδειαν παραμυθεῖσθαι τοῦ σώματος;

3. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μεγεθίου, ὅτι ἐξήρχετο καὶ μετὰ τὸ ἐξελθεῖν, εἰ ἦλθεν αὐτῷ λογισμὸς ἀναχωρῆσαι πρὸς ἕτερον τόπον, εὐθὺς ἀπῄει, καὶ οὐκ ἀνέκαμπτεν εἰς τὴν κέλλαν αὐτοῦ· οὐδὲ γὰρ εἶχεν ἐν αὐτῇ τι τοῦ αἰῶνος τούτου,

εἰ μὴ μόνην ῥαφίδα, δι' ἧς τα θαλλία ἔσχιζεν· εἰργάζετο δὲ καθ' ἡμέραν τρία μαλάκια.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σιλουανοῦ, ὅτι ἐξῆλθεν ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας ἄνευ βουλῆς αὐτοῦ, καὶ λαβὼν τοὺς ἀδελφούς, κατέστρεψε τὸν φραγμὸν τοῦ κήπου, καὶ μείζονα αὐτὸν ἐποίησεν, ἤτοι πλείονα τόπον περιλαβών. Μαθὼν δὲ ὁ Γέρων, ἔλαβε τὸ μηλωτάριον αὐτοῦ, καὶ ἐξελθών, λέγει τοῖς ἀδελφοῖς· εὔξασθε ὑπὲρ ἐμοῦ· οἱ δὲ ἔπεσον εἰς τοὺς πόδας αὐτοῦ λέγοντες· εἰπὲ ἡμῖν τί ἔχεις, ὦ Πάτερ; καὶ παρεκάλουν αὐτὸν εἰσελθεῖν. Ὁ δὲ εἶπεν· οὐκ εἰσέρχομαι ἔσω, οὐ καταβαίνει τὸ μηλωτάριον ἀπ' ἐμοῦ, ἕως οὗ ἐνέγκητε τὸν φραγμὸν εἰς τὸν πρῶτον αὐτοῦ τόπον· οἱ δὲ πάλιν κατέστρεψαν τὸν φραγμὸν καὶ ἐποίησαν αὐτὸν ὡς ἦν τὸ πρότερον, καὶ οὕτως ὁ Γέρων ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σεραπίωνα λέγων· εἰπέ μοι λόγον· καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· τί σοι ἔχω εἰπεῖν, ὅτι ἔλαβες τὰ τῶν χηρῶν καὶ ὀρφανῶν καὶ ἔθηκας εἰς τὴν θυρίδα ταύτην; Εἶδε γὰρ αὐτὴν μεστὴν βιβλίων· τῷ γὰρ μεμονωμένῳ, οὐ χρεία κτήσεως βιβλίων πολλῶν.

6. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· θησαυρός ἐστι Μοναχῷ ἡ ἑκούσιος ἀκτημοσύνη· θησαύρισον, ἀδελφέ, ἐν οὐρανῷ· ἀπέραντοι γὰρ τῆς ἀναπαύσεως οἱ αἰῶνες.

7. Ἦλθε τις μέγας ἐκ τῆς ξένης, ἐνέγκας μεθ' ἑαυτοῦ πολὺ χρυσίον ἐν τῇ Σκήτει, καὶ παρεκάλει τὸν Πρεσβύτερον, ἵνα δοθῇ τοῖς ἀδελφοῖς· εἶπε δὲ ὁ Πρεσβύτερος· οὐ χρείαν ἔχουσιν οἱ ἀδελφοί· καὶ πολλὰ βιασάμενος αὐτόν, ἔβαλε τὸ χρυσίον εἰς σπυρίδα καὶ ἔθηκεν εἰς τὴν θύραν τῆς Ἐκκλησίας. Ὡς οὖν ἦλθον οἱ ἀδελφοί, εἶπεν αὐτοῖς ὁ Πρεσβύτερος· ὁ χρείαν ἔχων, λαβέτω· καὶ οὐδεὶς ἤγγισεν αὐτῷ, τινὲς δὲ οὐδὲ προσέσχον. Λέγει δὲ πρὸς τὸν ἐνεγκόντα τὸ χρυσίον ὁ Πρεσβύτερος· ἐδέξατο ὁ Θεὸς τὴν ἀγάπην σου, λοιπὸν λάβε αὐτό, καὶ ὕπαγε διάδος πτωχοῖς. Καὶ ὠφεληθεὶς ἀπῆλθεν ὁ ἄνθρωπος.

8. Ἠρώτησέ τις ἀδελφὸς Γέροντα, λέγων· θέλεις ἵνα κρατήσω ἑαυτῷ δύο ὁλοκότινα εἰς λόγον ἀσθενείας σώματος; καὶ ἀπεκρίθη ὁ Γέρων· οὐκ ἔστι καλὸν κρατῆσαι πλεῖον τῆς χρείας· τὰ οὖν δύο ὁλοκότινα ἐὰν κρατήσῃς, εἰς αὐτὰ εὑρίσκεται ἡ ἐλπίς σου· καὶ ἐὰν συμβῇ αὐτοῖς ἀπώλεια, οὐκέτι ὁ Θεὸς φροντίζει σου. Ἐπ' Αὐτὸν οὖν τὴν φροντίδα ἡμῶν ἐπιῤῥίψωμεν, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν.

9. Ἦλθόν τινες τῶν Ἑλλήνων ἐν Ὀστρακίνῃ δοῦναι ἀγάπην· καὶ ἔλαβον μεθ' ἑαυτῶν τοὺς οἰκονόμους, ἵνα δείξωσιν αὐτοῖς τοὺς χρείαν ἐπάναγκον ἔχοντας· καὶ ἀποφέρουσιν αὐτοὺς πρός τινα λελωβημένον καὶ ἐδίδουν αὐτῷ· ὁ δὲ οὐκ ἔλαβεν εἰπών· ἰδοὺ τὰ μικρὰ ταῦτα βαΐα πλέκω κοπιῶν, καὶ ἐσθίω τὸν ἄρτον μου ἐξ αὐτῶν πορίζόμενος, καὶ πλείονος χρείαν οὐκ ἔχω.

10. Καὶ πάλιν ἀποφέρουσιν εἰς κελλίον χήρας τινὸς ἐχούσης θυγατέρα, καὶ ὡς ἔκρουσαν τὴν θύραν, ὑπήκουσεν αὐτῶν ἡ θυγάτηρ ἔνδον οὖσα, καὶ ἱμάτιον φοροῦσα διεῤῥωγός, καὶ μόλις τὰ ἀναγκαῖα μέρη καλύπτον τοῦ σώματος. Ὡς οὖν προελθοῦσαν αὐτὴν εἶδον, παρεῖχον αὐτῇ ἱμάτιον καὶ κέρμα, ἡ δὲ οὐ κατεδέξατο λαβεῖν εἰποῦσα, ὅτι εἰπέ μοι ἡ μήτηρ μου σήμερον, ὅτι εὗρον ἐργάσασθαι, θελήσαντος τοῦ Θεοῦ, καὶ ἔχομεν τὴν τροφὴν ἡμῶν· ἦν δὲ ἡ μήτηρ αὐτῆς πλύντρια, καὶ ἀπῆλθεν ἐργάσασθαι. Ἐπανελθοῦσαν δὲ ταύτην ἐκ τοῦ ἔργου, παρεκάλεσαν αὐτὴν λαβεῖν, καὶ οὐκ ἠθέλησεν, εἰποῦσα· ἐγὼ ἔχω φροντιστήν μου τὸν Θεόν, ὑμεῖς δὲ βούλεσθε λαβεῖν Αὐτὸν ἀπ' ἐμοῦ; καὶ ἀκούσαντες, ἐδόξασαν τὸν Θεόν.

11. Εἶπε Γέρων· ἄνθρωπος γευσάμενος τῆς γλυκύτητος τῆς ἀκτημοσύνης,

βαρεῖται καὶ εἰς αὐτὸ τὸ ἱμάτιον, ὃ φορεῖ, καὶ εἰς τὸ βαυκάλιον τοῦ ὕδατος· ὁ γὰρ νοῦς αὐτοῦ λοιπὸν ἀλλαχοῦ ἀδολεσχεῖ.

12. Εἶπε πάλιν· ὁ τὴν ὕλην μὴ μισήσας, πότε δύναται μισῆσαι τὴν ἑαυτοῦ ψυχήν; κατὰ τὴν ἐντολὴν τοῦ Δεσπότου.

13. Εἶπε Γέρων· μὴ ἔχῃς ἐν τῷ κελλίῳ σου ἱμάτιον κρεμάμενον ἀργόν, ὅτι θάνατός σοι ἐστί· πολλοὶ γὰρ ἄλλοι ῥιγῶσι, σοῦ ἴσως δικαιότεροι ὄντες· καὶ σὺ ἁμαρτωλὸς ὤν, διατὶ περισσὰ ἔχεις;

14. Εἶπε πάλιν· μὴ κτήσῃ σκεῦος περισσὸν κείμενον ἀργόν, ἐπεὶ οὐκέτι φροντίζει σου ὁ Θεός· ἀλλὰ καὶ ἐὰν ἐμπέσῃ σοι χρυσίον, εἰ μὲν δέῃ εἰς ἀναγκαίαν χρείαν σου, ἤτοι εἰς τροφήν, ἢ εἰς ἔνδυμα, εὐθὺς ἀγόρασον αὐτά· εἰ δὲ οὐ χρήζεις, μὴ κοιμηθῇ μετὰ σοῦ, τουτέστι μὴ παραμείνῃ σοι, ἀλλὰ δὸς αὐτὸ τοῖς χρήζουσι πρὸ τῆς ἑσπέρας.

15. Εἶπε πάλιν· ἐὰν ἔχῃς κελλίον χωροῦν μόνον τὴν κεφαλήν σου ἤτοι σκέπον σε, μὴ κτίσῃς ἄλλο τὸ σύνολον, ἵνα ἐκεῖθεν εὕρῃς τὴν εὐρυχωρίαν.

16. Εἶπε πάλιν· σκεῦος ἀργυροῦν, ἢ χρυσοῦν, μηδὲ ψηλαφήσωσιν αἱ χεῖρές σου ἐν τῷ κελλίῳ σου, ἕως μικροῦ τινος, ἤγουν μὴ μόνον μηδὲν ἐνθυμηθῇς κτήσασθαι, ἀλλὰ μηδὲ παρά τινος διά τινα χρείαν πρὸς σὲ τοιοῦτον σκεῦος ἀποσταλέν, ἀναψηλαφᾶν θέλῃς, ἕως καὶ σταυρίου μικροῦ, ἢ ἄλλου τινὸς τοιούτου ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένου.

17. Εἶπε πάλιν· ἐγχείριον μὴ κρεμάσῃς ἐν τῇ ζώνῃ σου, ταῦτα γὰρ πάντα κωλύουσι τὴν κατάνυξιν καὶ τὸ πένθος ἀπὸ σοῦ, καὶ ἁπλῶς πάντα, καὶ ἡ στρωμνή σου, καὶ τὰ σκεύη σου καὶ τὰ ὑποδήματά σου, καὶ ἡ ζώνη σου, τοιαῦτα ἔστωσαν, οἷα κἄν τινες ἔλθωσι συλῆσαι, μὴ ἀρέσαι αὐτοῖς τι ἄρα ἐκ τῶν τοιούτων, καὶ ἐκ τῶν ὄντων ἐν τῷ κελλίῳ σου.

18. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· εἰπέ μοι, πάτερ, πῶς σωθῶ; καὶ ἐκδυσάμενος ὁ Γέρων τὸν λεβήτωνα, καὶ ζωσάμενος τὴν ὀσφύν, καὶ κρεμάσας τὰς ἑαυτοῦ χεῖρας, εἶπεν· οὕτως ὀφείλει ὁ Μοναχὸς εἶναι· γυμνὸς ἀπὸ τῆς ὕλης τοῦ κόσμου, καὶ ἐσταυρωμένος ἐν τοῖς παλαίσμασιν.

19. Εἶπε Γέρων· ἀγάπησον τὴν πτωχείαν πολύ, καὶ μὴ θέλε ἔχειν λεπτὰς ὕλας ἐν τῷ κελλίῳ σου· ὅτε γὰρ ζητεῖ πρᾶγμα ἡ ψυχὴ καὶ οὐχ εὑρίσκει, στενάζει καὶ ταπεινοῦται· καὶ τότε παρακαλεῖ αὐτὴν ὁ Θεὸς καὶ κατανύσσει, καὶ ἡ ψυχὴ ἐὰν γεύσηται τῆς γλυκύτητος τοῦ Θεοῦ, μισεῖ λοιπὸν σχεδὸν καὶ αὐτὸ τὸ σῶμα αὐτῆς· ἐὰν γὰρ μὴ μισήσῃ ἄνθρωπος τὸ ἴδιον σῶμα ὡς ἐχθρὸν αὐτὸ καὶ ἀντίδικον λογιζόμενος, καὶ ἐν μηδενὶ ποιῶν τὴν θεραπείαν αὐτοῦ, ἄνευ τῆς ἀναγκαίας χρείας, οὐ δυνήσεται τότε ἐλευθερωθῆναι ἀπὸ τῆς παγίδος τοῦ διαβόλου.

Ἑρμηνεία

ΕΛΕΓΟΝ διὰ τὸν Ἀββᾶν Ἰουλιανόν, ὅτι περίπου ἑβδομῆντα χρόνια παρέμεινεν εἰς ἕνα μικρὸν σπήλαιον, χωρὶς νὰ ἀποκτήσῃ τίποτε ἀπὸ τὰ ἀγαθὰ τοῦ κόσμου αὐτοῦ, ἐκτὸς ἀπὸ ἕνα τρίχινον χιτῶνα, μίαν εὐτελῆ τρίχινην στρωμνήν, ἕνα ξύλινον καυκὶ (εἶδος πιάτου) καὶ ἕνα σταμνί, διὰ νὰ πίνῃ νερό.

2. Μερικοὶ ἀδελφοὶ ἐπεσκέφθησαν κάποτε τὸν Ἀββᾶν Μακάριον εἰς τὸ ἀσκητήριόν του. Εἰς τὸ κελλί του δὲν ηὗραν τίποτε, ἐκτὸς ἀπὸ νερὸν ἀκατάλληλον πρὸς πόσιν. Ἀπὸ ἀγάπην τότε τοῦ εἶπον:

—Ἀββᾶ, ἔλα νὰ πᾶμε ἐπάνω εἰς τὸ χωριό, διὰ νὰ σὲ περιποιηθοῦμεν ὀλίγον.

Ἐκεῖνος ἀπήντησεν εἰς αὐτούς:

—Γνωρίζετε εἰς τὴν πόλιν τὸν φοῦρνον τοῦ τάδε;

Καὶ οἱ ἀδελφοί:

—Μάλιστα, τὸν γνωρίζομεν.

Ὁ Ἀββᾶς ἐκ δευτέρου:

—Καὶ ἐγὼ τὸν γνωρίζω.

Ἐρωτᾷ πάλιν ὁ Ἀββᾶς:

—Γνωρίζετε τὸ κτῆμα τοῦ τάδε, ποὺ τὸ ποτίζει ὁ ποταμός;

Καὶ πάλιν οἱ ἀδελφοί:

—Μάλιστα, γνωρίζομεν τὸ κτῆμα αὐτό.

Τότε πλέον ὁ Ἀββᾶς τοὺς εἶπε κατηγορηματικά:

—Καὶ ἐγὼ τὸ γνωρίζω· ὅταν λοιπὸν χρειασθῶ κάτι, δὲν εἶναι ἀνάγκη νὰ σᾶς κουράζω· πηγαίνω μόνος μου.

Τοῦ Πατρὸς

ΒΛΕΠΕΙΣ τὴν θεληματικὴν ἀκτημοσύνην καὶ κακοπέρασιν τοῦ Γέροντος; Πῶς, ἐνῷ ἠμποροῦσεν εὔκολα νὰ ἐξοικονομήσῃ τὰ ἀπαραίτητα, αὐτὸς δὲν ἤθελεν, ἀλλὰ ἐπροτιμοῦσεν εὐχαρίστως τὸ ἀκατάλληλον νερόν, καὶ προσπαθοῦσε μὲ ἄγρια χόρτα νὰ παρηγορῇ τὴν σωματικὴν πεῖναν;

3. Ἔλεγον διὰ τὸν Ἀββᾶν Μεγέθιον, ὅτι ὁσάκις ἔβγαινεν ἀπὸ τὸ κελλί του καὶ τοῦ ἤρχετο ἡ σκέψις νὰ φύγῃ εἰς ἄλλον τόπον, ἀμέσως ἀνεχώρει, χωρὶς νὰ ἐπιστρέψῃ εἰς τὸ κελλί του. Καὶ τοῦτο, διότι δὲν εἶχεν εἰς τὸ κελλί του τίποτα ἀπὸ τὰ πράγματα τοῦ κόσμου αὐτοῦ, ἐκτὸς ἀπὸ μίαν μεγάλην βελόναν, ποὺ ἔσχιζε τοὺς κλάδους τῶν φοινίκων διὰ τὰ ζεμπίλια. Κατεσκεύαζε δὲ τρία ζεμπιλάκια τὴν ἡμέραν.

4. Διὰ τὸν Ἀββᾶν Σιλουανὸν διηγοῦντο τὸ ἑξῆς: Κάποτε ὁ μαθητής του Ζαχαρίας, χωρὶς τὴν γνώμην του, ἐβγῆκεν ἀπὸ τὸ κελλὶ καὶ μὲ τὴν βοήθειαν τῶν ἀδελφῶν ἐχάλασε τὸν φράκτην τοῦ κήπου καὶ τὸν ἐμεγάλωσεν.

Μόλις τὸ ἔμαθεν αὐτὸ ὁ Γέρων, ἐπῆρε τὸ ράσον του καὶ ἀφοῦ ἐβγῆκεν ἀπὸ τὸ ἀσκητήριον του, λέγει πρὸς τοὺς ἀδελφούς:

— Τὴν εὐχήν σας· ἐγὼ θὰ φύγω.

Οἱ Μοναχοὶ ἐξεπλάγησαν καὶ πίπτοντες εἰς τοὺς πόδας τοῦ Γέροντος, τὸν ἠρώτων:

—Εἰπέ μας, Πάτερ, τί ἔχεις;—Καὶ τὸν παρεκάλουν νὰ εἰσέλθῃ πάλιν εἰς τὸ κελλί του.

—Δὲν ξαναγυρίζω μέσα,—εἶπεν ὁ Γέρων,—οὔτε θὰ βγάλω τὸ ράσον μου, ἕως ὅτου ἐπαναφέρετε τὸν φράκτην ἐκεῖ ὅπου ἦτο πρῶτα.

Οἱ Μοναχοί, ἐκτελοῦντες τὴν ἐντολὴν τοῦ Γέροντος, ἐχάλασαν καὶ πάλιν τὸν φράκτην ποὺ εἶχον κατασκευάσει μόνοι των καὶ τὸν ἔκαμαν εἰς τὴν προηγουμένην του θέσιν. Τότε μόνον καὶ ὁ Γέρων ἐπέστρεψεν εἰς τὸ κελλίον του.

5. Ἕνας ἀδελφὸς παρεκάλεσε κάποτε τὸν Ἀββᾶν Σεραπίωνα:

—Εἰπέ μου κανένα ὠφέλιμον λόγον.

Τότε ὁ Ἀββᾶς τοῦ ὑπέδειξε τὸ ράφι, ποὺ ἦτο γεμᾶτον βιβλία καὶ τοῦ ἀπήντησε:

—Τί ἠμπορῶ νὰ σοῦ εἴπω; Σὺ ἐπῆρες τὰ χρήματα τῶν ὀρφανῶν καὶ τῶν χηρῶν καὶ τὰ ἐτοποθέτησες ἐδῶ. Εἰς τὸν Ἀσκητὴν δὲν χρειάζονται τόσα πολλὰ βιβλία.

6. Ὁ Ἀββᾶς Ὑπερέχιος ἔλεγε πρὸς τοὺς μαθητάς του: ὁ θησαυρὸς τοῦ Μοναχοῦ εἶναι ἡ θεληματικὴ ἀκτημοσύνη. Ἀδελφέ μου, θησαύρισε εἰς τὸν οὐρανὸν(1) τὰ ἀγαθά σου, διότι ἡ αἰωνιότης εἶναι ἀτελεύτητος.

7. Κάποτε ἕνας ἐπίσημος καὶ πλούσιος ἄνθρωπος, ἀπὸ ξένην χώραν, ἐπεσκέφθη Ἀσκητὰς εἰς τὴν ἔρημον· μαζί του ἔφερε καὶ ἀρκετὰ χρήματα. Ἀπευθυνόμενος πρὸς τὸν Ἱερέα τῆς Σκήτης τοῦ εἶπε:

—Σὲ παρακαλῶ, νὰ τὰ δώσῃς εἰς τοὺς Μοναχούς.

Ὁ Ἱερεὺς τοῦ ἀπήντησε:

—Δὲν ἔχουν ἀνάγκην οἱ Μοναχοὶ ἀπὸ χρήματα. Ἐπειδὴ ὅμως ἐπέμενεν ὁ ἐπισκέπτης, ἔβαλεν εἰς ἕνα ζεμπίλι τὸ χρυσάφι καὶ τὸ ἔβαλεν ἐμπρὸς εἰς τὴν θύραν τῆς Ἐκκλησίας.

Ὅταν λοιπὸν ἦλθον οἱ ἀδελφοί, λέγει πρὸς αὐτοὺς ὁ Πρεσβύτερος:

—Ὅποιοι ἔχουν ἀνάγκην ἀπὸ χρήματα, δύνανται νὰ λάβουν.

Παρ' ὅλην τὴν σύστασιν, κανεὶς δὲν ἐπλησίασε τὰ χρήματα. Μερικοὶ μάλιστα οὔτε κἂν τὰ ἐπρόσεξαν. Ἀπευθυνόμενος τότε ὁ Ἐφημέριος πρὸς τὸν πλούσιον καὶ γενναιόδωρον ἐπισκέπτην, τοῦ εἶπεν:

—Ὁ Θεὸς εἶδε τὴν ἀγαθήν σου πρόθεσιν καὶ τὴν ἐξετίμησε· πάρε λοιπὸν τὸ χρυσάφι σου καὶ πήγαινε νὰ τὸ μοιράσῃς εἰς τοὺς πτωχούς. Ὁ ἄνθρωπος ὠφελήθη πολὺ ἀπὸ τὴν θεληματικὴν αὐτὴν ἀκτημοσύνην καὶ ἀνεχώρησεν.

8. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

---

1) «Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι· θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ...» (Ματθ. ς' 19—20).

—Μοῦ ἐπιτρέπεις νὰ κρατήσω δύο ὁλοκότινα[1], διὰ νὰ τὰ ἔχω εἰς περίπτωσιν, ποὺ θὰ ἀρρωστήσω;

Ὁ Γέρων τοῦ ἀπήντησε:

—Δὲν εἶναι καλὸν νὰ κρατήσῃς περισσότερα, ἀπὸ ὅσα ἔχεις ἀνάγκην διὰ σήμερον· ἐὰν λοιπὸν κρατήσῃς τὰ δύο ὁλοκότινα, τότε εἰς αὐτὰ ἐπάνω θὰ στηρίξῃς τὴν ἐλπίδα σου· ἐὰν δὲ συμβῇ νὰ τὰ χάσῃς, τότε οὔτε καὶ ὁ Θεὸς θὰ φροντίσῃ διὰ σέ. Εἶναι λοιπὸν προτιμότερον νὰ ἀναθέσωμεν εἰς τὸν Θεὸν τὴν φροντίδα τῆς συντηρήσεώς μας, διότι αὐτὸς φροντίζει δι' ἡμᾶς.

9. Κάποτε μερικοὶ Ἕλληνες ἦλθον εἰς Ὀστρακίνην[2], διὰ νὰ προσφέρουν ἐξ ἀγάπης βοηθήματα εἰς τοὺς πτωχούς. Ἐπῆραν λοιπὸν μαζί των τοὺς οἰκονόμους διὰ νὰ τοὺς ὑποδείξουν ποῖοι εἶχον ἄμεσον ἀνάγκην βοηθείας.

Οἱ οἰκονόμοι λοιπὸν τοὺς ὡδήγησαν εἰς ἕνα λεπρόν. Εὐχαρίστως τοῦ προσέφεραν. Ὁ λεπρὸς ὅμως ἠρνήθη νὰ πάρῃ τίποτε, λέγων εἰς τοὺς ἐπισκέπτας:

—Ἐγὼ πλέκω τὰ μικρὰ αὐτὰ κοφινάκια ἀπ' τὰ κλαδιὰ τῶν φοινίκων· μὲ αὐτὸ δὲ τὸ ἐργόχειρον βγάζω τὸ ψωμάκι μου, περισσότερα δὲν μοῦ χρειάζονται.

10. Τότε οἱ οἰκονόμοι ὁδηγοῦν τοὺς Ἕλληνας εἰς τὸ σπιτάκι μιᾶς χήρας, ποὺ ἔμενε μαζὶ μὲ τὴν ὀρφανὴν κόρην της. Μόλις ἐκτύπησαν τὴν θύραν, τοὺς ἤκουσεν ἡ κόρη ἀπὸ μέσα. Ἐφόρεσε λοιπὸν ἕνα καταξεσχισμένον φόρεμα, ποὺ μόλις ἠδύνατο νὰ ἀποκρύψῃ τὰ ἀπόκρυφα μέρη τοῦ σώματος, καὶ τοὺς ἤνοιξεν. Οἱ φιλάνθρωποι τότε ἐπισκέπται τῆς προσέφεραν ἐνδύματα καὶ χρήματα. Τὸ ὀρφανὸν καὶ πτωχὸν ἐκεῖνο κορίτσι δὲν ἐδέχθη νὰ τὰ κρατήσῃ καὶ μὲ εὐγένειαν εἶπε πρὸς τοὺς ἐπισκέπτας:

—Μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ἡ μητέρα μου εὑρῆκε σήμερα ἐργασίαν, καὶ θὰ ἐξοικονομήσωμεν τὸ φαγητόν μας.

Ἦτο δὲ ἡ μητέρα τοῦ κοριτσιοῦ πλύστρα καὶ εἶχε πάει νὰ ἐργασθῇ. Ὅταν ἐπέστρεψεν ἀπὸ τὴν ἐργασίαν της, τὴν παρεκάλεσαν νὰ κρατήσῃ τὰ βοηθήματα. Καὶ ἡ μητέρα ὅμως ἠρνήθη λέγουσα:

—Δι' ἐμὲ φροντίζει ὁ Θεός· σεῖς τώρα θέλετε νὰ πάρετε αὐτὸν τὸν φροντιστὴν ἀπὸ κοντά μου;

Ἀφοῦ ἤκουσαν οἱ ἐπισκέπται τοιούτους λόγους ἐμπιστοσύνης εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, ἀνεχώρησαν δοξάζοντες τὸν Θεόν.

---

1) Ὁλοκότινα ὠνόμαζον οἱ Ἅγιοι αὐτοὶ Ἀσκηταὶ τὰ χρυσᾶ καὶ ἀργυρᾶ νομίσματα τῆς ἐποχῆς των, ρωμαϊκὰ καὶ βυζαντινά, ὑπεδήλου δὲ ἡ λέξις τὴν πρὸς αὐτὰ ἀποστροφήν των· διότι κότος=ὀργή, μῖσος, ἔχθρα (κοτέω—ῶ=ὀργίζομαι).

2) Ἡ Ὀστρακίνη ἦτο περιοχὴ τῆς Αἰγύπτου, εἰς τὸ στόμιον τῆς Σιρβωνίτιδος λιμνοθαλάσσης, εἰς τὰ σύνορα Αἰγύπτου καὶ Πετραίας Ἀραβίας, ἀνατολι-

11. Ἕνας Γέρων Ἀσκητὴς ἔλεγεν: Ὁ ἄνθρωπος, ποὺ θὰ δοκιμάσῃ τὴν γλυκύτητα τῆς ἀκτημοσύνης, καὶ αὐτὸ τὸ ἱμάτιον, ποὺ καθημερινῶς φορεῖ, τὸ θεωρεῖ περιττὸν βάρος, ὅπως ἐπίσης καὶ τὴν στάμναν μὲ τὸ νερό. Καὶ εἶναι ἑπόμενον αὐτό, διότι ὁ νοῦς του ἀλλοῦ πλέον εἶναι ἀπησχολημένος.

12. Ὁ ἴδιος πάλιν εἶπεν: Ἐκεῖνος, ποὺ δὲν ἐμίσησε τὴν ὕλην, πῶς εἶναι δυνατὸν νὰ περιφρονήσῃ τὴν ζωήν του, συμφώνως πρὸς τὴν ἐντολὴν τοῦ Δεσπότου[1];

13. Ἕνας ἄλλος Γέρων ἔλεγεν: Εἰς τὸ κελλί σου νὰ μὴ ἔχῃς κρεμασμένον δεύτερον ἱμάτιον ἀχρησιμοποίητον, διότι αὐτὸ εἶναι διὰ σὲ θάνατος. Πολλοὶ ἄλλοι, ποὺ εἶναι ἴσως πλέον ἐνάρετοι ἀπὸ σέ, κρυώνουν· σὺ δέ, ἂν καὶ εἶσαι ἁμαρτωλός, διατί νὰ ἔχῃς περισσά;

14. Ὁ αὐτὸς Γέρων εἶπε πάλιν: Μὴ ἀποκτήσῃς πρᾶγμα περιττὸν καὶ νὰ τὸ ἀφήσῃς ἀχρησιμοποίητον, διότι ὁ Θεὸς δὲν θὰ φροντίσῃ πλέον διὰ σέ. Ἀλλὰ καὶ ἐὰν πέσῃ εἰς τὰς χεῖρας σου χρυσάφι, ἐφ' ὅσον μὲν ἔχεις ἀπόλυτον ἀνάγκην τροφῆς ἢ ἐνδύματος, ἀμέσως ἀγόρασέ τα· ἄλλως μὴ κοιμηθῇς μαζὶ μὲ τὸ χρυσάφι, δηλαδὴ μὴ κρατήσῃς ἐπάνω σου χρήματα, ἀλλὰ ἀμέσως, μέχρι τὸ βράδυ, νὰ τὰ προσφέρῃς εἰς αὐτοὺς ποὺ ἔχουν ἄμεσον ἀνάγκην.

15. Καὶ ἄλλοτε πάλιν ὁ αὐτὸς εἶπε: Ἐὰν ἔχῃς κελλί, ποὺ μόλις σὲ σκεπάζει, νὰ μὴ κτίσῃς ἄλλο πιὸ εὐρύχωρον, διὰ νὰ ἐξασφαλίσῃς τὴν ἄνεσίν σου.

16. Ὁ αὐτὸς εἶπε καὶ πάλιν: Ἀντικείμενα ἀσημένια ἢ χρυσᾶ οὔτε κἂν νὰ τὰ ἐγγίζουν τὰ δάκτυλά σου· ὄχι μονάχα, δηλαδή, νὰ μὴ σκεφθῇς νὰ τὰ ἀποκτήσῃς, ἀλλὰ οὔτε, καὶ ἂν ἀκόμη σοῦ στείλουν ἄλλοι, τοιαῦτα ἀντικείμενα, νὰ μὴ θέλῃς νὰ τὰ πολυχαϊδεύῃς μὲ τὰ δάκτυλά σου, ἔστω καὶ ἐὰν εἶναι ἕνας μικρὸς σταυρὸς ἢ ὁποιοδήποτε ἄλλο μικροαντικείμενον ἀπὸ ἀσήμι ἢ χρυσάφι.

17. Εἶπε πάλιν: Εἰς τὴν ζώνην σου νὰ μὴ κρεμάσῃς μανδήλιον, Διότι ὅλα αὐτὰ σὲ ἐμποδίζουν νὰ αἰσθανθῇς κατάνυξιν καὶ πνευματικὸν πένθος. Τὸ στρῶμα σου, τὰ ἔπιπλά σου, τὰ ὑποδήματά σου, ἡ ζώνη σου νὰ εἶναι τόσον πενιχρά, ὥστε καὶ ἐὰν ἔλθουν νὰ τὰ κλέψουν, νὰ μὴ ἀρέσῃ εἰς τοὺς κλέπτας τίποτε ἀπὸ ὅλα αὐτὰ νὰ πάρουν. Τόσον πενιχρὰ νὰ εἶναι ὅλα τὰ ἀντικείμενα τοῦ κελλίου σου.

κῶς τοῦ Πηλουσίου ὄρους. Σήμερον ἡ λιμνοθάλασσα αὐτὴ δὲν ὑπάρχει, διότι ἔχει καταχωσθῆ.

1) «Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν» (Ἰωάν. ιβ΄ 25).

18. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Πάτερ μου, πῶς ἠμπορῶ νὰ σωθῶ;

Ὁ Γέρων, εἰς ἀπάντησιν, ἔβγαλε τὸν λεβήτωνα [1], ἐκάλυψε μὲ ἕνα ὕφασμα τὴν μέσην του καὶ ἥπλωσε τὰς χεῖρας του εἰς σχῆμα σταυροῦ. Εἰς τὴν στάσιν δὲ αὐτὴν εὑρισκόμενος εἶπεν εἰς τὸν ἀδελφόν:

—Ἔτσι πρέπει νὰ εἶναι ὁ Μοναχός· τελείως γυμνὸς ἀπὸ τὰ ὑλικὰ ἐφόδια τοῦ κόσμου καὶ ὡς ἐσταυρωμένος νὰ ἀντιμετωπίζῃ τὰς ἐναντίον του ἐπιθέσεις τῆς ἁμαρτίας.

19. Ἕνας Γέρων Ἀσκητὴς εἶπε:

—Νὰ ἀγαπήσῃς πάρα πολὺ τὴν πτωχείαν· νὰ μὴ ἐπιθυμήσῃς νὰ ἔχῃς εἰς τὸ κελλί σου πολύτιμα ἀντικείμενα καὶ διάφορα ἄλλα ὑλικὰ ἀγαθά. Ὅταν ἡ ψυχή σου ζητῇ κάποιο πρᾶγμα καὶ δὲν τὸ εὑρίσκει, τότε στενάζει καὶ ταπεινώνεται. Εἰς αὐτὴν δὲ τὴν κατάστασιν ἐπεμβαίνει ὁ Θεὸς καὶ τὴν παρηγορεῖ, τῆς χαρίζει κατάνυξιν. Ὅταν δὲ ἡ ψυχὴ δοκιμάσῃ τὴν γλυκύτητα ἐκ τῆς παρουσίας τοῦ Θεοῦ εἰς αὐτήν, τότε πλέον μισεῖ καὶ αὐτὸ τὸ σῶμα, εἰς τὸ ὁποῖον ὑπάρχει. Ὅταν ὁ ἄνθρωπος δὲν φθάσῃ εἰς τὸ σημεῖον νὰ μισήσῃ τὸ σῶμα του καὶ νὰ τὸ θεωρήσῃ ἐχθρὸν καὶ ἀντίδικον, περιορίζων τὴν περιποίησιν του εἰς τὰ ἀπολύτως ἀναγκαῖα, δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ ἀπαλλαγῇ ἀπὸ τὰς παγίδας τοῦ διαβόλου.

ΙΗ΄. Τοῦ Ἁγίου Ἐφραίμ.

ΜΟΝΑΧΟΣ φιλοκτήμων, φοῖνιξ ἄκαρπος, ὁ δὲ ἀκτήμων, ὡς κεκαρμένος φοῖνιξ ἀνατρέχων εἰς ὕψος. Μοναχὸς φιλόϋλος, ἔοικεν ἱέρακι ἐκπετασθέντι, ἔχοντι λώρους εἰς τοὺς πόδας, καὶ ὅπου δ' ἂν καθίσῃ, ἐμπλακήσεται, ὁ δὲ ἄϋλος, ὥς περ εὔστολος ὁδοιπόρος.

Ἑρμηνεία

Ο ΜΟΝΑΧΟΣ, ποὺ ἀγαπᾷ τὰ ὑλικὰ πραγματα, ὁμοιάζει μὲ τὸ ἄκαρπον καὶ ἀκλάδευτον φοινικόδενδρον· ἀντιθέτως ὁ ἀκτήμων Μοναχὸς εἶναι ὡς τὸ καλοκλαδεμένο φοινικόδενδρον, ποὺ ὑψοῦται πρὸς τὸν οὐρανόν.

Ὁ Μοναχός, ποὺ ἀγαπᾷ τὴν ὕλην ὁμοιάζει μὲ ἱέρακα, ποὺ πετᾷ καὶ ἔχει δεμένα λουριὰ εἰς τοὺς πόδας του καὶ ὅπου καὶ ἐὰν καθήσῃ ἀσφαλῶς θὰ μπερδευτῇ.

Ἐνῷ ὁ ἀδιάφορος πρὸς τὸν ὕλην Μοναχὸς εἶναι ὅπως ὁ ὁδοιπόρος, ποὺ βαδίζει εὐχάριστα, διότι δὲν ἔχει φορτίον ἐπάνω του.

---

1) Λεβήτων=τὸ ράσον ποὺ ἐφόρει ὁ Ἀσκητὴς εἰς τὴν σύναξιν.—Λεβίτων =πλεκτὸν μοναχικὸν ἔνδυμα.

ὙΠΟΘΕΣΙΣ Β'.

Ὅτι ἡ σωματικὴ ἐλεημοσύνη, τοῖς κατὰ κόσμον ἀναγκαία ὡς οὐκ ἀκτήμοσιν, καὶ ὡς μυρία εὐεργετημένοις ὑπ' αὐτῆς· ἣν δεῖ καὶ τούτους ποιεῖν ἀφειδῶς, καὶ ἐκ τῶν προκρίτων ὧν ἔχουσιν.

Ἡ σωματικὴ ἐλεημοσύνη (1) εἶναι ἀναγκαία διὰ τοὺς κοσμικούς, ἐπειδὴ οὗτοι δὲν εἶναι ἀκτήμονες, καὶ ἐπειδὴ ἀπείρους εὐεργεσίας ἀπολαμβάνουν ἐξ αὐτῆς. Αὐτὴν τὴν ἐλεημοσύνην πρέπει καὶ οἱ ἁπλοῖ κοσμικοὶ νὰ ἀσκοῦν μὲ ὅλας των τὰς δυνάμεις, προσφέροντες τὰ ἐκλεκτότερα ἐξ ὅσων ἔχουν.

Α'. Ἐν τῷ Γεροντικῷ.

ΠΑΡΕΒΑΛΟΝ ποτε τῷ Ἀββᾷ Ἰωσὴφ εἰς τὸ Ἔννατον, ἦν δὲ καὶ ὁ σοφιστὴς Σωφρόνιος, καὶ ὁμιλούντων ἡμῶν τῷ Γέροντι, ἰδού τις ἐλθὼν ἀπὸ Ἀϊλᾶ, ἐδίδου αὐτῷ τρία νομίσματα λέγων· δέξαι ταῦτα, Πάτερ τίμιε, ὅπως εὔξῃ ὑπὲρ τοῦ πλοίου μου, ὅτι ἐνεθηκίασα αὐτὸ καὶ ἀπέστειλα εἰς Αἰθιοπίαν. Ὁ δὲ Γέρων οὐδόλως προσέσχεν αὐτῷ.

2. Λέγει οὖν τῷ Γέροντι ὁ Σωφρόνιος· δέξαι ταῦτα, Πάτερ, καὶ δὸς ταῦτα πάλιν ἀδελφῷ χρήζοντι. Ἀπεκρίθη ὁ Γέρων· διπλῆ αἰσχύνη, τέκνον, ἵνα λάβω ἅπερ μὴ χρήζω, καὶ ἰδίαις χερσὶ θερίσω ἀλλοτρίας ἀκάνθας· εἴθε τὰς τῆς ἰδίας ψυχῆς ἀκάνθας ἠδυνήθην θερίσαι· γέγραπται γάρ· ἐὰν σπείρῃς τὰ σὰ σπεῖρον· τὰ γὰρ ἀλλότρια ζιζανίων πικρότερα καὶ μάλιστα, τέκνον, ὅτι οὐκ ἔστι περὶ ψυχῆς ἡ αἰτία.

3. Ἔφη αὐτῷ ὁ Σωφρόνιος· τί οὖν; ὅσα ποιεῖ ὁ ἄνθρωπος εἰς ελεημοσύνην, οὐ λογίζεται αὐτὰ ὁ Θεός; ἀπεκρίθη ὁ Γέρων· τέκνον, πολλαί εἰσι διαφοραὶ καὶ ἐπὶ τοῦ σκοποῦ τῆς ἐλεημοσύνης· ἔστι γὰρ ποιῶν ἐλεημοσύνην διὰ τὸ εὐλογηθῆναι τὸν οἶκον αὐτοῦ, καὶ ὁ Θεὸς εὐλογεῖ τὸν οἶκον αὐτοῦ, ἄλλος ποιεῖ ἐλεημοσύνην διὰ τὸ πλοῖον αὐτοῦ, καὶ ὁ Θεὸς εὐοδεῖ τὸ πλοῖον αὐτοῦ, ἄλλος διὰ τὰ τέκνα αὐτοῦ, καὶ ὁ Θεὸς φυλάσσει τὰ τέκνα αὐτοῦ, ἄλλος διὰ τὸ δοξασθῆναι, καὶ ὁ Θεὸς δοξάζει αὐτόν, καὶ οὐκ ἀθετεῖ ὁ Θεός τινα, ἀλλ' ὃ θέλει ἕκαστος παρέχει αὐτῷ, ὅταν μὴ βλάπτηται ἐκ τούτου ἡ ψυχὴ αὐτοῦ.

4. Καὶ οὗτοι πάντες ἀπέχουσι τὸν μισθὸν αὐτῶν· πρὸς γὰρ τὸν σκοπὸν

---

1) Σωματικὴ ἐλεημοσύνη ὀνομάζεται ἡ πρὸς τοὺς πτωχοὺς καὶ ἀσθενεῖς παροχὴ δωρεὰν τῶν εἰδῶν, τῶν ὁποίων ἔχουν ἀνάγκην καὶ τὰ ὁποῖα ἐκεῖνοι στεροῦνται· ὡς τοιαύτη λογίζεται καὶ ἡ πρὸς αὐτοὺς προσφορὰ χρημάτων. Ἡ τοιαύτη ἐλεημοσύνη ὀνομάζεται σωματική, πρὸς διάκρισιν ἀπὸ τῆς πνευματικῆς καλουμένης ἐλεημοσύνης, ἡ ὁποία συνίσταται εἰς τὴν διὰ νουθεσίας ἐνίσχυσιν τοῦ περὶ τὴν πίστιν καὶ τὰς δοκιμασίας ἀσθενοῦς καὶ ὀλιγοψύχου.



Ὁ ἈΒΒΑϹ
ἸΩϹΗΦ
Ἡ ΜΟΝΗ ΤΟΥ ἘΝΝΑΤΟΥ
ΔΙΠΛΗ ΑΙϹΧΥ ΝΗ, ΤΕΚ ΝΟΝ, Ι ΝΑ ΛΑ ΒΩ Ἅ ΠΕΡ ΜΗ ΧΡΗΖΩ
ΜΡ ΘΥ
Ραλλης Κοψίδης 65

πρὸς ὃν τὴν ἐλεημοσύνην ἐποίησαν, ἀπέδωκεν αὐτοῖς ὁ Θεός, καὶ οὐδὲν αὐτοῖς εἰς τὸ μέλλον χρεωστεῖ. Σὺ οὖν, ἐὰν ποιῇς ἐλεημοσύνην, ποίησον διὰ τὴν ψυχήν σου, καὶ ὃ θέλεις παρέξει σοι ὁ Θεός· γέγραπται γάρ· δώῃ σοι Κύριος κατὰ τὴν καρδίαν σου. Εἰσὶ δέ τινες οἳ καὶ δοκοῦντες ποιεῖν ἐλεημοσύνην, μᾶλλον παροργίζουσι τὸν Θεόν.

5. Καὶ ὁ Σωφρόνιος εἶπε· σαφήνισον ἡμῖν, Πάτερ, τὸν λόγον. Ὁ δὲ ἔφη· ὁ μὲν Θεὸς προσέταξε τὰς ἀπαρχὰς τῶν γεννημάτων καὶ πάντων τῶν καρπῶν καὶ ζῴων τῶν καθαρῶν προσφέρειν Αὐτῷ, ὑπὲρ εὐλογίας τῶν λοιπῶν καὶ ἀφέσεως ἁμαρτιῶν, ἔτι δὲ καὶ ἀπὸ ἀνθρώπων τὰ πρωτότοκα ἀφιεροῦν αὐτῷ· οἱ δὲ πλούσιοι τὸ ἐναντίον ποιοῦσι, τὰ μὲν χρήσιμα αὐτοὶ κατέχοντες, τὰ δὲ ἄχρηστα τοῖς πτωχοῖς καὶ ἀδελφοῖς αὐτῶν διαδύντες· οἷον, τὸν μὲν καλὸν οἶνον αὐτοὶ πίνοντες, τὸν δὲ ὀξίνην, ἢ δυσώδη, χήραις καὶ ὀρφανοῖς παρέχοντες καὶ ὀπώραν, τὴν μὲν φυλαχθεῖσαν, αὐτοὶ ἐσθίοντες, τὴν δὲ σεσηπυῖαν, ῥογεύοντες.

6. Καὶ ἱμάτια, τὰ μὲν πολυτελῆ καὶ εὔχρηστα ἑαυτοῖς ἀπονέμοντες, τὰ δὲ ῥακώδη καὶ παλαιὰ τοῖς πένησιν ἀποῤῥίπτοντες· καὶ τῶν παίδων δέ, τὰ μὲν ὑγιῆ καὶ εὔμορφα εἰς γάμους καὶ συνοικέσια εὐτρεπίζοντες, καὶ πολλὴν εἰς ταῦτα φροντίδα ποιούμενοι, τὰ δὲ ἀσθενῆ ἢ μονόφθαλμα, ἢ λειψόμελα, ἢ ἀειδῆ, τῷ Θεῷ ἀφιεροῦντες καὶ παραδίδοντες εἰς Μοναστήρια. Διὸ καὶ ἀπρόσδεκτα γίνονται τὰ ὑπ' αὐτῶν προσφερόμενα· οὕτω γὰρ ὁ Κάϊν προσενεγκών, οὐ μόνον οὐκ εὔφρανε τὸν Θεόν, ἀλλὰ καὶ παρώξυνεν.

7. Ἐχρῆν δὲ τοὺς τοιούτους λογίσασθαι, ὅτι εἰ ἀνθρώπους θνητοὺς καθ' ἡμᾶς τιμῆσαι βουλόμενοι ἐκεῖνα προσφέρειν σπουδάζομεν, ἃ μάλιστα πάντων αὐτοῖς εἶναι δοκεῖ τιμιώτερα, πόσῳ γε μᾶλλον τὸν Θεὸν τὸν πλάστην ἡμῶν, ἐξ οὗ ἔχομεν καὶ ἐκεῖνα αὐτά, ἃ προσφέρομεν; τοῦτον ὅτι διὰ τῆς ἐλεημοσύνης ἑαυτοῖς θελήσωμεν ἱλεώσασθαι, ὀφείλομεν προσενεγκεῖν αὐτῷ τὰ τιμιώτερα ὧν ἔχομεν, ἵνα μὴ ἡ προσαγωγὴ ἡμῶν εἰς κόλπον ἡμῶν μετὰ αἰσχύνης ἀποστραφῇ, καὶ ἡ θυσία ἡμῶν ἐβδελυγμένη γένηται καὶ ἀπρόσδεκτος

8. Ὥσπερ γὰρ ἡ τοῦ Νῶε θυσία, κνίσσα καὶ καπνὸς οὖσα, διὰ τὴν ἀγαθὴν τοῦ προσάγοντος πρόθεσιν, ὀσμὴ εὐωδίας τῷ Θεῷ ἐλογίσθη, καθὰ γέγραπται· «ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας», οὕτω καὶ ἡ ἐκ πονηρᾶς γνώμης προσφερομένη καρποφορία, κἂν καλὴ δοκεῖ κατὰ τὸ φαινόμενον, ἀλλ' οὖν γε βδέλυγμα τῷ Κυρίῳ λογίζεται, ὡς ἡ τῶν Ἰουδαίων θυσία, καὶ τὸ θυμίαμα· οὕτω γὰρ ὁ Θεὸς πρὸς αὐτοὺς ἔφη διὰ τοῦ Προφήτου· «τὸ θυμίαμα βδέλυγμά μοι ἐστί».

9. Ταῦτα εἶπεν ἡμῖν ὁ Γέρων, ἡμεῖς δὲ ὠφεληθέντες ἐξήλθομεν, καὶ προπέμπων ἡμᾶς ἔφη· τέκνα, τῷ ἐρχομένῳ Σαββάτῳ ἔλθετε πρός με, χρεωποιοῦμαι γὰρ ὑμῶν· ἐλθόντων οὖν τῷ Σαββάτῳ ὥρᾳ τρίτῃ, ὡς εἶπεν αὐτοῖς, εὗρον αὐτὸν τελειωθέντα, καὶ θάψαντες αὐτὸν ἀνεχώρησαν, εὐχαριστοῦντες τῷ Θεῷ τῷ ἀξιώσαντι αὐτοὺς κηδεῦσαι τοιοῦτον Ἅγιον.

10. Εἶπε Γέρων· ὅτι ἔστι τις ποιῶν καλά τινα, καὶ ὁ πονηρὸς ἐμβάλλει αὐτῷ ἀκριβολογίαν εἰς ἐλάχιστον πρᾶγμα, ἵνα τὸν μισθὸν ἀπολέσῃ πάντων ὧν ἐργάζεται ἀγαθῶν. Καθημένῳ γάρ μοί ποτε ἐν Ὀξυρύγχῳ παρὰ Πρεσβυτέρῳ ποιοῦντι ἐλεημοσύνην, ἦλθε χήρα αἰτοῦσα αὐτῷ μικρὸν σῖτον, καὶ λέγει αὐτῇ· φέρε ἱμάτιον, καὶ μετρῶ σοι.

11. Ἡ δὲ ἤνεγκε, καὶ ἀκριβώσας τὸ ἱμάτιον τῇ χειρί, εἶπε· μέγα ἐστί, καὶ κατήσχυνε τὴν χήραν. Εἶπον οὖν αὐτῷ· Ἀββᾶ, πέπρακας τὸν σῖτον; ἀπεκρίθη ἐκεῖνος· οὐχί, ἀλλὰ ἀγάπην δέδωκα αὐτῇ. Ἐγὼ δὲ πάλιν· εἰ οὖν τὸ ὅλον δέδωκας αὐτῇ ἀγάπην, πῶς εἰς τὸ μέτρον ἠκριβώσω καὶ κατήσχυνας αὐτήν;

12. Ἠρώτησεν ὁ Ἀββᾶς Τιμόθεος ὁ Πρεσβύτερος τὸν Ἀββᾶν Ποιμένα λέγων· ἔστι τις γυνὴ ἐν Αἰγύπτῳ, ἥτις πορνεύει, καὶ τὸν μισθὸν αὐτῆς δίδωσιν

λεημοσύνην· καὶ εἶπεν ὁ Γέρων· οὐ μένει ἐν τῇ πορνείᾳ· φαίνεται γὰρ ἐν αὐτῇ καρπὸς πίστεως.

13. Ἐγένετο δὲ μετὰ μικρὸν ἐλθεῖν τὴν μητέρα τοῦ Τιμοθέου, καὶ ἠρώτησεν αὐτὴν λέγων· Ἐκείνη ἡ γυνὴ μένει πορνεύουσα; ἡ δὲ ἔφη· ναί, καὶ προσέθηκε καὶ τοὺς ἐραστὰς αὐτῆς, πλὴν καὶ εἰς τὴν ἐλεημοσύνην· καὶ ἀνήγγειλλεν ὁ Ἀββᾶς Τιμόθεος τῷ Ἀββᾷ Ποιμένι· ὁ δὲ εἶπεν· οὐ μένει ἐν τῇ πορνείᾳ.

14. Μετὰ ταῦτα ἐλθοῦσα πάλιν ἡ μήτηρ τοῦ Ἀββᾶ Τιμοθέου, εἶπεν αὐτῷ· οἶδας ὅτι ἡ πόρνη ἐκείνη ἐζήτει ἐλθεῖν μετ' ἐμοῦ ἵνα εὔξῃ ὑπὲρ αὐτῆς; ὁ δὲ ἀκούσας, ἀνήγγειλλε πάλιν τῷ Ἀββᾷ Ποιμένι· ὁ δὲ λέγει αὐτῷ· μᾶλλον σὺ ἄπελθε, καὶ σύντυχε αὐτῇ.

15. Καὶ ἀναστὰς ἀπῆλθε, καὶ ἰδοῦσα αὐτὸν ἡ γυνή, καὶ ἀκούσασα παρ' αὐτοῦ τὸν λόγον τοῦ Θεοῦ, κατενύγη, καὶ ἔκλαυσε, καὶ εἶπεν αὐτῷ· ἐγὼ ἀπὸ τῆς σήμερον προσκολλῶμαι τῷ Θεῷ, καὶ οὐ προσθήσω ἔτι πορνεύειν. Καὶ εὐθέως ἐλθοῦσα εἰς Μοναστήριον, εὐηρέστησε τῷ Θεῷ.

16. Διηγήσατό τις τῶν Πατέρων, ὅτι ἦν τις μαγιστριανὸς πεμφθεὶς εἰς ἀπόκρισιν βασιλικήν, καὶ ἐν τῇ ὁδῷ εὗρε νεκρὸν πτωχὸν κείμενον γυμνόν, καὶ σπλαγχνισθείς, λέγει τῷ παιδὶ αὐτοῦ· λάβε τὸν ἵππον καὶ πρόελθε μικρόν· ἐκεῖνος δὲ κατῆλθε, καὶ ἀποδυσάμενος ἓν τῶν ἱματίων αὐτοῦ, ἐπέθηκε τῷ κειμένῳ καὶ ἀπῆλθεν.

17. Εἶτα μετὰ μικρὸν ἀποσταλεὶς εἴς τινα ἀπόκρισιν καὶ ἐξιὼν τὴν πόλιν, ἔπεσεν ἀπὸ τοῦ ἵππου καὶ ἐκλάσθη ὁ ποὺς αὐτοῦ, καὶ ἀπενεχθεὶς εἰς τὸν ἴδιον οἶκον, σφοδραῖς ὀδύναις ἐπάλαιεν· οἱ δὲ ἰατροὶ ἐπεμελοῦντο αὐτοῦ. Πέντε δὲ διελθουσῶν ἡμερῶν, ἐμελανώθη ὁ ποὺς αὐτοῦ, καὶ τοῦτο ἰδόντες οἱ ἰατροὶ ὡρίσαντο τῇ ἐπαύριον ἐκκοπῆναι τὸν πόδα αὐτοῦ, ἵνα μὴ καὶ τὸ λοιπὸν σῶμα σήψῃ.

18. Τοῦτο δὲ μαθὼν ὁ μαγιστριανός, σφόδρα ἠθύμει, καὶ τὴν συμφορὰν ἀπωδύρετο, καὶ ἐκ τῆς λύπης οὐδὲ ὑπνῶσαι ἠδύνατο, ἀλλ' ἐν τῇ νυκτὶ ἐκείνῃ ἄγρυπνος ἦν. Φαινούσης οὖν τῆς φωταγωγίας, ὁρᾷ κατὰ τὸ μεσονύκτιον ἄνθρωπον διὰ τῆς ἄνωθεν θυρίδος κατιόντα καὶ ἐρχόμενον πρὸς αὐτόν· ὃς καὶ ἐπιστὰς αὐτῷ, εἶπε· τί κλαίεις; τί λυπῇ; ὁ δὲ ἀπεκρίθη· Κύριε, οὐ θέλεις με κλαίειν, ὅτι ἐκλάσθην καὶ αὔριον βούλονται οἱ ἰατροὶ ἐκκόψαι μου τὸν πόδα;

19. Ὁ δὲ ἔφη· δεῖξόν μοι τὸν πόδα σου· καὶ ὑποδείξαντος, ἀλείφει αὐτὸν ὁ φανείς, καὶ λέγει· ἀνάστα καὶ περιπάτει. Ὁ δὲ μαγιστριανὸς εἶπε· Κύριε, οὐ δύναμαι ὅτι κέκλασται· ὁ δὲ πρὸς αὐτόν· ἐπιστηρίχθητι εἰς ἐμέ· καὶ ἐπιστηριχθείς, ἀνέστη καὶ περιεπάτησεν ὑγιῶς. Εἶτα πάλιν ὁ φανεὶς ἔφη· ἴδε ὑγιὴς γέγονας, πεσὼν οὖν ἀναπαύθητι, καὶ μὴ ἀθύμει. Εἶτα καὶ περὶ ἐλεημοσύνης λόγους αὐτῷ τινὰς προέτεινε φάσκων ὅτι εἶπεν ὁ Κύριος· Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται, καὶ ἀνέλεος ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος· καὶ ἄλλα τινὰ τοιαῦτα.

20. Εἶτα λέγει αὐτῷ, σῴζου. Καὶ ὁ μαγιστριανός· ὑπάγεις; Ἔφη ἐκεῖνος· τί γὰρ θέλεις, ἐξ ὅτου ὑγίανας; καὶ πάλιν ὁ μαγιστριανός· διὰ τὸν Θεὸν τὸν πέμψαντά σε, εἰπέ μοι τίς εἶ; ἀπεκρίθη ὁ φανείς· βλέψον εἰς ἐμέ, καὶ βλέψαντος λέγει· ἐπιγινώσκεις τοῦτο τὸ ὀθώνιον, ὃ φορῶ; ὁ μαγιστριανὸς εἶπε· ναί, Κύριε, ἐμόν ἐστι. Καὶ πάλιν ἐκεῖνος· ἐγώ εἰμι, ὃν εἶδες νεκρὸν ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ἔῤῥιψάς μοι τὸ ἱμάτιόν σου, καὶ ἀπέστειλέ με ὁ Θεὸς ἰάσασθαί σε· εὐχαρίστει οὖν διὰ παντὸς τῷ Θεῷ. Καὶ ταῦτα εἰπών, ἀνῆλθε πάλιν, δι' ἧς εἰσῆλθε θυρίδος, καὶ ὁ μαγιστριανὸς οὐκ ἐπαύσατο εὐχαριστῶν τῷ Θεῷ, καὶ τοῖς δεομένοις ἀφθόνως ὧν εἶχε μεταδιδούς.

21. Ἔλεγέ τις τῶν φιλοχρίστων ὅτι ὀφείλει ὁ παρέχων ἐλεημοσύνην, ὡς αὐτὸς ἐκεῖνος λαμβάνων, οὕτω παρέχειν· ἡ γὰρ τοιαύτη ἐλεημοσύνη πλησιάζει πρὸς τὸν Θεόν.

22. Φιλόχριστός τις εἴς τινα χρείαν ἀπιών, περιέτυχεν ἐν τῇ ὁδῷ πτωχῷ τινι γυμνῷ, καὶ σπλαγχνισθεὶς ἐπ' αὐτῷ, ἐχαρίσατο αὐτῷ τὸ ἑαυτοῦ ἱμάτιον, ὁ δὲ πτωχὸς ἀπελθών, πέπρακεν αὐτό· ὁ δὲ μαθὼν ὃ ἐποίησεν ὁ πτωχός, ἐλυπήθη. Παρέστη δὲ αὐτῷ κατ' ὄναρ ὁ Χριστὸς ἐν τῇ νυκτὶ ἐκείνῃ φορῶν ἐκεῖνο τὸ ἱμάτιον, καὶ ὑποδεικνὺς αὐτῷ, εἶπε· μὴ λυποῦ, ἰδοὺ γὰρ φορῶ ὃ δέδωκάς μοι.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἐπεσκέφθην τὸν Ἀββᾶν Ἰωσὴφ εἰς τὸ Ἔννατον (1)· κατὰ σύμπτωσιν παρευρίσκετο καὶ ὁ σοφιστὴς Σωφρόνιος. Ἐνῷ δὲ συνωμιλούσαμεν μὲ τὸν Γέροντα, ἦλθεν ἕνας ἐπισκέπτης ἀπὸ Ἀϊλᾶ(2)· αὐτὸς ὁ ἐπισκέπτης προσέφερε τρία νομίσματα εἰς τὸν Γέροντα καὶ τοῦ εἶπε:

—Εὐχήσου, Πάτερ μου, νὰ ἔχῃ καλὸ ταξίδι τὸ πλοῖον μου, διότι τὸ ἐναύλωσα καὶ τὸ ἔστειλα εἰς Αἰθιοπίαν.

Ὁ Γέρων οὔτε κἂν ἐπρόσεξε τὴν προσφορὰν τοῦ χρήματος, οὐδὲ ἔδωσε σημασίαν.

2. Τότε ὁ Σωφρόνιος, βλέπων τὴν ἀδιαφορίαν αὐτήν, εἶπε πρὸς τὸν Γέροντα:

—Γέροντα μου, πάρε τὰ χρήματα, ποὺ σοῦ προσφέρουν, καὶ δῶσέ τα πάλιν εἰς κανένα ἀδελφόν, ποὺ νὰ ἔχῃ ἀνάγκην.

Εἰς τὴν πρότασιν αὐτὴν ἀπήντησεν ὁ Γέρων:

—Δηλαδὴ νὰ ὑποπέσω εἰς διπλῆν ἐντροπήν· ἀφ' ἑνὸς μὲν νὰ πάρω χρήματα, ἐφ' ὅσον δὲν ἔχω ἀνάγκην, καὶ ἀφ' ἑτέρου νὰ θερίσω μὲ τὰς ἰδίας μου χεῖρας ξένα ἀγκάθια. Εἴθε νὰ ἠμποροῦσα νὰ θερίσω τὰ ἀγκάθια τῆς ψυχῆς μου. Τὸ λέγω δὲ αὐτό, διότι ἕνα θεόπνευστον λόγιον λέγει, ἐὰν εἶσαι διατεθειμένος νὰ σπείρῃς, ἀπὸ τὰ ἰδικά σου νὰ σπείρῃς· διότι τὰ ξένα σπέρματα εἶναι πικρότερα καὶ ἀπὸ τὰ ζιζάνια (3), πρὸ παντὸς δέ, τέκνον μου, ὅταν αἰτία τῆς ἐλεημοσύνης δὲν εἶναι ἡ σωτηρία τῆς ψυχῆς.

---

1) Ἔννατον (ὀρθοτέρα γραφὴ ἔνατον) ἦτο Μοναστήριον τῆς Αἰγύπτου, τὸ ὁποῖον ἀπῆχεν ἐννέα «σημεῖα» ἀπὸ τὴν Ἀλεξάνδρειαν (βλέπε καὶ ἐν τόμῳ Γ', σελ. 458, ὑποσημείωσις 1η).

2) Ἀϊλᾶ=πόλις τῆς Πετραίας Ἀραβίας κατὰ τὸν μυχὸν τοῦ Αἰλανίτου κόλπου (Ἀκάμπας). Ὑπὸ τοῦ Στράβωνος καλεῖται Αἴλανα, ὑπὸ δὲ τῶν Ἀράβων Αἰλὰ ἢ Ἀϊλὲξ Σήμερον καλεῖται Χεδζάζ.

3) Ζιζάνιον ὀνομάζεται κάθε παράσιτον φυτόν, τὸ ὁποῖον ἀναπτύσσεται εἰς τοὺς ἀγροὺς τοὺς ἐσπαρμένους μὲ σῖτον καὶ ὡριμάζει ὁμοῦ μετ' αὐτοῦ. Ἐὰν ὁ σῖτος δὲν καθαρισθῇ ἀπὸ τῶν ζιζανίων, ἀλλ' ἀλεσθῇ μετ' αὐτοῦ, τότε τὸ ἄλευρον, καὶ κατ' ἀκολουθίαν ὁ ἐξ αὐτοῦ ἄρτος, καθίσταται ἀκατάλληλος πρὸς βρῶσιν, διότι γίνεται πικρός. Εἶναι δὲ καὶ ἐπικίνδυνος, διότι εἰς τοὺς τρώγοντας προκαλεῖ σκοτοδίνην καὶ ἐμετόν, τόσον ἐντονώτερον, ὅσον μεγαλυτέρα εἶναι ἡ ἀναλογία τῶν μετὰ τοῦ σίτου ἀναμεμιγμένων κόκκων ζιζανίων. Συνηθέστερον ζιζάνιον εἶναι ἡ αἶρα κοινῶς ἦρα. Ἐξ ἀφορμῆς τῶν ἰδιοτήτων αὐτῶν τῶν ζιζανίων καλεῖται, μεταφορικῶς, ζιζάνιον ὁ ἄτακτος, ὁ ἀνήσυχος, ὁ ταραχοποιὸς καὶ πᾶς προκαλῶν αἰ-

† 3. Μὲ κάποιαν ἔκπληξιν ἐρωτᾶ ὁ Σωφρόνιος:

—Τί λοιπόν; ὅσα κάμνει ὁ ἄνθρωπος ὡς ἐλεημοσύνην, ὁ Θεὸς δὲν τὰ λογαριάζει;

Ἀπεκρίθη ὁ Γέρων:

—Ἀναλόγως τοῦ σκοποῦ, διὰ τὸν ὁποῖον γίνεται ἡ ἐλεημοσύνη, διότι καὶ ἐπ' αὐτῆς ἔχομεν πολλὰς καὶ διαφόρους περιπτώσεις· κάμνει κανεὶς ἐλεημοσύνην διὰ νὰ εὐλογηθῇ τὸ σπίτι του καὶ ὁ Θεὸς τὸ εὐλογεῖ· ἄλλος κάμνει ἐλεημοσύνην διὰ τὸ πλοῖον του καὶ ὁ Κύριος καλοταξιδεύει τὸ πλοῖον· ἄλλος διὰ τὰ παιδιά του, καὶ ὁ Κύριος φυλάσσει τὰ τέκνα αὐτοῦ· ἄλλος διὰ νὰ δοξασθῇ, καὶ ὁ Θεὸς τὸν δοξάζει. Ὁ Θεὸς κανένα δὲν περιφρονεῖ. Αὐτὸ ποὺ θέλει ὁ καθένας, τοῦ τὸ παρέχει, ἐφ' ὅσον δὲν βλάπτεται ἐκ τῆς παροχῆς αὐτῆς ἡ ψυχὴ τοῦ ἀνθρώπου αὐτοῦ.

† 4. Συμφώνως λοιπὸν μὲ τὸν σκοπόν, διὰ τὸν ὁποῖον ἔκαμαν τὴν ἐλεημοσύνην, ἱκανοποίησεν ὁ Θεὸς τὴν ἀνάλογον παράκλησίν των, καὶ οὕτω δὲν ὀφείλει τίποτε εἰς αὐτούς, κατὰ τὴν μέλλουσαν ζωήν. Σὺ ὅμως, ὁσάκις κάμνεις ἐλεημοσύνην, νὰ τὸ κάμνῃς διὰ τὴν ψυχήν σου, καὶ ἐκεῖνο, ποὺ θέλεις, θὰ σοῦ τὸ προσφέρῃ ὁ Θεός. Ἡ ἀλήθεια αὐτὴ εἶναι γραμμένη καὶ εἰς τὸ θεόπνευστον λόγιον· «δῴη σοι (Κύριος) κατὰ τὴν καρδίαν σου» (Ψαλμ. ιθ', 5). Ὑπάρχουν καὶ μερικοὶ ἄνθρωποι, ποὺ ἔχουν τὴν γνώμην, ὅτι προσφέρουν ἐλεημοσύνην· ἐν τούτοις ὅμως περισσότερον παροργίζουν τὸν Θεόν.

5. Εἰς τὸ σημεῖον αὐτὸ ὁ Σωφρόνιος δὲν ἀντελήφθη τὴν σημασίαν τῶν λεγομένων καὶ εἶπε:

—Πάτερ μου, ἀποσαφήνισέ μας τὶ ἐννοεῖς μὲ τοὺς λόγους αὐτούς.

Ἀπεκρίθη ὁ Γέρων:

—Ὁ Θεός, ὅπως εἶναι γνωστὸν ἐκ τῆς Παλαιᾶς Διαθήκης [1], διέταξε νὰ προσφέρουν εἰς Αὐτὸν τοὺς πρώτους καρποὺς ἀπὸ τὰ γεωργικὰ προϊόντα τῆς γῆς καὶ τὰ πρῶτα ζῷα ἀπὸ τὰ ποίμνια, διὰ νὰ εὐλογοῦνται τὰ ὑπόλοιπα καὶ διὰ νὰ συγχωροῦνται αἱ ἁμαρτίαι. Ἀκόμη διέταξε νὰ ἀφιερώνουν εἰς Αὐτὸν καὶ τὰ πρῶτα ἀρσενικὰ παιδιά [2]. Οἱ πλούσιοι ὅμως, ἀπὸ δόλον καὶ πονηρίαν, κάμνουν ἐντελῶς τὸ ἀντίθετον· κρατοῦν διὰ τὸν ἑαυτόν των τὰ χρήσιμα καὶ τὰ πολυτελῆ, ἐνῷ ὅσα εἶναι ἄχρηστα, διὰ πέταγμα, τὰ διαμοιράζουν εἰς τοὺς πτωχοὺς ἀδελφούς. Ἐπὶ παραδείγματι, τὸν καλὸν οἶνον τὸν πίνουν μόνοι των· ἐνῷ τὸν ξυνισμένον κι' αὐτὸν ποὺ μυρίζει, τὸν προσφέρουν εἰς

τίας διαπληκτισμῶν καὶ ἐρίδων. Τὴν ἐν τῷ σίτῳ ἀνάπτυξιν τῶν ζιζανίων ἐχρησιμοποίησε καὶ ὁ Κύριος ἐν παραβολῇ (Ματθ. ιγ' 24—30). Ἐν ταύτῃ σπορέα μὲν τοῦ καλοῦ σίτου ὀνομάζει ὁ Κύριος ἑαυτόν, σπορέα δὲ τῶν ζιζανίων τὸν διάβολον, καλὸν σῖτον τοὺς δικαίους καὶ ζιζάνια τοὺς κακούς.

1) «Τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου» (Ἐξ. κγ' 19, Λευ. κγ' 10 καὶ ἀλλαχοῦ).

2) «Τὰ πρωτότοκα τῶν υἱῶν σου δώσεις ἐμοί» (Ἐξ. κβ' 29).

τὰς χήρας καὶ τὰ ὀρφανά. Τοὺς καλλιτέρους καρποὺς τοὺς τρώγουν οἱ ἴδιοι, καὶ τοὺς σάπιους τοὺς δωρίζουν εἰς τοὺς πτωχούς.

6. Τὸ ἴδιον κάμνουν καὶ μὲ τὰ ἐνδύματα· ὅσα εἶναι χρήσιμα καὶ καινουργῆ, τὰ χρησιμοποιοῦν οἱ ἴδιοι, τὰ δὲ παλαιὰ καὶ καταξεσχισμένα, τὰ πετοῦν εἰς τοὺς πτωχούς. Ἐὰν ἔχουν παιδιά, περιποιοῦνται ἰδιαιτέρως τὰ εὔρωστα καὶ ὑγιῆ καὶ ὡραῖα καὶ τὰ προετοιμάζουν διὰ συνοικέσια καὶ γάμους, ἐνῷ τὰ ἄρρωστα, τὰ ἀνάπηρα, τὰ μονόφθαλμα, τὰ ἄσχημα, τὰ ἀφιερώνουν εἰς τὸν Θεὸν καὶ τὰ ὁδηγοῦν εἰς τὰ Μοναστήρια, διὰ νὰ γίνουν Μοναχοί. Δι' αὐτὸ καὶ ὁ Θεός, ὁ ὁποῖος γνωρίζει τὰς καρδίας των, ἀπορρίπτει καὶ δὲν δέχεται τὴν προσφοράν των αὐτήν. Τοιουτοτρόπως καὶ ὁ Κάϊν, ὅταν προσέφερε θυσίαν εἰς τὸν Θεόν, ὄχι μόνον δὲν τὸν ηὐχαρίστησεν, ἀλλὰ καὶ τὸν παρώξυνεν.

7. Τοιουτοτρόπως οἱ ἄνθρωποι ἔπρεπε νὰ σκέπτωνται· ὅταν ἐπιθυμοῦμεν νὰ τιμήσωμεν θνητοὺς ἀνθρώπους, ὅπως ἡμεῖς, προσέχομεν νὰ προσφέρωμεν εἰς αὐτούς, ὡς δῶρα, πράγματα, ποὺ αὐτοὶ θεωροῦν πολυτιμότερα ὅλων τῶν ἄλλων· πόσον λοιπὸν πρέπει εἰς τὸν Θεόν, τὸν πλάστην μας, τὸν δοτῆρα παντὸς ἀγαθοῦ, ἀπὸ τὸν ὁποῖον καὶ ἡμεῖς τὰ πάντα ἔχομεν καὶ ἐξ αὐτῶν προσφέρομεν, νὰ δωρίζωμεν τὰ πλέον ἐκλεκτὰ καὶ πολυτελῆ;

Τὸν Θεόν, ὅταν θέλωμεν νὰ τὸν ἐξευμενίσωμεν διὰ τῆς ἐλεημοσύνης, ἔχομεν ὑποχρέωσιν νὰ προσφέρωμεν, χάριν Αὐτοῦ, τὰ ἐκλεκτότερα ἀγαθά, ἀπὸ ὅσα διαθέτομεν, διὰ νὰ μὴ ἐπιστραφῇ ἐπάνω μας, μετ' αἰσχύνης, ἡ προσφορὰ ἡμῶν καὶ βδελυχθῇ ὁ Θεὸς τὴν θυσίαν ἡμῶν καὶ τὴν ἀπορρίψῃ, ὡς ἀπαράδεκτον.

8. Ὅτι ὁ Θεὸς δέχεται ἢ ἀπορρίπτει τὴν θυσίαν, ἀναλόγως τῆς ψυχικῆς διαθέσεως τοῦ προσφέροντος, τὸ συμπεραίνομεν ἀπὸ τὰ ἑξῆς περιστατικά: Τοῦ Νῶε ἡ θυσία ἐγένετο εὐπρόσδεκτος ἀπὸ τὸν Θεόν, ἂν καὶ ἦτο κνῖσα καὶ καπνός, διότι ἡ πρόθεσίς του ἦτο ἀγαθὴ καὶ ἐλογαριάσθη ἀπὸ τὸν Θεὸν εὐωδιασμένη μυρωδιά, καθὼς λέγει καὶ ἡ Γραφή· «Ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας» (Γεν. η', 21)· ἀντιθέτως τὴν προσφορὰν θυσίας πρὸς τὸν Θεόν, ἡ ὁποία προέρχεται ἀπὸ πονηρὰν προαίρεσιν τοῦ ἀνθρώπου, ἔστω καὶ ἐὰν περιέχῃ πολλοὺς καρπούς, ὥστε νὰ φαίνεται πλουσία καὶ ὡραία, ὁ Κύριος τὴν ἀποστρέφεται καὶ τὴν σιχαίνεται, ὅπως τὰς θυσίας τῶν Ἰουδαίων καὶ τὰ θυμιάματα. Ὁ Θεὸς εἶπε πρὸς τοὺς Ἰουδαίους διὰ τοῦ Προφήτου· «Μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι» (Ἡσ. α', 13).

9. Αὐτὰ εἶπεν εἰς ἡμᾶς, κατὰ τὴν συνάντησιν ἐκείνην ὁ Γέρων Ἰωσήφ· οἱ λόγοι αὐτοὶ μᾶς ὠφέλησαν πολὺ καὶ ἀνεχωρήσαμεν εὐχαριστημένοι. Ἐνῷ δὲ ὁ μακάριος μᾶς προέπεμπεν εἰς τὴν ἐξώθυραν τοῦ κελλίου του, μᾶς εἶπε:

—Τέκνα μου, σᾶς χρειάζομαι τὸ ἑπόμενον Σάββατον· σᾶς παρακαλῶ νὰ ἔλθετε.

Πράγματι, ἐπανήλθομεν εἰς τὸ κελλίον του τὸ ἑπόμενον Σάβ-

βατον, ὅπως μᾶς εἶχε παρακαλέσει, κατὰ τὰς ἐννέα τὸ πρωΐ[1]. Τὸν ηὕραμεν ὅμως πλέον νεκρόν. Κατάπληκτοι ἀπὸ τὸ προορατικὸν αὐτὸ χάρισμα τοῦ Ἁγίου αὐτοῦ Ἀσκητοῦ, τὸν ἐθάψαμεν καὶ ἀνεχωρήσαμεν, ἀφοῦ εὐχαριστήσαμεν τὸν Θεόν, διότι μᾶς ἠξίωσε νὰ κηδεύσωμεν ἕνα τοιοῦτον Ἅγιον.

10. Ἕνας Γέρων ἔλεγεν· ὑπάρχουν ἄνθρωποι, ποὺ κάμνουν πολλὰ καλὰ εἰς τὴν ζωήν των· εἰς αὐτοὺς ὁ πονηρὸς τοὺς ἐμπνέει λογισμοὺς λεπτομεροῦς καὶ λεπτολόγου ἐξετάσεως δι' ἀσήμαντα πράγματα, διὰ νὰ χάσουν τὸν μισθὸν ὅλων τῶν καλῶν, ποὺ ἔπραξαν. Συγκεκριμένως—συνέχισε ὁ διδακτικὸς αὐτὸς Γέρων—μοῦ συνέβη τὸ ἑξῆς περιστατικόν: Κάποτε ἔμενα εἰς Ὀξύρυγχον, πλησίον ἑνὸς Πρεσβυτέρου, ποὺ ἔδιδεν ἐλεημοσύνας εἰς τοὺς πτωχούς. Μεταξὺ τῶν διαφόρων πτωχῶν, ἦλθε καὶ μία χήρα, ἡ ὁποία τοῦ ἐζήτησεν ὀλίγον σιτάρι. Ὁ Πρεσβύτερος τότε τῆς λέγει:

—Φέρε μου ἕνα σακκί, καὶ θὰ σοῦ δώσω ὅσον δύναμαι.

11. Ἡ χήρα, πράγματι, τοῦ ἔφερε τὸ σακκί. Ὁ Πρεσβύτερος τότε ἐμέτρησε διὰ τῆς χειρός του τὸ μέγεθος τοῦ σάκκου καὶ διὰ λόγων προσέβαλε τὴν χήραν, ὅτι ἔφερε μεγάλο.

Ὅταν ἐμείναμεν μόνοι—συνέχισεν ὁ διδακτικὸς Γέρων—ἠρώτησα τὸν ἐν λόγῳ Πρεσβύτερον:

—Ἐπώλησες εἰς τὴν χήραν τὸν σῖτον;

—Ὄχι, εὐλογημένε,—ἀπεκρίθη ἐκεῖνος—διὰ βοήθειαν τῆς προσέφερα μίαν ποσότητα.

Τότε τοῦ εἶπον πάλιν ἐγώ:

—Ἐφ' ὅσον λοιπὸν ὁλόκληρον τὴν ποσότητα τοῦ σίτου τὴν προσέφερες εἰς αὐτὴν ὡς ἐλεημοσύνην, τότε διατί τὴν προσέβαλες, λέγων ὅτι τὸ σακκί, ποὺ ἔφερε, ἦτο μεγάλο;

12. Ὁ Ἀββᾶς Τιμόθεος ὁ Πρεσβύτερος, ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων:

—Εἰς τὴν Αἴγυπτον ζῇ μία πόρνη, ἡ ὁποία τὰ χρήματα τῆς ἁμαρτίας τὰ δίδει ἐλεημοσύνην.

Ἀπεκρίθη ὁ Ἀββᾶς Ποιμήν:

—Ἡ γυναίκα αὐτὴ φαίνεται, ὅτι ἔχει μέσα της σπινθῆρα πίστεως· νὰ εἶσαι βέβαιος, ὅτι δὲν θὰ παραμείνῃ εἰς τὴν πορνείαν.

13. Μίαν ἡμέραν ἐπεσκέφθη τὸν Ἀββᾶν Τιμόθεον ἡ μητέρα του.

—Μητέρα,—τὴν ἐρωτᾷ ὁ Ἀββᾶς Τιμόθεος·—ἡ γυναίκα ἐκείνη ἐξακολουθεῖ ἀκόμη νὰ παραμένῃ εἰς τὴν πορνείαν;

—Μάλιστα,—εἶπεν ἐκείνη,—ἐπολλαπλασίασε μάλιστα καὶ τοὺς

---

1) Ἡ ἐν τῷ κειμένῳ ἀναφερομένη τρίτη ὥρα τῆς ἡμέρας ἀντιστοιχεῖ πρὸς τὴν ἰδικήν μας ἐνάτην πρωϊνήν.

ἐραστάς της· πλὴν ὅμως—συνέχισεν—ἐπολλαπλασίασε καὶ τὰς ἐλεημοσύνας της.

Τὴν εἴδησιν αὐτὴν ὁ Ἀββᾶς Τιμόθεος μετέδωσε πρὸς τὸν Ἀββᾶν Ποιμένα.

Καὶ πάλιν ὅμως ὁ Ἀββᾶς Ποιμὴν ἐπανέλαβεν:

—Ἡ γυναίκα αὐτὴ δὲν θὰ παραμείνῃ ἐπὶ πολὺ εἰς τὴν ἁμαρτίαν τῆς πορνείας.

14. Μετὰ ἀπὸ ὀλίγον χρόνον ἐπεσκέφθη καὶ πάλιν τὸν Ἀββᾶν Τιμόθεον ἡ μητέρα του. Μεταξὺ ἄλλων, τοῦ εἶπε καὶ τὸ ἑξῆς:

—Ξεύρεις, ὅτι ἐκείνη ἡ πόρνη ἐζητοῦσε νὰ ἔλθῃ μαζί μου, διὰ νὰ προσευχηθῇς χάριν τῆς σωτηρίας της;

Τὴν πληροφορίαν αὐτὴν μετέδωσε καὶ πάλιν πρὸς τὸν Ἀββᾶν Ποιμένα ὁ Ἀββᾶς Τιμόθεος.

—Σὺ πήγαινε—εἶπε τότε ὁ Ἀββᾶς Ποιμὴν—νὰ τὴν συναντήσῃς.

15. Πράγματι ὁ Ἀββᾶς Τιμόθεος ἀνεχώρησε καὶ συνήντησε τὴν ἁμαρτωλὴν γυναῖκα. Ἐκείνη μόλις ἤκουσε τὸν λόγον τοῦ Θεοῦ ἀπὸ τὰ χείλη τοῦ Ἀσκητοῦ, συνεκινήθη, ἔκλαυσε καὶ διεκήρυξε συντετριμμένη ἐνώπιον τοῦ Ἀββᾶ Τιμοθέου:

—Ἀπὸ σήμερα μετανοῶ, σταματῶ τὴν πορνείαν καὶ ἐπιθυμῶ νὰ ἀφοσιωθῶ εἰς τὸν Θεόν.

Ἀμέσως δὲ ἔργον τὸν λόγον της κάμνουσα, εἰσῆλθεν εἰς Μοναστήριον καὶ εὐχαρίστησε μὲ τὴν μετάνοιάν της τὸν Θεόν.

16. Ἕνας ἀπὸ τοὺς Πατέρας διηγήθη τὸ ἑξῆς ἀξιοσημείωτον περιστατικόν. Κάποτε—εἶπε—ἔζη εἰς μίαν πόλιν ἕνας ἀξιωματοῦχος τῆς αὐλῆς. Μίαν ἡμέραν ἐστάλη ὑπὸ τοῦ βασιλέως εἰς κάποιαν ἀποστολήν. Καθ' ὁδὸν συνήντησεν ἕνα νεκρόν, ὁ ὁποῖος ἔκειτο γυμνός. Ὁ ἀξιωματοῦχος ἐπόνεσεν ἀπὸ τὴν θλιβερὰν αὐτὴν εἰκόνα τῆς δυστυχίας. Καὶ λέγει πρὸς τὸν ὑπηρέτην του:

—Κράτησε τὸ ἄλογο καὶ προχώρησε ὀλίγον.

Αὐτὸς δέ, ποὺ ἐν τῷ μεταξὺ εἶχεν ἀφιππεύσει, ἐπλησίασε τὸν νεκρόν, ἔβγαλε ἕνα ἀπὸ τὰ ἱμάτιά του καὶ ἐκάλυψε μὲ αὐτὸ τὸν νεκρόν.

17. Ὀλίγας ἡμέρας μετὰ ἀπὸ τὸ περιστατικὸν αὐτό, ἐστάλη καὶ πάλιν εἰς ὑπηρεσίαν ὑπὸ τοῦ βασιλέως. Μόλις ὅμως ἐξῆλθε τῆς πόλεως, ἔπεσεν ἀπὸ τὸ ἄλογόν του καὶ ἔσπασε τὸ πόδι του. Ἀμέσως τὸν μετέφεραν εἰς τὴν οἰκίαν του, ὅπου ἐβασανίζετο ἀπὸ φοβεροὺς πόνους. Οἱ ἰατροὶ ἐφρόντιζον διὰ τὸν ἀσθενῆ, χωρὶς ὅμως νὰ δυνηθοῦν νὰ φέρουν ἀποτέλεσμα. Μετὰ ἀπὸ πέντε ἡμέρας ἐμελάνιασεν ὁλόκληρον τὸ πόδι του. Ὅταν εἶδαν αὐτὸ τὸ πρᾶγμα οἱ ἰατροί, ἀνησύχησαν, καὶ διὰ νὰ μὴ σαπίσῃ καὶ τὸ ὑπόλοιπον σῶμα, ἀπεφάσισαν νὰ τοῦ κόψουν τὸ πόδι.

18. Ἀφοῦ ἔμαθεν ὁ ἀξιωματικὸς τὴν ἀπόφασιν αὐτὴν τῶν ἰατρῶν, ἐστενοχωρήθη πάρα πολύ, ἔκλαιε τὴν συμφοράν του, καὶ ἀπὸ τὴν

λύπην του, οὔτε νὰ κοιμηθῇ δὲν ἠμποροῦσε. Τὴν νύκτα, ποὺ ἐπηκολούθησε μετὰ τὴν θλιβερὰν πληροφορίαν, παρέμεινε τελείως ἄγρυπνος.

Ἐνῷ λοιπὸν ἔφεγγαν τὰ φῶτα εἰς τὸ δωμάτιόν του, κατὰ τὰ μεσάνυκτα, βλέπει ἕνα ἄνθρωπον νὰ κατεβαίνῃ ἀπὸ τὸν φεγγίτην καὶ νὰ ἔρχεται πλησίον του. Ὁ ἄνθρωπος αὐτὸς τὸν ἐρωτᾷ:

—Διατί κλαίεις καὶ εἶσαι λυπημένος;

Ὁ ἀξιωματοῦχος τοῦ ἀπήντησε:

—Κύριε μου, εἶναι νὰ μὴ κλαίω; Εἰς τὰ καλὰ καθούμενα ἔσπασα τὸ πόδι μου καὶ αὔριον οἱ ἰατροὶ ἀπεφάσισαν νὰ μοῦ τὸ κόψουν.

19. Τότε ὁ ἄγνωστος ἐκεῖνος ἄνθρωπος λέγει πρὸς τὸν πάσχοντα:

—Δεῖξε μου τὸ πόδι σου.

Ἤρχισεν ἀμέσως ἐκεῖνος νὰ ἀλείφῃ τὸ πόδι τοῦ ἀσθενοῦς καὶ νὰ τὸ μαλάσσῃ· μετ' ὀλίγον λέγει πάλιν εἰς τὸν ἀσθενῆ:

—Σήκω καὶ περπάτησε.

Ὁ ἀξιωματοῦχος παρετήρησε:

—Δὲν ἠμπορῶ, Κύριε μου, διότι εἶναι σπασμένο.

—Μὴ φοβᾶσαι,—τοῦ εἶπεν ἐκεῖνος,—στηρίξου ἐπάνω μου.

Πράγματι! Ὁ ἀξιωματοῦχος τῆς αὐλῆς ἐσηκώθηκεν ἀπὸ τὸ κρεββάτι του καὶ ἐπερπάτησε· εἶχε γίνει τελείως καλά.

Κατόπιν τοῦ παραδόξου αὐτοῦ θαύματος, ὁ ἄγνωστος ἄνθρωπος εἶπε πάλιν εἰς τὸν θεραπευθέντα:

—Νά! ἔγινες πλέον καλά. Πέσε τώρα νὰ ξεκουρασθῇς ἀπὸ τὴν ἀγρυπνίαν καὶ τὰς ταλαιπωρίας καὶ μὴ στενοχωρῆσαι.

Ἐν συνεχείᾳ τοῦ ὡμίλησεν ὀλίγα τινὰ διὰ τὴν ἀξίαν τῆς ἐλεημοσύνης, προσθέσας καὶ τοὺς λόγους τῆς Ἁγίας Γραφῆς· «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται» (Ματθ. ε', 7) καὶ «Ἡ γὰρ κρίσις ἀνέλεος, τῷ μὴ ποιήσαντι ἔλεος» (Ἰακ. β', 13).

20. Μετὰ ἀπὸ τὴν σύντομον αὐτὴν διδασκαλίαν, ὁ ἄγνωστος ἀπεχαιρέτησε τὸν θεραπευθέντα.

—Χαῖρε· καὶ ὑγίαινε πάντοτε.

Λυπημένος ὁ ἀξιωματοῦχος διὰ τὴν ἐπικειμένην ἀναχώρησιν τοῦ εὐεργέτου του ἐρωτᾷ:

—Φεύγεις;

—Τί θέλεις;—εἶπεν ἐκεῖνος —τώρα πλέον ἔγινες καλά!

Λέγει πάλιν ὁ ἀξιωματοῦχος:

—Εἰς τὸ ὄνομα τοῦ Θεοῦ, ποὺ σὲ ἀπέστειλεν, εἰπέ μου ποῖος εἶσαι.

—Κοίταξέ με προσεκτικά —ἀπήντησε ὁ ἄγνωστος —γνωρίζεις αὐτὸ ποὺ φορῶ;

—Μάλιστα—ἀπήντησεν ἐκεῖνος—εἶναι ἰδικόν μου ἱμάτιον.

—Ἔ! λοιπόν – εἶπεν ὁ ἄγνωστος —ἐγὼ εἶμαι ἐκεῖνος, ποὺ τὸ σῶμα μου ἦτο ριγμένον καὶ γυμνὸν εἰς τὸν δρόμον καὶ σὺ μὲ στοργὴν καὶ εὐσπλαγχνίαν τὸ ἐσκέπασες· μὲ ἔστειλε λοιπὸν ὁ Θεὸς νὰ σὲ θεραπεύσω, δι' αὐτὸ πάντοτε νὰ τὸν εὐχαριστῇς.

Ἀφοῦ ἐτελείωσεν, ἀνέβηκε καὶ πάλιν ἀπὸ τὸν φεγγίτην, ἀπὸ τὸν ὁποῖον εἰσῆλθε καὶ ἔγινεν ἄφαντος. Ὁ θεραπευθεὶς ἀξιωματοῦχος δὲν ἔπαυσεν ἔκτοτε νὰ εὐχαριστῇ τὸν Θεὸν καὶ νὰ διαμοιράζῃ συνεχῶς ἐλεημοσύνην εἰς τοὺς πτωχούς.

21. Ἕνας φιλόχριστος ἄνθρωπος ἔλεγεν: Αὐτός, ποὺ δίδει ἐλεημοσύνην, πρέπει νὰ τὴν προσφέρῃ μὲ τοιαύτην εὐχάριστον διάθεσιν, ὡς νὰ τὴν ἐλάμβανεν ὁ ἴδιος. Μόνον τότε ἡ ἐλεημοσύνη πλησιάζει τὸν ἄνθρωπον πρὸς τὸν Θεόν.

22. Κάποτε ἕνας φιλόχριστος ἄνθρωπος ἐπήγαινεν εἰς τὴν ἐργασίαν του καὶ εἰς τὸν δρόμον συναντᾷ ἕνα δυστυχῆ, ὁ ὁποῖος ἦτο γυμνός. Τὸν ἐλυπήθη ἀπὸ καρδίας ὁ καλὸς αὐτὸς ἄνθρωπος καὶ τοῦ ἐχάρισε τὸ ἔνδυμά του. Ὁ πτωχός, μετ' ὀλίγον, ἐπώλησε τὸ ἔνδυμα. Αὐτό, ὅταν τὸ ἔμαθεν ὁ καλὸς ἄνθρωπος, ἐλυπήθη.

Τί συνέβη τότε; Τὴν ἰδίαν νύκτα ἐμφανίζεται ὁ Χριστὸς ἐν ὀνείρῳ εἰς τὸν ἐλεήμονα, φορῶν τὸ ἔνδυμα τῆς ἐλεημοσύνης.

—Μὴ λυπῆσαι—τοῦ λέγει μὲ γλυκύτητα·—τὸ βλέπεις; Φορῶ τὸ ἔνδυμά σου, τὸ ὁποῖον μοῦ ἔδωσες.

Β'. Τοῦ Ἁγίου Ἰσαάκ.

ΕΑΝ ποιοῦντός σου ἐλεημοσύνην, τίς ἵππῳ ἐπιβεβηκὼς ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ πρὸς σὲ τοῦ λαβεῖν, μὴ στρέψῃς αὐτὸν κενόν, ἀλλὰ δὸς αὐτῷ μετὰ ἱλαρότητος· διότι πάντως ἐν τῷ καιρῷ ἐκείνῳ ἐπιδεὴς ἦν, καὶ ὡς εἷς τῶν πτωχῶν, καὶ πλέον οὐ ἐζήτει, πάρασχε αὐτῷ· ἀπόστειλον γάρ, φησι, τὸν ψωμόν σου κατὰ πρόσωπον τοῦ ὕδατος καὶ μετὰ πολὺν καιρόν, εὑρήσεις τὴν ἀντίδοσιν.

2. Μὴ διαχωρίσῃς πλούσιον ἀπὸ πένητος, καὶ μὴ θέλε μαθεῖν τὸν ἄξιον ἐκ τοῦ ἀναξίου, ἀλλ' ἔστωσαν πρὸς σὲ πάντες πρὸς τὸ ἀγαθὸν ἴσοι. Ὁ γὰρ Κύριος τελώναις καὶ πόρναις ἐκοινώνει ἐν τραπέζαις, καὶ οὐκ ἐχώριζε τοὺς ἀναξίους, ἵνα τῷ τρόπῳ τούτῳ ἑλκύσῃ πάντας πρὸς ἑαυτόν, καὶ διὰ τῶν σωματικῶν ἐγγίσωσι τοῖς πνευματικοῖς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰσαὰκ ἔλεγε: Ὅταν κάνῃς ἐλεημοσύνην καὶ παρουσιασθῇ ἐνώπιόν σου κάποιος ἔφιππος εἰς ὡραῖον ἵππον καὶ ἁπλώσῃ τὴν χεῖρα του δι' ἐλεημοσύνην, μὴ τὸν περιφρονήσῃς· πρόσφερέ του μὲ εὐχαρίστησιν βοήθημα. Τὴν στιγμὴν ἐκείνην ὁπωσδήποτε θὰ ἔχῃ ἀνάγκην . Θεώρησέ τον λοιπὸν ὡς ἕνα πτωχὸν καὶ δῶσε του περισσότερα, ἀπὸ ὅσα σοῦ ἐζήτησεν. Ἰδοὺ τί λέγει καὶ ἕνα θρησκευτικὸν λόγιον· «Ἀπόστειλον τὸν ψωμόν σου κατὰ πρόσωπον τοῦ ὕδατος καὶ μετὰ πολὺν καιρὸν εὑρήσεις τὴν ἀντίδοσιν» (1).

---

1) Πέταξε τὸ ψωμί σου εἰς τὸ νερὸν καὶ ὕστερα ἀπὸ πολὺν καιρὸν θὰ λά-

2. Ὅταν ἀσκῇς τὴν ἐλεημοσύνην, ποτὲ νὰ μὴ ξεχωρίσῃς, ἀπὸ τὰς προσφοράς σου, τὸν πλούσιον ἀπὸ τὸν πτωχόν, καὶ νὰ μὴ ἐπιζητήσῃς νὰ ἐξακριβώσῃς ποῖος πράγματι εἶναι ἄξιος νὰ λάβῃ ἐλεημοσύνην καὶ ποῖος ὄχι· ὡς πρὸς τὴν ἀγαθοεργίαν νὰ τοὺς θεωρῇς ὅλους ἴσους. Ἐνθυμήσου τὸν Κύριον, ὅστις ἄνευ διακρίσεως συναναστρέφετο, διὰ νὰ τοὺς εὐεργετήσῃ, τελώνας καὶ πόρνας καὶ παρεκάθητο μαζί των εἰς τὰς τραπέζας, χωρὶς νὰ διαχωρίζῃ ἀπὸ τὴν προσφορὰν τῆς ἀγάπης του τοὺς ἀξίους ἀπὸ τοὺς ἀναξίους. Μὲ τὸν τρόπον αὐτὸν τοὺς ἔφερνε κοντά του. Μὲ τὴν ἐξωτερικὴν αὐτὴν συμπεριφοράν, δηλαδὴ τὴν σωματικήν του παρουσίαν, τοὺς ἀνεβίβαζεν εἰς τὰ ἀνώτερα πνευματικὰ ἐπίπεδα, ποὺ ἐπεδίωκε.

Γ'. Τοῦ Ἁγίου Μαξίμου.

Ο ΚΑΤΑ μίμησιν Θεοῦ τὴν ἐλεημοσύνην ποιούμενος, οὐκ οἶδε διαφορὰν πονηροῦ καὶ ἀγαθοῦ, ἢ δικαίου καὶ ἀδίκου ἐν τοῖς τοῦ σώματος ἀναγκαίοις, ἀλλὰ πᾶσιν ἐξ ἴσου κατὰ τὴν χρείαν διανέμει, κἂν προτιμᾷ διὰ τὴν ἀγαθὴν προαίρεσιν τοῦ φαύλου τὸν ἐνάρετον.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ θέλει νὰ ἐλεῇ κατὰ μίμησιν τοῦ Θεοῦ, δὲν ξεχωρίζει ἀπὸ τὴν ἀγαθοεργίαν του τὸν καλὸν καὶ τὸν κακόν, τὸν δίκαιον καὶ τὸν ἄδικον, εἰς τὴν ἱκανοποίησιν τῶν σωματικῶν ἀναγκῶν· εἰς ὅλους μετὰ τῆς αὐτῆς προαιρέσεως προσφέρει τὰ ἀπαραίτητα, ἔστω καὶ ἐὰν εἰς τὴν ψυχήν του μέσα προτιμᾷ τὸν ἐνάρετον καὶ ὄχι τὸν κακόν.



βῃς τὴν ἀνταμοιβήν. Τὸ λόγιον αὐτὸ εἶναι ἀνάλογον τῆς παροιμίας: «Κάνε τὸ καλὸ καὶ ρίξ' το στὸ γιαλό».

ΥΠΟΘΕΣΙΣ Γ'.

Ὅτι τὸ τῆς φιλαργυρίας πάθος, παθῶν πάντων ἐστὶ ὀλεθριώτερον.

Τὸ πάθος τῆς φιλαργυρίας εἶναι τὸ καταστρεπτικώτερον ἀπὸ ὅλα τὰ ἄλλα πάθη.

Α'. Ἀντιόχου τοῦ Παντέκτου.

Τὸ τῆς φιλαργυρίας νόσημα πάνυ δεινὸν καὶ ὀλέθριον ὑπάρχει· ἀδύνατον γὰρ ζῆσαι κατὰ Θεὸν τὸν φιλήδονον ὄντα, καὶ φιλάργυρον. Αὕτη γὰρ ἡ νόσος, ὅταν χλιαρὰν καὶ ἄπιστον εὕρῃ τὴν ψυχήν, εὐλόγους αὐτῇ τινὰς ὑποβάλλει προφάσεις, οἷον γῆρας μακρόν, ἀσθένειαν σώματος καὶ τὰ τοιαῦτα· καὶ ὥσπερ ἡ θάλασσα οὐκ ἐμπίπλαται δεχομένη πλῆθος ποταμῶν, οὕτως ἐπιθυμία φιλαργύρου, οὐδέποτε πληροῦται χρημάτων.

2. Φιλάργυρος Μοναχὸς ἐργάζεται εὐτόνως, ὁ δὲ ἀκτήμων προσευχαῖς σχολάζει, καὶ ἀναγνώσμασιν. Ὁ φιλάργυρος θησαυρίζει βαλάντιον, ὁ δὲ ἀκτήμων συνάγει ἀρετάς. Λέγει ἡ Γραφή· ἐπικατάρατος ὁ ποιῶν εἴδωλον καὶ τιθεὶς ἐν ἀποκρύφῳ· τούτῳ δὲ ὅμοιος ὁ φιλάργυρος· ὁ μὲν γὰρ προσκυνεῖ κιβδήλῳ ἀνωφελεῖ, ὁ δὲ ἀγαλματοφορεῖ φαντασίαν πλούτου· καὶ ὥσπερ γίνεται τοῖς κοιλιοδούλοις ἡ κοιλία θεός, οὕτω τοῖς φιλαργύροις θεὸς ὁ χρυσός.

3. Τοῦτο τὸ πάθος οἱ ἄπιστοι καὶ ἀνέλπιστοι, ὡς εἴρηται, νοσοῦσιν, οἵτινες καὶ εἰκότως εἰδωλολάτραι προσαγορεύονται· οὐκέτι γὰρ τὴν εἰς Θεὸν ἐλπίδα ἔχουσιν, ἀλλ' εἰς ζῷα βασιλικά. Οὕτως οὖν τοῦ φιλαργύρου, οὐδὲν ἀνομώτερον, ὥς φησιν ἡ Γραφή· οὕτω γὰρ καὶ τὴν ἑαυτοῦ ψυχὴν ἔκπρακτον ποιεῖ· πολλοὶ γὰρ ἐδόθησαν εἰς πτῶμα χάριν χρυσίου, ὡς καὶ Ἰούδας διὰ τῆς φιλαργυρίας, οὐ μόνον τοῦ χοροῦ τῶν Ἀποστόλων ἐξέπεσεν, ἀλλὰ καὶ προδότης γέγονε τοῦ Δεσπότου, καὶ δι' ἀγχόνης ἀπώλετο.

4. Λέπρα οὖν ψυχῆς ἐστιν ἡ φιλαργυρία, ὡς διὰ τοῦ Γιεζῆ ἀποδέδεικται, λεπρωθέντος εὐθύς, ἡνίκα ταύτην ἠγάπησεν. Αὕτη καὶ σὴς ὀστέων ἐν τῷ ἀνθρώπῳ γίνεται, κατεσθίουσα αὐτὸν ἀεὶ διὰ τῆς μερίμνης καὶ τῆς ἀγρυπνίας· ὁ δὲ θέλων, εὐκόλως αὐτῆς περιγίνεται· οὐ γὰρ φυσικὸν πάθος ἐστί, ἀλλὰ προαιρετικόν. Διὸ καὶ εἴ τις ἀναλάβοι πίστιν εἰς Θεὸν καὶ ἐλπίδα ἀδίστακτον, εὐχερῶς καταπτύσει φιλαργυρίας, καὶ ἑαυτὸν μεγίστου κινδύνου ῥύσεται.

5. Μακάριος ἄνθρωπος, ὃς εὑρέθη ἄμωμος καὶ ὀπίσω χρυσίου οὐκ ἐπορεύθη, κατὰ τὴν Γραφήν. Ὁ γὰρ Ἰάκωβος ἀπειλῶν τοῖς φιλαργύροις, φησίν· ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῶν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ.

6. Παραπλήσια δὲ τούτῳ καὶ ὁ Προφήτης Ἀββακοὺμ λέγει, ταλανίζων τοὺς φιλαργύρους· οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτῷ· ὄντως γὰρ ὁ χρήματα συνάγων, ἀποτίθησι τὰ μετὰ μικρὸν αὐτῷ οὐκ ἐσόμενα. Τούτοις δὲ καὶ ὁ

Δαβὶδ συνηγορῶν ἔφη· ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν ἑαυτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

7. Φύγωμεν οὖν, ἀδελφοί, τὸ δεινὸν τοῦτο πάθος· τὸ ἀσυμπαθές, τὸ μισάνθρωπον, καὶ ἀνέλπιστον, καὶ πάντων τῶν κακῶν πρόξενον, τοῦ Ἀποστόλου ἀκούοντες λέγοντος· ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· καὶ τὴν ἀκτημοσύνην ἀσπασώμεθα, τῷ Σωτῆρι πειθόμενοι παραγγέλλοντι· μὴ κτήσησθε χρυσὸν μηδὲ ἄγυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν· ἡ γὰρ ἀκτημοσύνη, εὐσταλὴς οὖσα καὶ κούφη, εἰς τὸν οὐρανὸν ἀνάγει τὸν ταύτην κτησάμενον.

8. Διὸ ἐμπιστεύσωμεν τῷ Θεῷ τὴν χρείαν τοῦ σώματος, καὶ δῆλοι ἐσμέν, ὅτι καὶ τὴν τοῦ πνεύματος αὐτῷ ἐμπιστεύομεν, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν, καὶ οἶδεν ὧν χρείαν ἔχομεν, πρὸ τοῦ αἰτῆσαι αὐτόν.

9. Ὁ γὰρ Θεὸς ἁπλοῦς ὢν ἁπλότητι χαίρει καὶ τοῖς ταύτῃ συζῶσι, χορηγός ἐστι διαψιλέστατος, καθὼς ἡ Σοφία φησί· ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς. Καὶ πάλιν· τοῦ πιστοῦ, ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου, οὐδὲ ὀβολός. Καί· εὐλογία Κυρίου, ἐπὶ κεφαλὴν δικαίου. Καί· ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ. Καί· ὁ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστοῦ. Καί· οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου. Καί· ὁ πεποιθὼς ἐπὶ πλούτῳ αὐτοῦ, οὗτος πεσεῖται.

10. Λέγει δὲ καὶ ὁ Ψαλμῳδός· ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν· ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ· πλούσιοι γὰρ ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Καὶ πάλιν· οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

11. Καὶ αὐτὸς ὁ φιλάνθρωπος Δεσπότης ἡμῶν παραινεῖ ἡμᾶς λέγων· ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; καὶ ἐπάγει· μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἑρμηνεία

ΤΟ πάθος τῆς φιλαργυρίας εἶναι πάρα πολὺ φοβερὸν καὶ καταστρεπτικόν· διότι εἶναι τελείως ἀδύνατον, ἐκεῖνος ποὺ ἀγαπᾷ τὰς ἡδονὰς καὶ τὸ χρῆμα νὰ ζήσῃ κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ. Αὐτὸ λοιπὸν τὸ πάθος, ὅταν εὕρῃ τὴν ψυχὴν χωρὶς τὸν θερμὸν ζῆλον τῆς ἀρετῆς καὶ χωρὶς τὴν πίστιν, ἀρχίζει νὰ τὴν ἐνοχλῇ μὲ ὡρισμένας εὐλόγους προφάσεις, διὰ νὰ δικαιολογήσῃ τὴν κλίσιν πρὸς τὰ χρήματα· τοιαῦται, παραδείγματος χάριν, προφάσεις εἶναι τὰ γηρατεῖα, ἡ σωματικὴ ἀσθένεια καὶ τὰ παρόμοια. Καὶ ὅπως ἀκριβῶς ἡ θάλασσα δὲν γεμίζει, παρ' ὅλον ὅτι δέχεται πολλοὺς ποταμούς, τοιουτοτρόπως καὶ ἡ ἐπιθυμία τοῦ φιλαργύρου οὐδέποτε ἱκανοποιεῖται ἀπὸ τὰ χρήματα, τὰ ὁποῖα διαρκῶς ἐπιζητεῖ.

2. Ὁ φιλάργυρος Μοναχός, διὰ νὰ ἀποκτήσῃ χρήματα, ἐργάζεται σκληρῶς, ἐνῷ ὁ ἀκτήμων εἶναι ἀφωσιωμένος εἰς προσευχὰς καὶ ὠφέλιμα ἀναγνώσματα. Ὁ φιλάργυρος μεταβάλλει, διὰ τῆς συστηματικῆς ἀποταμιεύσεως, εἰς θησαυρὸν τὸ βαλάντιόν του· ὁ δὲ ἀκτήμων

μόνον ἀρετὰς θησαυρίζει. Ἡ Ἁγία Γραφὴ λέγει· «Ἐπικατάρατος ἄνθρωπος, ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα Κυρίῳ, ἔργον χειρῶν τεχνιτῶν, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ» (Δευτ. κζ', 15). Μὲ αὐτὸν ὁμοιάζει ὁ φιλάργυρος. Διότι ὁ μὲν εἰδωλολάτρης προσκυνεῖ ψευδῆ θεόν, ὁ ὁποῖος δὲν τὸν ὠφελεῖ, ὁ δὲ φιλάργυρος κάμνει, εἰς τὴν σκέψιν του, ἄγαλμα προσκυνουμένου θεοῦ, τὴν ὑλικὴν ὑπεροχὴν τοῦ πλούτου. Ὅπως δὲ ἀκριβῶς διὰ τοὺς κοιλιοδούλους γίνεται θεὸς ἡ κοιλία των, τοιουτοτρόπως καὶ διὰ τοὺς φιλαργύρους ὁ χρυσὸς γίνεται θεός των.

3. Ἀπὸ αὐτὸ τὸ πάθος τῆς φιλαργυρίας, ὅπως ἔχει λεχθῆ, ὑποφέρουν ὅσοι δὲν ἔχουν πίστιν καὶ ἐλπίδα· αὐτοὺς θὰ ἠμποροῦσε κανείς, πολὺ λογικῶς, νὰ τοὺς ὀνομάσῃ εἰδωλολάτρας, διότι δὲν στηρίζουν πλέον τὰς ἐλπίδας των εἰς τὸν Θεόν, ἀλλ' εἰς βασιλικὰς εἰκόνας [1]. Ὥστε λοιπόν, ὅπως λέγει καὶ ἡ Γραφή, δὲν ὑπάρχει μεγαλύτερος παράνομος ἀπὸ τὸν φιλάργυρον· διότι ὁ φιλάργυρος καὶ τὴν ψυχήν του ἀκόμα ἐκθέτει πρὸς πώλησιν διὰ τὸ χρῆμα· πολλοὶ δὲ ἀπέθανον πνευματικῶς διὰ τὸ χρῆμα. Παράδειγμα αἰώνιον ὁ Ἰούδας, ὁ ὁποῖος ἐξ αἰτίας τῆς φιλαργυρίας, ὄχι μόνον ἐξέπεσεν ἀπὸ τὸ Ἀποστολικὸν ἀξίωμα, ἀλλὰ κατέστη καὶ προδότης τοῦ Δεσπότου καί, εἰς τὸ τέλος, ἔχασε καὶ τὴν ζωήν του καὶ τὴν ψυχήν του, αὐτοκτονήσας δι' ἀγχόνης ἐξ ἀπελπισίας καὶ ἀπογνώσεως.

4. Ἡ φιλαργυρία λοιπὸν εἶναι λέπρα τῆς ψυχῆς· αὐτὸ ἔχει ἀποδειχθῆ καὶ εἰς τὴν περίπτωσιν τοῦ Γιεζῆ, ὁ ὁποῖος προσεβλήθη ἀπὸ λέπραν, μόλις ἠγάπησε τὴν φιλαργυρίαν. Ἀκόμη ἡ φιλαργυρία εἶναι σκώληξ, ποὺ κατατρώγει τὰ ὀστᾶ τοῦ ἀνθρώπου μὲ τὴν μέριμναν τῶν χρημάτων καὶ τὴν ἀγρυπνίαν, πῶς νὰ κρύψῃ τὰ χρήματα.

Ἐκεῖνος ὅμως, ὁ ὁποῖος θέλει, μὲ εὐκολίαν τὴν κατανικᾷ, διότι ἡ φιλαργυρία δὲν εἶναι πάθος, ὀφειλόμενον εἰς τὴν φύσιν τοῦ ἀνθρώπου, ἀλλὰ εἰς τὴν προαίρεσιν αὐτοῦ. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ἐκεῖνος, ὁ ὁποῖος θὰ δυνηθῇ νὰ ἐνισχύσῃ τὴν πίστιν του εἰς τὸν Θεὸν καὶ νὰ στηρίξῃ εἰς Αὐτὸν καὶ μόνον, χωρὶς νὰ διστάσῃ, τὴν ἐλπίδα του, εὐκόλως θὰ ἀποβάλῃ τὸ πάθος τῆς φιλαργυρίας καὶ θὰ σώσῃ τὸν ἑαυτόν του ἀπὸ μέγιστον κίνδυνον.

5. Μακάριος καὶ εὐτυχὴς εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, ὁ ὁποῖος, κατὰ τὴν Ἁγίαν Γραφήν, εὑρέθη καθαρὸς ἀπὸ τὸ μίασμα τῆς φιλαργυρίας καὶ δὲν ἐπεδίωξε νὰ ἀποκτήσῃ χρυσάφι [2]. Ὁ Ἀπόστολος Ἰάκωβος ἀπειλῶν τοὺς φιλαργύρους λέγει· «Ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῶν ἔσται, καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ» (Ἰακ. ε' 3).

---

1) Βασιλικὰ ζῷα (=βασιλικὰς εἰκόνας) ὀνομάζει ὁ Ἅγιος Ἀντίοχος κατὰ συνεκδοχὴν τὰ νομίσματα, διότι ἔφερον χαραγμένας τὰς εἰκόνας τῶν βασιλέων. Ἡ δὲ λέξις ζῷον σημαίνει καὶ εἰκών, μορφή, ζωγραφία.

2) «Μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος, καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη» (Σειρὰχ λδ' 8).

6. Τὰ ἴδια σχεδὸν λέγει καὶ ὁ Προφήτης Ἀββακούμ, ὅταν ἐλεεινολογῇ τοὺς φιλαργύρους· «Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ» (Ἀββακ. β' 6)· διότι πράγματι ἐκεῖνος, ποὺ συγκεντρώνει χρήματα, θησαυρίζει πράγματα, τὰ ὁποῖα ἐντὸς ὀλίγου, ὅταν ἀποθάνῃ, δὲν θὰ ἀνήκουν πλέον εἰς αὐτόν. Μὲ τοὺς δύο προηγουμένους ἄνδρας τῆς Ἁγίας Γραφῆς, τὸν Ἀπόστολον Ἰάκωβον καὶ τὸν Προφήτην Ἀββακούμ, συμφωνῶν καὶ ὁ Προφητάναξ Δαβὶδ λέγει: «Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ» (Ψαλμ. να', 9).

7. Ἄς ἀποφύγωμεν λοιπόν, ἀδελφοί μου, τὸ φοβερὸν αὐτὸ πάθος, ποὺ κάμνει τὸν ἄνθρωπον νὰ μὴ αἰσθάνεται συμπάθειαν, τοῦ ἐμπνέει μῖσος πρὸς τοὺς ἄλλους, τοῦ καταστρέφει ὅλας τὰς πρὸς τὸν Θεὸν ἐλπίδας καὶ εἶναι ἡ αἰτία ὅλων τῶν κακῶν. Ἄς ἀκούσωμεν τὸν Ἀπόστολον, ποὺ λέγει· «Ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία» (Α' Τιμοθ. ς' 10). Ἄς κλείσωμεν μέσα εἰς τὰ στήθη μας τὴν ἀγάπην πρὸς τὴν ἀκτημοσύνην ὑπακούοντες εἰς τὸν Σωτῆρα μας, ὁ ὁποῖος μᾶς παραγγέλλει· «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν» (Ματθ. ι' 9). Ἡ ἀκτημοσύνη, ἐπειδὴ εἶναι ἀπηλλαγμένη ἀπὸ τὴν ὕλην καὶ τὰς φροντίδας τῶν χρημάτων, καθιστᾷ τὸν ἀκτήμονα πρόθυμον εἰς τὰς πνευματικὰς ἀσκήσεις καὶ ἐλαφρόν, καὶ τὸν ἀναβιβάζει εἰς τὸν οὐρανόν.

8. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἂς ἐμπιστευθῶμεν εἰς τὸν Θεὸν τὴν συντήρησιν τοῦ σώματος ἡμῶν· τοιουτοτρόπως ἀποδεικνύομεν, ὅτι ἐμπιστευόμεθα εἰς Ἐκεῖνον καὶ τὰς πνευματικάς μας ἀνάγκας, διότι Αὐτὸς φροντίζει καὶ μεριμνᾷ δι' ἡμᾶς καὶ γνωρίζει ἀπὸ ποῖα πράγματα ἔχομεν ἀνάγκην, πρὶν ἡμεῖς τὸ ζητήσωμεν ἀπὸ Αὐτόν.

9. Ὁ Θεός, ὡς ἁπλοῦς κατὰ τὴν οὐσίαν, ἰδιαιτέρως ἀγαπᾷ τὴν ἁπλότητα καὶ ἐκείνους, ποὺ ζοῦν μὲ ἁπλότητα· δι' αὐτὸ καὶ πλουτίζει μὲ τὰ ἀγαθά Του τοὺς ἁπλοῦς καὶ ἁπλῶς διάγοντας. Ἐπὶ τοῦ ζητήματος αὐτοῦ ἀρκετὰς καὶ σημαντικὰς μαρτυρίας παρέχουν, εἰς τὴν Ἁγίαν Γραφήν, αἱ Παροιμίαι τοῦ Σολομῶντος. Ἰδοὺ μερικαὶ ἀπὸ αὐτάς· «Ὅς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς» (Παρ. ι' 9). «Τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός» (Παρ. ιζ' 6). «Εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου» (Παρ. ι' 6). «Ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ» (Παρ. ια' 25). «Ὁ δὲ σπείρων δικαιοσύνην λήψεται μισθὸν πιστόν» (Παρ. ια' 21). «Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν» (Παρ. ι' 3). «Ὁ πεποιθὼς ἐπὶ πλούτῳ, οὗτος πεσεῖται» (Παρ. ια' 28).

10. Ἐκτὸς ἀπὸ αὐτοὺς τοὺς διδακτικοὺς λόγους τοῦ σοφοῦ Σολομῶντος, λίαν ἀξιόλογοι καὶ λίαν διδακτικοὶ εἶναι καὶ οἱ λόγοι ἐκεῖνοι ποὺ συναντῶμεν εἰς τοὺς Ψαλμούς· «Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους Αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος Αὐτοῦ· ῥύσα-

σθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ» (Ψαλμ. λβ' 18—19) καὶ «Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ» (Ψαλμ. λγ' 11). Σχετικῶς πάλιν εἰς ἄλλο σημεῖον τοῦ βιβλίου τῶν Ψαλμῶν ἀναγράφεται «Οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους» (Ψαλμ. λς' 25).

11. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης μᾶς συμβουλεύει μὲ τὰς ἑξῆς χαρακτηριστικὰς φράσεις: «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;» (Ματθ. ς' 26)· ἀμέσως δὲ προσθέτει τὶ πρέπει νὰ κάμνωμεν· «Μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν, ἢ τὶ πίωμεν, ἢ τὶ περιβαλώμεθα· πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν» (Ματθ. ς' 31—33).

Β'. Τοῦ Ἁγίου Μαξίμου.

ΠΑΣ φιλάργυρος δι' εὐλαβείας τὴν ἀρετὴν ὑποκρινόμενος, ἐπεὶ δ' ἂν εὕρῃ τὴν ποθουμένην ὕλην πορίσασθαι, τὸν τρόπον ἐξόμνυται καθ' ὃν μαθητὴς εἶναι τοῦ Λόγου τὸ πρὶν ἐνομίζετο.

Ἑρμηνεία

ΚΑΘΕ φιλάργυρος ὑποκρίνεται τὸν ἐνάρετον, παρουσιαζόμενος δῆθεν ὡς εὐλαβὴς εἰς τὰ μάτια τοῦ κόσμου· μόλις ὅμως κατορθώσῃ νὰ ἐξασφαλίσῃ τὰ χρήματα, τὰ ὁποῖα ποθεῖ διὰ τοὺς σκοπούς του, τότε ἀμέσως ἀπαρνεῖται τὸν τρόπον τὸν ὁποῖον μετεχειρίζετο πρότερον καὶ ἐκ τοῦ ὁποίου ἐθεωρεῖτο ὡς μαθητὴς τοῦ Λόγου.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΗΡΩΤΗΘΗ Γέρων τί ἐστι φιλαργυρία; καὶ ἀπεκρίθη· τὸ μὴ πιστεῦσαι τῷ Θεῷ, ὅτι ποιεῖταί σου φροντίδα, καὶ τὸ ἀπελπίσαι τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, καὶ τὸ φιλεῖν τὰς ἡδονάς.

Ἑρμηνεία

ΤΙ πρᾶγμα εἶναι ἡ φιλαργυρία; ἠρώτησαν κάποτε ἕνα Γέροντα Ἀσκητήν. Ἐκεῖνος τότε ἔδωσε τὴν ἑξῆς ἀπάντησιν:

—Φιλαργυρία εἶναι τὸ νὰ μὴ ἔχῃς ἐμπιστοσύνην εἰς τὸν Θεόν, ὅτι φροντίζει διὰ σέ· τὸ νὰ μὴ ἐλπίζῃς πλέον εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ καὶ τὸ νὰ ἀγαπᾷς τὰς ἡδονάς.

ΥΠΟΘΕΣΙΣ Δ'

Πόθεν ἡ εἰς Θεὸν ἀγάπη ἐγγίνεται, καὶ πῶς δείκνυται, καὶ τίνα ἐργάζεται.

Ἀπὸ ποῦ ἀναπτύσσεται ἡ πρὸς Θεὸν ἀγάπη, πῶς ἐκφράζεται καὶ ποῖα τὰ ἔργα της.

Α'. Τοῦ Ἁγίου Μάρκου.

ΟΙ ΤΟΝ ΘΕΟΝ ἀγαπῶντες καθημέραν ἀποθνήσκουσι, τουτέστι πᾶσαν ἔννοιαν τῆς ἐνταῦθα ζωῆς ὑπερβαίνουσι, μηδὲν ἕτερον ἐννοοῦντες, ἢ μόνον πότε καταντήσωσιν εἰς τὴν τελείαν ἀγάπην τοῦ Χριστοῦ, ἥτις ἐστὶν ἐνδότερον ἄνοιγμα τῆς καρδίας, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς διὰ τοῦ Βαπτίσματος.

2. Τοῦτο ζητῶν παρὰ τὰς ἀρχὰς ὁ Ἅγιος Παῦλος ἔλεγε· διώκω εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην· τουτέστι, ἵνα ἀγαπήσω, ὅσον ἠγαπήθην ὑπὸ Χριστοῦ. Μετὰ δὲ τὸ καταλαβεῖν ταύτην τὴν ἀγάπην, οὐκέτι οὐδὲν ἕτερον ἐννοεῖν κατεδέχετο· οὐ τὰ θλιβερὰ τούτου τοῦ σώματος, οὐ τὰ θαύματα τῆς κτίσεως, ἀλλὰ πᾶσαν σχεδὸν ἔννοιαν παρῃτεῖτο, μηδὲ πρὸς ὥραν τῆς τοῦ πνεύματος ἐνεργείας στερηθῆναι καταδεχόμενος.

3. Ἐφανεροποίησε δὲ ὅσα διὰ τὴν πνευματικὴν ἀγάπην παρῃτεῖτο καὶ φησί· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; Καὶ πάλιν· πέπεισμαι, φησίν, ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε Ἄγγελοι οὔτε Ἀρχαὶ οὔτε Ἐξουσίαι οὔτε Δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· καθότι οὐδὲν τούτων ἐννοῶν ἠνείχετο, ἢ μόνον ἐκεῖ παραμένειν.

4. Πᾶν ῥῆμα Χριστοῦ, ἔλεον καὶ δικαιοσύνην καὶ σοφίαν ἐμφαίνει Θεοῦ, καὶ τὴν τούτων δύναμιν διὰ τῆς ἀκοῆς ἐμβάλλει τοῖς ἡδέως ἀκούουσιν· ὅθεν οἱ ἀνελεήμονες, καὶ ἄδικοι, ἀηδῶς ἀκούοντες, τὴν τοῦ Θεοῦ σοφίαν γνῶναι οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ λαλοῦντα ἐσταύρωσαν.

5. Καὶ ἡμεῖς οὖν ἴδωμεν εἰ ἡδέως αὐτοῦ ἀκούωμεν· αὐτὸς γὰρ εἴρηκεν· ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει· καὶ ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν· βλέπεις πῶς τὴν ἑαυτοῦ ἐμφάνειαν ταῖς ἐντολαῖς ἐνέκρυψεν;

6. Ὁ τῆς κατὰ Θεὸν προκοπῆς ἐφιέμενος ὀφείλει τὴν ἀρχὴν ταύτης ἐντεῦθεν ποιεῖσθαι, ἀνεπίληστον καὶ ἀειμνημόνευτον· ἐν ἀδιαλείπτῳ μελέτῃ ἀναλογίζεσθαί σε χρὴ τὰς τοῦ Θεοῦ τοῦ φιλανθρώπου εἰς αὐτὸν γενομένας οἰκονομίας καὶ εὐεργεσίας ἐξ ἀρχῆς γενέσεως μέχρι τοῦ παρόντος, τάς τε σωματικὰς καὶ τὰς πνευματικάς, καὶ ταύτας πρὸ ὀφθαλμῶν τιθέμενον, ἐν αὐταῖς μελετᾶν καὶ ἀδολε-

σχεῖν, κατὰ τὸ εἰρημένον· μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ· καὶ μὴ λήθῃ καλυπτόμενον ἢ ῥαθυμίας αἰτίᾳ ἀμνημονεῖν τῶν πολλῶν καὶ μεγάλων αὐτοῦ εὐεργεσιῶν· καὶ διὰ τοῦτο ἀνωφελῶς καὶ ἀχαρίστως παρέρχεσθαι τὸν ὑπόλοιπον χρόνον.

7. Αἱ γὰρ τοιαῦται ἀδιάλειπτοι μνῆμαι ὥσπερ τι κέντρον νύττουσαι τὴν καρδίαν, κινοῦσιν αὐτὴν πάντοτε εἰς ἐξομολόγησιν, εἰς ταπείνωσιν, εἰς εὐχαριστίαν, μετὰ συντετριμμένης ψυχῆς, εἰς πᾶσαν σπουδὴν ἀγαθήν, καὶ ἀνταπόδοσιν τρόπων καὶ ἠθῶν χρηστῶν, καὶ πάσης τῆς κατὰ Θεὸν ἀρετῆς ἀεὶ μελετῶσαν εὐσυνειδήτῳ γνώμῃ τὸ προφητικὸν λόγιον· τὶ ἀνταποδώσω τῷ Κυρίῳ, περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

8. Ὅταν γὰρ ἀναλογίσηται ἡ ψυχὴ τὰς ἀπὸ γενέσεως εὐεργεσίας τοῦ φιλανθρώπου Θεοῦ, καὶ πόσων κινδύνων πολλάκις ἐῤῥύσθη, ἢ πόσοις κακοῖς ὑποπεσοῦσα, καὶ ἐν πλημμελείαις πολλάκις ὀλισθήσασα ἑκουσίως, οὐ παρεδόθη κατὰ τὸ δίκαιον κρῖμα τοῖς ἀπατήσασι πνεύμασιν εἰς ἀπώλειαν καὶ θάνατον, ἀλλὰ μακροθύμως ὁ φιλάνθρωπος Δεσπότης παρορῶν τὰ πλημμελήματα, διεφύλαξεν ἐκδεχόμενος τὴν ἐπιστροφὴν αὐτῆς.

9. Καὶ τοῖς ἐχθροῖς, καὶ πονηροῖς πνεύμασιν ἑκουσίως διὰ τῶν παθῶν δουλεύσασαν, Αὐτὸς διέτρεφε, σκέπων καὶ παντοίως προνοούμενος, καὶ τέλος ἀγαθῷ νεύματι εἰς ὁδὸν σωτηρίας ὡδήγησε, καὶ φίλτρον ἀσκητικοῦ βίου τῇ καρδίᾳ ἐνέθηκε, καὶ μετὰ χαρᾶς τὸν κόσμον καὶ πᾶσαν αὐτοῦ τὴν ἀπάτην τῶν σαρκικῶν ἡδονῶν καταλιπεῖν ἐνεδυνάμωσε, καὶ Ἀγγελικῷ σχήματι τῆς ἀσκητικῆς τάξεως κατεκόσμησε, καὶ εὐχερῶς προσληφθῆναι παρὰ Ἁγίων Πατέρων ἐν συστήματι ἀδελφότητος παρεσκεύασε.

10. Τὶς εὐσυνείδητον ἔχων γνώμην, καὶ ταῦτα ἀναλογιζόμενος, οὐχὶ πάντοτε ἐν συντριμμῷ καρδίας διατελέσει, ἔχων τοσαῦτα ἐνέχυρα προλαβουσῶν εὐεργεσιῶν, μηδὲν ἀγαθὸν αὐτὸς πρότερον ἐργασάμενος; καὶ οὐχὶ πάντοτε βεβαίαν ἐλπίδα ἀναλάβῃ, τοῦτο βουλευσάμενος, ὅτι εἰ μηδὲν ἀγαθόν μου ποιήσαντος, ἀλλὰ καὶ πολλὰ ἐνώπιον Αὐτοῦ ἁμαρτήσαντος, ἐν ἀκαθαρσίᾳ σαρκὸς καὶ ἄλλαις πολλαῖς κακίαις συλληφθέντος, οὐ κατὰ τὰς ἁμαρτίας ἐποίησεν, οὐδὲ κατὰ τὰς ἀνομίας ἀνταπέδωκεν; ἀλλὰ τοσαύτας δωρεάς, καὶ χάριτας εἰς σωτηρίαν ᾠκονόμησεν· ἐὰν νῦν ὁλοτελῶς δῷ ἐμαυτὸν τοῦ λοιποῦ δουλεύειν αὐτῷ ἐν πάσῃ ἁγνῇ ἀναστροφῇ, καὶ ἀρετῶν κατορθώσει, πόσων ἀγαθῶν, καὶ πνευματικῶν χαρισμάτων ἀξιώσει, εἰς πᾶν ἔργον ἀγαθὸν δυναμῶν καὶ κατευοδῶν;

11. Διόπερ ὁ πάντοτε τοιοῦτον λογισμὸν σῴζων, καὶ μὴ ἐπιλανθανόμενος τῶν τοσούτων εὐεργεσιῶν, εὐκόλως πρὸς ἔπειξιν καὶ ἀγάπην Θεοῦ τὴν καρδίαν ἔχει κινουμένην, εἰς τὸ ἀνταποδοῦναι, κατὰ δύναμιν, πολιτείαν ἐνάρετον, καὶ πᾶσαν ἄσκησιν ἀγαθήν, καὶ ἐργασίαν δικαιοσύνης, πάντοτε πρόθυμος καὶ ἕτοιμος ὤν, τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν, δυσωπούμενος ὑπὸ τῆς μνήμης τῶν τοσούτων καλῶν ὧν πέπονθε ὑπὸ τοῦ ἀγαθοῦ καὶ φιλανθρώπου Δεσπότου· καὶ αὐτομάτῳ τινὶ τρόπῳ, μᾶλλον δὲ συνεργείᾳ τῆς ἄνωθεν Χάριτος, εἰς ἀγάπην Θεοῦ καὶ πόθον πλείονα τὴν καρδίαν ἀεὶ τιτρωσκόμενος.

Ἑρμηνεία

ΕΚΕΙΝΟΙ, ποὺ ἀγαποῦν τὸν Θεόν, καθημερινῶς ἀποθνήσκουσι· δηλαδὴ προσπαθοῦν νὰ ἀνυψωθοῦν ὑπεράνω τῶν ὅρων τῆς παρούσης ἐπιγείου ζωῆς. Οἱ τοιοῦτοι ἄνθρωποι τίποτε ἄλλο δὲν σκέπτονται, παρὰ μόνον πότε θὰ φθάσουν εἰς τὴν τελείαν καὶ ὡλοκληρωμένην ἀγάπην πρὸς τὸν Χριστόν, ἡ ὁποία εἶναι ἕνα βαθύτερον ἄνοιγμα τῆς καρδίας, εἰς τὸ ὁποῖον, διὰ τοῦ ἁγίου Βαπτίσματος, εἰσῆλ-

θεν ὁ Ἰησοῦς, προκειμένου νὰ τὴν προπαρασκευάσῃ διὰ τὸν ὑψηλὸν αὐτὸν καὶ θεῖον ἔρωτα.

2. Αὐτὸ ἐπιδιώκων, κατ' ἀντίθεσιν πρὸς τοὺς ὅρους τῆς φυσικῆς ζωῆς, ὁ θεῖος Ἀπόστολος Παῦλος ἔλεγε: «Διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην» (Φιλιπ. γ' 12)· δηλαδὴ ἐπιδιώκω νὰ ἀγαπήσω τόσον τὸν Ἰησοῦν, ὅσον μὲ ἠγάπησεν Ἐκεῖνος. Τὴν κατάστασιν αὐτὴν τῆς απολύτου καὶ ἔξω παντὸς μέτρου ἀγάπης πρὸς τὸν Ἰησοῦν, τὴν ἐθεώρει ὡς τὸ ἰδανικώτερον πλήρωμα τῶν πόθων τῆς καρδίας του· δι' αὐτὸ καὶ μετὰ τὴν ἀπόλαυσιν τῆς ἀγάπης αὐτῆς, τίποτε ἄλλο πλέον δὲν ἐπεθύμει νὰ σκέπτεται καὶ νὰ ἐπιδιώκῃ· οὔτε αἱ θλίψεις τοῦ σώματος, οὔτε τὰ θαύματα τῆς κτίσεως ἠδύναντο νὰ τὸν ἀποσπάσουν ἀπὸ τὴν ὑψηλὴν αὐτὴν ἀγάπην· ἀπὸ ὅλας τὰς ἄλλας καταστάσεις εὐχαρίστως παρῃτεῖτο, ἀρκεῖ νὰ μὴ ἐστερεῖτο, οὔτε ἐπὶ μίαν ὥραν, τῆς γλυκυτάτης ἡδονῆς, ποὺ διεγείρει εἰς τὴν καρδίαν ἡ ἐπενέργεια τοῦ πνεύματος, ἐξ ἀφορμῆς τῆς παρουσίας τῆς ἀγάπης.

3. Πόσα δὲ πράγματα εἶχε τὴν δύναμιν νὰ περιφρονήσῃ, χάριν αὐτῆς τῆς πνευματικῆς ἀγάπης, μᾶς λέγει ὁ ἴδιος· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα»; (Ρωμ. η' 35). Καὶ καταλήγει μὲ τὴν μεγαλοπρεπῆ διαβεβαίωσιν: «Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε Ἄγγελοι οὔτε Ἀρχαὶ οὔτε Δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν» (Ρωμ. η' 38—39). Τὰ ἔλεγε δὲ ὅλα αὐτά, διότι δὲν ἐπεθύμει ἡ σκέψις του νὰ αἰχμαλωτίζεται ἀπὸ τίποτε· ἤθελε πάντοτε νὰ σκέπτεται τὴν ἀγάπην πρὸς τὸν Χριστὸν καὶ μὲ αὐτὴν νὰ γεμίζῃ τὴν καρδιά του.

4. Κάθε λόγος, τὸν ὁποῖον εἶπεν ὁ Χριστός, φανερώνει τὴν εὐσπλαγχνίαν, τὴν δικαιοσύνην καὶ τὴν σοφίαν τοῦ Θεοῦ· καὶ ὅσοι προθύμως καὶ εὐχαρίστως ἀκούουν τοὺς λόγους αὐτούς, δέχονται εἰς τὴν καρδίαν των τὴν δύναμιν, ποὺ ἐγκρύπτουν· διὰ τοῦτο οἱ ἄσπλαγχνοι καὶ ἄδικοι, ἐπειδὴ ἀκούουν μὲ δυσαρέσκειαν τοὺς λόγους αὐτοὺς τοῦ Χριστοῦ, δὲν ἠμπόρεσαν νὰ καταλάβουν τὴν σοφίαν τοῦ Θεοῦ· ὄχι δὲ μόνον αὐτό, ἀλλὰ καὶ ὅταν ἐδίδασκε ἐπὶ τῆς γῆς, τὸν ἐσταύρωσαν.

5. Ἂς ἴδωμεν λοιπὸν καὶ ἡμεῖς, ἐὰν ἀκούωμεν τὸν Κύριόν μας μὲ εὐχαρίστησιν, διότι Αὐτὸς ἔχει εἰπεῖ· «Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν» (Ἰωάν. ιδ' 21). Βλέπεις πῶς τὴν φανέρωσίν του εἰς τὰς ψυχάς μας, τὴν ἔκρυψεν μέσα εἰς τὰς ἐντολάς, ὥστε νὰ καθίσταται ἄξιος τῆς τοιαύτης θεωρίας μόνον ἐκεῖνος, ὅστις ἐκτελεῖ αὐτάς;

6. Αὐτός, ποὺ ἐπιθυμεῖ τὴν κατὰ Θεὸν προκοπὴν καὶ πρόοδον, πρέπει νὰ κάμῃ ἀρχὴν ἀπ' ἐδῶ· νὰ διατηρήσῃ δὲ τὴν ἀρχὴν αὐτὴν ἀ-

λησμόνητον καὶ νὰ τὴν ἐνθυμῆται διαρκῶς. Αὐταὶ δὲ εἶναι αἱ σκέψεις, ἀπὸ τὰς ὁποίας ἐπιβάλλεται νὰ ἀρχίσωμεν τὴν κατὰ Θεὸν προκοπήν μας: Χριστιανέ μου, πρέπει διαρκῶς νὰ μελετᾷς καὶ νὰ σκέπτεσαι τὰς ἐκδηλώσεις τῆς μερίμνης τοῦ Θεοῦ πρὸς σὲ καὶ τὰς εὐεργεσίας ἀπὸ τὴν γέννησίν σου μέχρι σήμερα, καὶ αὐτὰς ποὺ ἀναφέρονται εἰς τὸ σῶμα σου, ἀλλὰ καὶ αὐτάς, ποὺ ἀναφέρονται εἰς τὸ πνεῦμα. Νὰ τὰς ἔχῃς διαρκῶς πρὸ ὀφθαλμῶν σου· μετὰ προσοχῆς νὰ τὰς μελετᾷς καὶ ὁ νοῦς σου διαρκῶς νὰ ὁμιλῇ δι᾿ αὐτάς, συμφώνως πρὸς τὸ ρητὸν τῆς Ἁγίας Γραφῆς· «Μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ» (Ψαλμ. ρβ´ 2). Πρόσεξε, μήπως σὲ σκεπάσῃ ἡ λησμοσύνη ἢ σὲ κατανικήσῃ ἡ ὀκνηρία καὶ τοιουτοτρόπως ξεχάσῃς τὰς πολλὰς καὶ μεγάλας εὐεργεσίας τοῦ Θεοῦ, ὁπόταν θὰ περάσῃς τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς σου ὡς ἀχάριστος καὶ ἄχρηστος.

7. Διότι ἡ συνεχὴς αὐτὴ ἀνάμνησις τῶν εὐεργεσιῶν τοῦ Θεοῦ ὁμοιάζει μὲ ξίφος, ποὺ κεντᾷ τὴν καρδίαν καὶ τὴν παρακινεῖ πάντοτε νὰ ἐξομολογῆται τὰ μεγαλεῖα τοῦ Θεοῦ, νὰ ταπεινώνεται, νὰ εὐχαριστῇ, με συντετριμμένην ψυχήν, τὸν Θεόν, νὰ κάμνῃ τὸ καλόν, νὰ συμπεριφέρεται μὲ καλοὺς τρόπους καὶ χριστιανικὰ ἤθη, νὰ ἐφαρμόζῃ ὅλας τὰς κατὰ Θεὸν ἀρετάς, καὶ νὰ μελετᾷ πάντοτε, μὲ βαθεῖαν ἐπίγνωσιν, τὸν λόγον τοῦ Προφήτου· «Τί ἀνταποδώσω τῷ Κυρίῳ, περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι ;» (Ψαλμ. ριε´ 3).

8. Διότι ὅταν ἡ ψυχὴ σκεφθῇ τὰς εὐεργεσίας τοῦ φιλανθρώπου Θεοῦ, ἀπὸ τότε ποὺ ὁ ἄνθρωπος ἐγεννήθη· ὅταν σκεφθῇ ἀπὸ πόσους κινδύνους διέφυγε πολλάκις ἢ πόσας φορὰς ὑπέπεσεν εἰς διάφορα κακά, καί, μὲ τὴν θέλησίν της, ὠλίσθησεν εἰς ἀρκετὰ σφάλματα, χωρὶς νὰ παραδοθῇ, ὅπως θὰ ἦτο τὸ δίκαιον, εἰς τὰ πονηρὰ πνεύματα, ποὺ τὴν ἐξηπάτησαν, διὰ νὰ καταστραφῇ ἢ νὰ ἀποθάνῃ πνευματικῶς· ἀλλά, ἀπ᾿ ἐναντίας μάλιστα, ὁ φιλάνθρωπος Δεσπότης, παραβλέπων τὰ σφάλματα, τὴν διεφύλαξεν, ἀναμένων τὴν ἐπιστροφήν της.

9. Ὅταν ἀκόμη ἡ ψυχή, σκεφθῇ, ὅτι, ὅταν εἶχε θεληματικὰ ὑποδουλωθῆ, διὰ τῶν παθῶν, εἰς τὰ ἐχθρικὰ καὶ πονηρὰ πνεύματα, ὁ Κύριος τὴν διέτρεφε, τὴν ἐσκέπαζε μὲ τὴν ἀγάπην Του καὶ παντοιοτρόπως ἐφρόντιζε δι᾿ αὐτήν· ὅταν, τέλος, σκεφθῇ, ὅτι ὁ Θεός, δι᾿ ἀγαθοῦ σημείου, τὴν ὡδήγησεν εἰς τὸν δρόμον τῆς σωτηρίας καὶ ἔβαλε μέσα εἰς τὴν καρδίαν της τὴν ἀγάπην πρὸς τὸν ἀσκητικὸν βίον καὶ τὴν ἐνίσχυσεν, ὥστε μετὰ χαρᾶς νὰ ἐγκαταλείψῃ τὸν κόσμον, τὴν ἀπάτην τῶν σαρκικῶν ἡδονῶν καὶ τὴν ἐστόλισε μὲ τὸ Ἀγγελικὸν σχῆμα τῆς ἀσκητικῆς ζωῆς, συνετέλεσε δὲ νὰ προσληφθῇ εὐκόλως ἀπὸ τοὺς Ἁγίους Πατέρας τῆς ἀδελφότητος.

10. Ὅταν κανεὶς τὰ σκεφθῇ ὅλα αὐτά, μὲ βαθεῖαν ἐπίγνωσιν καὶ μὲ εὐσυνειδησίαν, πῶς νὰ μὴ αἰσθανθῇ πάντοτε συντριβὴν καρδίας, συγκίνησιν, ἐφ᾿ ὅσον ἔχει τόσας ἀποδείξεις ἀπὸ τὰς προηγηθείσας εὐεργεσίας τοῦ Θεοῦ; Πῶς, τότε, νὰ μὴ στηρίξῃ σταθερὰς ἐλπίδας

εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ὅστις τόσον φιλοστόργως ἐνδιεφέρετο περὶ αὐτοῦ, ἐνῷ ὁ ἴδιος κανὲν ἀγαθὸν δὲν εἶχε προηγουμένως ἐπιτελέσει, ἀλλὰ μάλιστα καὶ κατὰ πολὺ ἐνώπιον Αὐτοῦ ἡμάρτησε; Τοῦτο θὰ πρέπει νὰ σκεφθῇς, εὐλογημένε μου ἀδελφέ: ἐὰν ὁ Θεὸς «οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν» (Ψαλμ. ρβ' 10), ἐάν, ὅταν ἐγὼ ὄχι μόνον δὲν εἶχον ἐπιτύχει καμμίαν ἀγαθὴν πρᾶξιν, ἀλλ' ἀπ' ἐναντίας εἶχον διαπράξει πολλὰς ἁμαρτίας ἐνώπιόν Του, συλληφθείς, ὑπὸ τῆς συνειδήσεως καὶ διὰ μολυσμὸν σαρκὸς καὶ δι' ἄλλα κακουργήματα καὶ ὅμως μὲ ἐπλούτισε μὲ τόσας ἀφθόνους δωρεὰς καὶ χάριτας, διὰ νὰ σωθῶ, τώρα λοιπόν, ἐφ' ὅσον ἀφιερωθῶ ἐξ ὁλοκλήρου εἰς Αὐτόν, διὰ νὰ τὸν δουλεύω μὲ ἁγνὴν ζωὴν καὶ μὲ τὴν πραγματοποίησιν τῶν ἀρετῶν, πόσα πνευματικὰ ἀγαθὰ καὶ πόσα χαρίσματα δὲν θὰ μοῦ προσφέρῃ, ὁδηγῶν με καὶ ἐνισχύων με διὰ τὴν ἐπιτυχίαν παντὸς ἔργου ἀγαθοῦ;

11. Δι' αὐτὸ ἀκριβῶς ἐκεῖνος, ποὺ συνεχῶς διατηρεῖ τὴν σωτηριώδη αὐτὴν σκέψιν καὶ οὐδέποτε λησμονεῖ τὰς τόσας εὐεργεσίας τοῦ Θεοῦ, μὲ μεγάλην εὐκολίαν θὰ παρακινήσῃ τὴν καρδίαν του πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς καὶ τὴν ἀγάπην τοῦ Θεοῦ, ὥστε νὰ ἀνταποδώσῃ, ὅσον δύναται, τὰς εὐεργεσίας αὐτάς, μὲ μίαν ἐνάρετον ζωὴν καὶ τὴν συνεχῆ ἐξάσκησιν τοῦ ἀγαθοῦ, ἐργαζόμενος πάντοτε μὲ προθυμίαν τὴν δικαιοσύνην καὶ ἕτοιμος ἀνὰ πᾶσαν στιγμὴν νὰ ἐκτελέσῃ τὸ θέλημα τοῦ Θεοῦ· ἡ ἀνάμνησις ὅλων αὐτῶν τῶν εὐεργεσιῶν, διὰ τῶν ὁποίων εὐηργετήθη ὑπὸ τοῦ φιλανθρώπου Δεσπότου, θὰ τὸν ἐνοχλῇ καὶ θὰ τὸν προτρέπῃ συνεχῶς εἰς τὸ δύσκολον ἔργον τῆς ἀρετῆς. Τοιουτοτρόπως αὐθορμήτως, ἢ μᾶλλον μὲ τὴν βοήθειαν τῆς θείας Χάριτος, ἡ καρδία καθημερινῶς θὰ καταθέλγεται καὶ θὰ ἀλλοιοῦται ἀπὸ τὸν πόθον τοῦ Θεοῦ καὶ τὴν πρὸς Αὐτὸν ἀγάπην.

Β', Τοῦ Ἁγίου Διαδόχου.

ΟΥΔΕΙΣ δύναται ἀγαπῆσαι τὸν Θεὸν ἐν αἰσθήσει καρδίας, μὴ πρότερον φοβηθεὶς ἐν ὅλῃ καρδίᾳ· διὰ γὰρ τῆς ἐνεργείας τοῦ φόβου ἁγνιζομένη καὶ ἁπαλυνομένη ὥσπερ ἡ ψυχή, εἰς ἀγάπην ἐνεργουμένην ἔρχεται· οὐ κἂν δέ τις εἰς φόβον ἔλθῃ ὅλως τοῦ Θεοῦ τῷ εἰρημένῳ τρόπῳ, εἰμὴ πασῶν τῶν βιοτικῶν ἔξω γένηται φροντίδων.

2. Ὅτε γὰρ ἐν ἡσυχίᾳ πολλῇ καὶ ἀμεριμνίᾳ γένηται ὁ νοῦς, τότε ὀχλεῖ αὐτῷ ὁ φόβος τοῦ Θεοῦ, καθαρίζων αὐτὸν ἐν αἰσθήσει πολλῇ ἀπὸ πάσης γεώδους παχύτητος, ἵν' οὕτως αὐτὸν εἰς πολλὴν ἀγάπην ἀγάγῃ τῆς ἀγαθότητος τοῦ Θεοῦ· ὥστε ὁ μὲν φόβος τῶν ἔτι καθαριζομένων ἐστί, μετὰ μεσότητος ἀγάπης, ἡ δὲ τελεία ἀγάπη τῶν ἤδη καθαρισθέντων ἐστὶν ἐν οἷς οὐκ ἔστι λοιπὸν φόβος· ἡ γὰρ τελεία ἀγάπη, φησίν, ἔξω βάλλει τὸν φόβον.

3. Ἀμφότερα δὲ Δικαίων ἐστὶ μόνων, οἵτινες ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος τὰς ἀρετὰς κατεργάζονται· καὶ διὰ τοῦτο, ποὺ μὲν λέγει ἡ Γραφή· φοβήθητε τὸν Κύριον πάντες οἱ Ἅγιοι αὐτοῦ· ποὺ δέ, ἀγαπήσατε τὸν Κύριον πάντες οἱ Ὅσιοι αὐτοῦ· ἵνα μάθωμεν σαφῶς ὅτι τῶν μὲν ἔτι καθαριζομένων Δικαίων ἐστὶν ὁ φόβος μετὰ μεσότητος ἀγάπης, ὡς εἴρηται· τῶν δὲ καθαρισθέντων, ἡ τελεία ἀ-

γάπη, ἐν οἷς οὐκ ἔστιν ἔννοια φόβου τινός, ἀλλ' ἔκκαυσις ἄπαυστος, καὶ πόθος ψυχῆς πρὸς τὸν Θεὸν διὰ τῆς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος, κατὰ τὸν λέγοντα· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

4. Ὥσπερ τὰ συμβαίνοντα τῷ σώματι τραύματα, ὅταν μὲν κεχερσωκότα, ὥσπερ ᾖ, καὶ ἀνεπιμέλητα, τοῦ προσαγομένου αὐτοῖς φαρμάκου ὑπὸ τῶν ἰατρῶν οὐκ αἰσθάνεται, καθαρθέντα δέ, τῆς ἰατρείας αἰσθάνεται τοῦ φαρμάκου, εἰς ἴασιν ταχεῖαν ἐντεῦθεν ἐρχόμενα, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχή, ἕως μὲν ἀνεπιμέλητός ἐστι, καὶ ὑπὸ τῆς λέπρας τῆς φιληδονίας ὅλη κεκάλυπται, τοῦ εἰς Θεὸν φόβου οὐ δύναται αἰσθάνεσθαι, κἂν ἀπαύστως αὐτῇ τις τὸ φοβερὸν καὶ δυνατὸν καταγγέλλῃ τοῦ Θεοῦ.

5. Ἐπειδὰν δὲ ἄρξηται καθαίρεσθαι διὰ τῆς πολλῆς προσοχῆς, τότε ὡς φαρμάκου τινὸς ὄντος τῆς ζωῆς τοῦ θείου φόβου, αἰσθάνεται, καίοντος αὐτὴν ὥσπερ τῇ ἐνεργείᾳ τῶν ἐλέγχων, ἐν πυρὶ ἀπαθείας. Ὅθεν κατὰ μέρος λοιπὸν καθαριζομένη, εἰς τὸ τέλειον τοῦ καθαρισμοῦ φθάνει, τοσοῦτον τῇ ἀγάπῃ προστιθεῖσα, ὅσον ἐλαττοῦται τῷ φόβῳ· ἵν' οὕτως εἰς τὴν τελείαν ἀγάπην φθάσῃ, ἐν ᾗ φόβος οὐκ ἔστιν, ἀλλὰ πᾶσα ἀπάθεια διὰ δόξης ἐνεργουμένη Θεοῦ. Ἔστω οὖν ἡμῖν εἰς καύχημα καυχημάτων ἄπαυστον, πρῶτον μὲν ὁ φόβος τοῦ Θεοῦ, λοιπὸν δὲ ἡ ἀγάπη, τὸ πλήρωμα τοῦ Νόμου τῆς ἐν Χριστῷ τελειότητος.

6. Ὁ ἑαυτὸν φιλῶν, τὸν Θεὸν ἀγαπᾶν οὐ δύναται· ὁ δὲ ἑαυτὸν μὴ φιλῶν ἕνεκεν τοῦ ὑπερβάλλοντος πλούτου τῆς ἀγάπης τοῦ Θεοῦ, οὗτος τὸν Θεὸν ἀγαπᾷ· διόπερ ὁ τοιοῦτος οὐ τὴν ἑαυτοῦ δόξαν ἀγαπᾷ, ἢ ζητεῖ ποτέ, ἀλλὰ τὴν τοῦ Θεοῦ· ὁ γὰρ ἑαυτὸν φιλῶν, τὴν ἑαυτοῦ δόξαν ζητεῖ· ὁ δὲ τὸν Θεὸν φιλῶν, τὴν τοῦ ποιήσαντος αὐτὸν δόξαν ζητεῖ καὶ ἀγαπᾷ.

7. Ψυχῆς γὰρ αἰσθητικῆς καὶ θεοφιλοῦς ἴδιον, τὴν μὲν δόξαν ἀεὶ ζητεῖν τοῦ Θεοῦ ἐν πάσαις αἷς ποιεῖ ἐντολαῖς, ἐπὶ δὲ τῇ ἑαυτῆς ταπεινώσει τέρπεσθαι· ὅτι τῷ μὲν Θεῷ δόξα διὰ μεγαλωσύνης πρέπει· τῷ δὲ ἀνθρώπῳ ταπείνωσις· ἵνα δι' αὐτῆς οἰκειωθῶμεν τῷ Θεῷ· ὅπερ ἐὰν ποιῶμεν καὶ ἡμεῖς, κατὰ τὸν Ἅγιον Ἰωάννην τὸν Βαπτιστήν, χαίροντες τῇ δόξῃ τοῦ Χριστοῦ, ἀπαύστως λέγειν ἀρξώμεθα· ἐκεῖνον δεῖ ὑψοῦσθαι, ἡμᾶς δὲ ἐλαττοῦσθαι.

8. Οἶδα ἐγώ τινα τοσοῦτον τὸν Θεὸν ἀγαπῶντα, καὶ ἔτι πενθοῦντα ὅτι οὐ καθὼς λέγει ἀγαπᾷ, ὥστε ἀπαύστως αὐτοῦ τὴν εὐχὴν ἐν τοιαύτῃ εἶναι θερμῇ ἐπιθυμίᾳ τινί, ὡς τὸν μὲν Θεὸν ἐν αὐτῷ δοξάζεσθαι, ἑαυτὸν δὲ οὔτε οἶδεν ὅπερ ἐστιν, οὐδὲ ἐν ἑαυτοῖς τοῖς ἐπαίνοις τῶν λόγων· τῇ γὰρ πολλῇ ἐπιθυμίᾳ τῆς ταπεινώσεως τὴν ἑαυτοῦ οὐκ ἐννοεῖ ἀξίαν.

9. Ἀλλὰ λειτουργεῖ μὲν τῷ Θεῷ, ὡς νόμος Ἱερεῦσι, πολλῇ δέ τινι τῆς φιλοθεΐας διαθέσει, κλέπτει ἑαυτοῦ τὴν μνήμην τῆς ἀξίας, ἐν τῷ βάθει που τῆς ἀγάπης τοῦ Θεοῦ, τὸ ἐκ ταύτης ἐναποκρύπτων καύχημα ἐν πνεύματι ταπεινώσεως, ἵνα παῖς τις ἀχρεῖος παρ' ἑαυτῷ διὰ παντὸς τῇ διανοίᾳ φαίνηται, ὡς ἀλλότριος ὢν τῆς ἑαυτοῦ ἀξίας, τῇ ἐπιθυμίᾳ τῆς ταπεινώσεως, ὅπερ δὴ καὶ ἡμᾶς ποιοῦντας, πᾶσαν τιμὴν ἀποφεύγειν καὶ δόξαν δεῖ, διὰ τὸ ὑπερβάλλον τοῦ πλούτου τῆς ἀγάπης τοῦ ὄντως ἡμᾶς ἀγαπῶντος Κυρίου.

10. Ὁ ἐν αἰσθήσει καρδίας ἀγαπῶν τὸν Θεόν, ἐκεῖνος ἔγνωσται ὑπ' Αὐτοῦ· ὅσον γάρ τις ἐν αἰσθήσει τῆς ψυχῆς παραδέχεται τὴν ἀγάπην τοῦ Θεοῦ, τοσοῦτον γίνεται ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ· διὸ λοιπὸν τοῦ φωτισμοῦ τῆς γνώσεως ἐν ἔρωτί τινι σφοδρῷ ὁ τοιοῦτος ὑπάρχει, ἄχρις ἂν αὐτῆς τῆς τῶν ὀστέων αἰσθήσεως αἴσθηται, οὐκέτι εἰδὼς ἑαυτόν, ἀλλ' ὅλως ὑπὸ τῆς ἀγάπης ἠλλοιωμένος τοῦ Θεοῦ.

11. Ὁ τοιοῦτος δέ, καὶ πάρεστιν ἐν τῷ βίῳ, καὶ οὐκ ἔστιν ἐν τῷ βίῳ· ἔτι γὰρ ἐνδημῶν τῷ ἑαυτοῦ σώματι, ἐκδημεῖ διὰ τῆς ἀγάπης τῇ κινήσει τῆς ψυχῆς ἀπαύστως πρὸς τὸν Θεόν· ἀνενδότως γὰρ λοιπὸν διὰ τῆς ἀγάπης τὴν καρδίαν καιόμενος, ἀνάγκῃ τινὶ πόθου κεκόλληται τῷ Θεῷ, ὡς ἐκστὰς ἅπαξ τῆς ἑαυτοῦ φιλίας,

τῇ ἀγάπῃ τοῦ Θεοῦ· εἴτε γὰρ ἐξέστημεν, φησί, τῷ Θεῷ· εἴτε σωφρονοῦμεν ὑμῖν.

12. Ὅταν ἄρξηταί τις αἰσθάνεσθαι πλουσίως τῆς ἀγάπης τοῦ Θεοῦ, τότε ἄρχεται ἐν αἰσθήσει πνεύματος καὶ τὸν πλησίον ἀγαπᾶν· αὕτη γάρ ἐστιν ἡ ἀγάπη, περὶ ἧς πᾶσαι αἱ γραφαὶ διαλέγονται· ἡ γὰρ κατὰ σάρκα φιλία εὐχερῶς ἄγαν διαλύεται, βραχείας τινὸς εὑρεθείσης αἰτίας· αἰσθήσει γὰρ οὐ δέδεται πνεύματος.

13. Διὰ τοῦτο γοῦν κἂν συμβῇ τινα παροξυσμὸν γενέσθαι ἐπὶ τῆς ἐνεργουμένης ὑπὸ τοῦ Θεοῦ ψυχῆς, οὐ λύεται παρ' αὐτῇ ὁ δεσμὸς τῆς ἀγάπης· τῇ γὰρ θέρμῃ τῆς ἀγάπης τοῦ Θεοῦ ἀναζωπυροῦσα ἑαυτήν, εὐθέως εἰς τὸ ἀγαθὸν ἐπανακαλεῖται θᾶττον, καὶ μετὰ πολλῆς χαρᾶς τὴν τοῦ πλησίον ἀγάπην, κἂν μεγάλως ὑπ' αὐτοῦ, ἢ καθύβρισται, ἢ ἐζημίωται· ἐν γὰρ τῇ γλυκύτητι τοῦ Θεοῦ, τὸ πικρὸν πάντως ἀναλίσκεται τῆς ἔριδος καὶ τῆς μάχης.

14. Ὥσπερ πρὸς τὰ φαινόμενα ἡμῖν καλά, βιαίως πως αἱ τοῦ σώματος προτρέπονται αἰσθήσεις, οὕτω πρὸς τὰ ἀόρατα ἡμῖν ἀγαθά, ἡ τοῦ νοῦ εἴωθε χειραγωγεῖν αἴσθησις, ὅταν τῆς θείας γεύσηται χρηστότητος· ἕκαστον γὰρ τῆς οἰκείας συγγενείας πάντως ὀρέγεται, ἡ μὲν ψυχή, ὡς ἀσώματος, τῶν οὐρανίων καλῶν· τὸ δὲ σῶμα, ὡς χοῦς, ἐπιγείου τροφῆς· εἴπερ οὖν τὴν ὕλην τοῖς πόνοις λεπτύνομεν, τῆς ἀΰλου αἰσθήσεως ἀπλανῶς εἰς πεῖραν ἐλευσόμεθα.

15. Μίαν μὲν εἶναι αἴσθησιν φυσικὴν τῆς ψυχῆς, αὐτὴ ἡ τῆς ἁγίας γνώσεως ἐνέργεια ἡμᾶς ἐκδιδάσκει· εἰς δύο λοιπὸν ἐνεργείας διαιρουμένην, διὰ τὴν παρακοὴν τοῦ Ἀδάμ, μίαν δὲ ἁπλῆν τὴν ἐκ τοῦ Ἁγίου Πνεύματος αὐτῇ ἐγγινομένην, ἥν τινα οὐδεὶς δύναται γνῶναι, εἰμὴ μόνοι οἱ τῶν τοῦ βίου καλῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν ἡδέως ἀπαλλαττόμενοι, καὶ πᾶσαν τὴν τῶν σωματικῶν αἰσθήσεων ὄρεξιν, διὰ τῆς ἐγκρατείας καταμαραίνοντες.

16. Ἐπὶ γὰρ τούτων μόνον εὐρώστως ὁ νοῦς διὰ τὴν ἀμεριμνίαν κινούμενος, τῆς θείας ἀρρήτως αἰσθάνεσθαι χρηστότητος δύναται· ὅθεν καὶ τῷ σώματι τότε κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ προκοπῆς, τῆς οἰκείας χαρᾶς μεταδίδωσιν, ἀπείρῳ τινὶ λόγῳ ἀγαλλιώμενος τῇ ἀγάπῃ τῆς ἐξομολογήσεως· ἐπ' αὐτῷ γάρ, φησιν, ἤλπισεν ἡ καρδία μου, καὶ ἐφοβήθην καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ· ἡ γὰρ τότε ἐγγινομένη ὄντως χαρὰ τῇ ψυχῇ καὶ τῷ σώματι, ὑπόμνησίς ἐστιν ἀπλανὴς τῆς ἀφθάρτου βιότητος.

17. Ὁ ἀγαπῶν τὸν Θεόν, καὶ πιστεύων γνησίως, καὶ τὰ ἔργα τῆς πίστεως γνησίως ἐπιτελεῖ· ὁ δὲ πιστεύων μόνον καὶ μὴ ὢν ἐν τῇ ἀγάπῃ, οὐδὲ αὐτὴν τὴν πίστιν, ἣν δοκεῖ ἔχειν, ἔχει· ἐλαφρότητι γὰρ πιστεύει νοός, ὡς ὑπὸ τοῦ βάρους τῆς δόξης τῆς ἀγάπης μὴ ἐνεργουμένης· πίστις οὖν δι' ἀγάπης ἐνεργουμένη, τὸ μέγα τῶν ἀρετῶν.

18. Οὐδεὶς δύναται ἢ ἀγαπᾶν, ἢ πιστεύειν γνησίως, εἰ ἑαυτὸν ἔχει κατήγορον· ὅταν γὰρ ἡ συνείδησις ἡμῶν ἑαυτὴν τοῖς ἐλέγχοις ταράττῃ, οὐκέτι τῆς ὀσμῆς τῶν ὑπερκοσμίων ἀγαθῶν παραχωρεῖται αἰσθάνεσθαι, ἀλλ' εὐθὺς εἰς ἀμφιβολίας μερίζεται· θερμῇ μὲν κινήσει διὰ τὴν προλαβοῦσαν πεῖραν τῆς πίστεως ὀρεγόμενος, μηκέτι δὲ αὐτὴν ἐπιλαβέσθαι ἐν αἰσθήσει τῆς καρδίας διὰ τῆς ἀγάπης δυνάμενος, διὰ τοὺς νυγμούς, ὡς ἔφην, τῆς ἐλεγχούσης συνειδήσεως· πλὴν καθαρίσαντες ἑαυτοὺς θερμοτέρᾳ προσοχῇ, μετὰ πλείονος πείρας, ἐν Θεῷ τοῦ ποθουμένου τευξόμεθα.

19. Δύο ἡμῖν καλὰ ἡ ἁγία Χάρις διὰ τοῦ Βαπτίσματος καὶ τῆς ἀναγεννήσεως περιποιεῖται, ὧν τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερέχει· ἀλλὰ τὸ μὲν ἓν εὐθέως χαρίζεται· ἀνακαινίζει γὰρ ἡμᾶς ἐν αὐτῷ τῷ ὕδατι, καὶ πάσας τὰς γραμμὰς τῆς ψυχῆς, τουτέστι τὸ κατ' εἰκόνα λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ἐξ ἡμῶν ἀπονίπτουσα· τὸ δὲ ἓν ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται, ὅπερ ἐστὶ τὸ καθ' ὁμοίωσιν.

20. Ὅταν οὖν ἄρξηται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γεύεσθαι τῆς τοῦ Ἁγίου Πνεύματος χρηστότητος, τότε ὀφείλομεν εἰδέναι ὅτι ἄρχεται ἡ Χάρις ὥσπερ ἐπι-

ζωγραφεῖν εἰς τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν· ὃν γὰρ τρόπον οἱ ζωγράφοι, πρῶτον μὲν ἑνὶ χρώματι διαγράφουσι τὸ σχῆμα τοῦ ἀνθρώπου, χροιᾷ δὲ τὴν χροιὰν ἐπανθίζοντες κατ' ὀλίγον, οὕτω τὸ τοῦ ὁμοιογραφομένου ἄχρι καὶ τῶν τριχῶν ἀποσῴζουσιν εἶδος. Οὕτω καὶ ἡ Χάρις τοῦ Θεοῦ, πρῶτον μὲν διὰ τοῦ Βαπτίσματος, εἰς ὅπερ ἦν ὅτε ἐγένετο ὁ ἄνθρωπος ῥυθμίζει τὸ κατ' εἰκόνα.

21. Ὅτε δὲ ἡμᾶς ἴδῃ ἐκ πάσης προθέσεως ἐπιθυμοῦντας τοῦ κάλλους τῆς ὁμοιώσεως, καὶ ἑστῶτας γυμνούς τε καὶ ἀπτοήτους εἰς τὸ ταύτης ἐργαστήριον, τότε ἀρετῇ τὴν ἀρετὴν ἐπανθίζουσα, καὶ ἀπὸ δόξης εἰς δόξαν τὸ τῆς ψυχῆς εἶδος ἀναφέρουσα, τὸν χαρακτῆρα τῆς ὁμοιώσεως ἑαυτῇ περιποιεῖ· ὥστε οὖν, ἡ μὲν αἴσθησις δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ' ὁμοίωσιν, τὸ δὲ τέλειον τῆς ὁμοιώσεως, ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα.

22. Πάσας μὲν γὰρ τὰς ἀρετὰς διὰ τῆς αἰσθήσεως ὁ νοῦς κατὰ μέτρον τι καὶ ῥυθμὸν ἄῤῥητον προκόπτων ἀπολαμβάνει· τὴν δὲ πνευματικὴν ἀγάπην, οὐ δύναταί τις κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθῇ παρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου· ἐὰν γὰρ μὴ τελείως τὸ καθ' ὁμοίωσιν διὰ τοῦ θείου φωτὸς ἀπολαύῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετάς, σχεδὸν ἔχειν δύναται· τῆς δὲ τελείας ἀγάπης, ἔτι ἄμοιρος μένει· ὅταν γὰρ ὁμοιωθῇ τῇ τοῦ Θεοῦ ἀρετῇ, ὡς χωρεῖ δὲ ἄνθρωπος λέγω ὁμοιωθῆναι Θεῷ, τότε καὶ τῆς θείας ἀγάπης φέρει τὴν ὁμοίωσιν.

23. Ὡς γὰρ ἐπὶ τῶν ὁμοιογραφομένων, τὸ ἀνθηρότερον ὅλων τῶν χρωμάτων χρῶμα, προστεθὲν τῇ εἰκόνι ἄχρι καὶ τοῦ μειδιάσαι ἀποσῴζει τὴν τοῦ ὁμοιογραφομένου ὁμοιότητα, οὕτω καὶ ἐπὶ τῶν εἰς τὴν θείαν ὁμοίωσιν παρὰ τῆς θείας Χάριτος ἀναζωγραφουμένων ὁ φωτισμὸς τῆς ἀγάπης προστιθείς, εἰς τὴν τοῦ καθ' ὁμοίωσιν εὐτρέπειαν, ὁλοκλήρως εἶναι δηλοῖ τὸ κατ' εἰκόνα· οὔτε γὰρ ἀπάθειαν ἄλλη ἀρετὴ δύναται περιποιῆσαι τῇ ψυχῇ, εἰμὴ ἀγάπη μόνη· πλήρωμα γὰρ Νόμου, ἡ ἀγάπη.

24. Ὥστε οὖν ἀνακαινοῦται μὲν ἡμέρᾳ τῇ ἡμέρᾳ ὁ ἔσω ἡμῶν ἄνθρωπος ἐν τῇ γεύσει τῆς ἀγάπης, πληροῦται δὲ ἐν τῇ αὐτῆς τελειότητι.

25. Γεύει μὲν τὸ Ἅγιον Πνεῦμα ἐν ἀρχαῖς τῆς προκοπῆς, εἴπερ θερμῶς ἐργασθῶμεν τῆς ἀρετῆς τοῦ Θεοῦ, τὴν ψυχὴν ἐν πάσῃ αἰσθήσει, καὶ πληροφορίᾳ τῆς Χάριτος τοῦ Θεοῦ, ἵνα ἔχῃ ὁ νοῦς ἐν ἀκριβεῖ ἐπιγνώσει τὸ τέλειον ἔπαθλον τῶν φιλοθέων πόνων· κρύπτει δὲ λοιπὸν ἐπὶ πολὺ τὴν τοῦ ζωοποιοῦ τοῦδε δώρου πολυτέλειαν, ἵνα κἂν πάσας τὰς ἀρετὰς κατεργαζώμεθα, μηδὲν ὅλως ἑαυτοὺς ὑπονοῶμεν εἶναι, διὰ τὸ μηδέπω ὥσπερ εἰς ἕξιν ἔχειν τὴν μακαρίαν ἀγάπην.

26. Οὕτως οὖν τότε πλέον ὁ τοῦ μίσους δαίμων, ταῖς τῶν ἀγωνιζομένων ψυχαῖς διοχλεῖ, ὥστε καὶ αὐτοὺς τοὺς ἀγαπῶντας αὐτοὺς πρὸς μῖσος διαβάλλειν, καὶ ἄχρι σχεδὸν τοῦ φιλήματος φέρειν τὴν φθοροποιὸν τοῦ μίσους ἐνέργειαν· ὅθεν πλέον ἀλγύνεται ἡ ψυχή, φέρουσα μὲν τὴν μνήμην τῆς πνευματικῆς ἀγάπης, μὴ δυναμένη δὲ αὐτὴν ἐν αἰσθήσει κτήσασθαι, διὰ τὴν τῶν τελειοτάτων πόνων ὑστέρησιν.

27. Χρεία οὖν ἐκ βίας αὐτὴν τέως κατεργάζεσθαι, ἵνα καὶ εἰς τὴν γεῦσιν αὐτῆς ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ καταφθάσωμεν· τὸ γὰρ τέλειον αὐτῆς, οὐδεὶς ἐν τῇ σαρκὶ ὢν ταύτῃ δύναται κτήσασθαι, εἰμὴ μόνοι οἱ ἄχρι μαρτυρίου καὶ τελείας ἀνθομολογήσεως ἐλθόντες Ἅγιοι· ἐπεὶ ὁ τούτου τυχὼν ἀλλάσσεται ὅλος καὶ οὔτε τροφῆς εὐχερῶς ὀρέγεται.

28. Τῷ γὰρ ὑπὸ τῆς θείας ἀγάπης διηνεκῶς τρεφομένῳ ποία ἔσται ἐπιθυμία τῶν ἐν τῷ κόσμῳ καλῶν; Διὰ τοῦτο ὁ σοφώτατος Παῦλος, τὸ μέγα δοχεῖον τῆς γνώσεως, τὴν μέλλουσαν τρυφὴν τῶν Δικαίων, ἐκ τῆς αὐτοῦ πληροφορίας ἡμῖν εὐαγγελιζόμενος, οὕτω λέγει· «Οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις· ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ»· ἅτινα ἐστὶν ὁ καρπὸς τῆς τελείας ἀγάπης.

29. Ὥστε οὖν γεύεσθαι μὲν αὐτῆς ἐντεῦθεν συνεχῶς οἱ εἰς τὴν τελειότητα

προκόπτοντες δύνανται· τελείως δὲ αὐτὴν οὐδεὶς δύναται κτήσασθαι, εἰμὴ καταποθῇ τελείως τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.

30. Διηγήσατό μοί τις τῶν ἀπλήστῳ τινὶ γνώμῃ ἀγαπώντων τὸν Θεόν, ὅτι ἐπιθυμήσαντί μοι γνωστῶς γνῶναι τὴν ἀγάπην τοῦ Θεοῦ, παρέσχε τοῦτο ὁ ἀγαθὸς ἐν αἰσθήσει, καὶ πληροφορίᾳ, καὶ τοσοῦτον, φησί, τῆς τοιαύτης ἐνεργείας ᾐσθόμην, ὥστε ἐπείγεσθαι μὲν τότε τὴν ψυχὴν μετὰ ἀνεκλαλήτου τινὸς χαρᾶς καὶ ἀγάπης ἐκβῆναι τοῦ σώματος καὶ ἀπελθεῖν πρὸς τὸν Κύριον, ἀγνοεῖν δὲ ὥσπερ τῆς προσκαίρου ταύτης ζωῆς τὸν τρόπον.

31. Ὁ δὲ ταύτης τῆς ἀγάπης ἐν πείρᾳ γενόμενος, κἂν μυρία παρά τινος ὑβρισθῇ, ἢ ζημιωθῇ, οὐκ ὀργίζεται κατ' αὐτοῦ, ἀλλὰ μένει ὡσανεὶ κεκολλημένη τῇ τοῦ ὑβρίσαντος αὐτόν, ἢ καὶ ζημιώσαντος ψυχῇ· κατ' ἐκείνων δὲ μόνον ἀνάπτεται, οἵτινες, ἢ κατὰ πενήτων ἔρχονται, ἤ, ὡς λέγει ἡ Γραφή, κατὰ τοῦ Θεοῦ λαλοῦσιν ἀδικίαν, ἢ ἄλλως πως βιοῦσι πονηρῶς.

32. Ὁ γὰρ ὑπὲρ ἑαυτὸν λοιπὸν πολὺ φιλῶν τὸν Θεόν, μᾶλλον δὲ ὁ μηκέτι ἑαυτὸν φιλῶν, ἀλλὰ τὸν Θεὸν μόνον, οὐκέτι τὴν ἑαυτοῦ τιμὴν ζητεῖ, ἀλλὰ μόνον τὴν τοῦ τιμήσαντος αὐτόν, ἐν τιμῇ αἰωνίᾳ θέλει τιμᾶσθαι δικαιοσύνην· τοῦτο δὲ οὐκέτι ὡς ἐκ θελήσεως τινὸς ὀλίγης ἔχει, ἀλλ' ὥσπερ λοιπὸν εἰς ἕξιν τὴν τοιαύτην ἔχει διάθεσιν, διὰ πολλὴν πεῖραν τῆς τοῦ Θεοῦ ἀγάπης.

33. Πρὸς δὲ τούτοις δεῖ εἰδέναι, ὅτι ὁ εἰς τοιαύτην ἀγάπην ἐνεργούμενος ὑπὸ τοῦ Θεοῦ, ἐπάνω καὶ πίστεως γίνεται ἐν τῷ καιρῷ τῆς τοιαύτης ἐνεργείας· ὡς ἐν αἰσθήσει λοιπὸν τῆς τοιαύτης καρδίας κρατῶν διὰ τῆς πολλῆς ἀγάπης τὸν πίστει τιμώμενον, ὅπερ ἡμῖν σαφῶς κατασημαίνει ὁ Ἅγιος Ἀπόστολος λέγων· νυνὶ δὲ μένει τὰ τρία ταῦτα, πίστις, ἐλπίς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη· ὁ γὰρ ἐν πλούτῳ ἀγάπης, ὡς ἔφην, κρατῶν τὸν Θεόν, μείζων ἐστὶ τότε τῆς ἑαυτοῦ πίστεως.

Ἑρμηνεία

ΚΑΝΕΙΣ δὲν δύναται νὰ ἀγαπήσῃ τὸν Θεὸν καὶ νὰ θερμανθῇ ἡ καρδία του ἀπὸ τὴν συναίσθησιν τῆς ἀγάπης αὐτῆς, ἐὰν προηγουμένως δὲν αἰσθανθῇ φόβον Θεοῦ εἰς τὴν καρδίαν του. Διότι ἡ ἐνέργεια τοῦ φόβου τοῦ Θεοῦ ἐξαγνίζει καὶ μαλακώνει τὴν ψυχήν, ὥστε αὕτη νὰ φθάσῃ εἰς τὴν κατάστασιν τῆς ἐνεργοῦ καὶ ζώσης πρὸς τὸν Θεὸν ἀγάπης. Εἰς αὐτὸν ὅμως, τὸν διεγείροντα ἀγάπην καὶ κατάνυξιν φόβον, δὲν δύναται νὰ φθάσῃ κανεὶς οὐδέποτε, ἐφ' ὅσον προηγουμένως δὲν ἀπομακρυνθῇ ἀπὸ ὅλας τὰς βιοτικὰς μερίμνας.

2. Διότι ὅταν ὁ νοῦς ἡσυχάσῃ ἀπολύτως ἀπὸ τὸ θόρυβον τῶν μεριμνῶν καὶ δὲν ταράσσεται ἀπὸ αὐτάς, τότε μόνον αἰσθάνεται τὴν θείαν καὶ εὐεργετικὴν ἐνόχλησιν τοῦ φόβου τοῦ Θεοῦ· καὶ τότε ὁ εὐεργετικὸς αὐτὸς φόβος, διὰ τῆς ἰσχυρᾶς συναισθήσεως τῆς παρουσίας τοῦ Θεοῦ, καθαρίζει τὸν ἄνθρωπον ἀπὸ τὸν ὑλικὸν ὄγκον καὶ τὴν γεώδη παχυλότητα, ἵνα ὁδηγήσῃ αὐτὸν εἰς τὴν ἄμετρον ἀγάπην τῆς καλωσύνης τοῦ Θεοῦ. Ὥστε λοιπὸν ἐκ τούτου διδασκόμεθα, ὅτι ὁ μὲν φόβος τοῦ Θεοῦ παρατηρεῖται εἰς ψυχὰς ἀνθρώπων, οἱ ὁποῖοι εὑρίσκονται εἰς τὸ στάδιον τῆς καθάρσεως καὶ συναισθάνονται μίαν μετρίαν ἀγάπην πρὸς τὸν Θεόν· ἡ δὲ ἀπόλυτος καὶ ἔξω παντὸς μέτρου ἀγάπη πρὸς τὸν Θεὸν συναντᾶται πλέον εἰς ἀνθρώπους, οἱ ὁποῖοι ἐκαθαρίσθησαν ψυχικῶς

ἀπὸ πᾶσαν γηΐνην ἀδυναμίαν καί, ὡς ἐκ τούτου, ἔπαυσαν νὰ κατευθύνωνται εἰς τὴν πνευματικήν των ζωὴν ἀπὸ τὸν πρὸς τὸν Θεὸν φόβον. Διότι, ὅπως εἶναι γνωστόν, ἡ ὡλοκληρωμένη καὶ ἀπόλυτος πρὸς τὸν Θεὸν ἀγάπη ἀπομακρύνει ἀπὸ τὴν ψυχὴν τὸν φόβον(1).

3. Καὶ αἱ δύο ὅμως αὐταὶ καταστάσεις, ὁ φόβος δηλαδὴ τοῦ Θεοῦ καὶ ἡ ἀπόλυτος πρὸς Αὐτὸν ἀγάπη, ἀπαντῶνται μόνον εἰς ψυχὰς δικαίων, οἱ ὁποῖοι, μὲ τὴν ἐπενέργειαν τοῦ Ἁγίου Πνεύματος, πραγματοποιοῦν εἰς τὴν ζωήν των τὰς ἀρετάς. Αὐτὴν τὴν ἀλήθειαν ὑποσημαίνει εἰς ἕνα σημεῖον καὶ ἡ Ἁγία Γραφή, ὅταν λέγῃ: «Φοβήθητε τὸν Κύριον πάντες οἱ Ἅγιοι Αὐτοῦ» (Ψαλμ. λγ' 10) καὶ «Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ Ὅσιοι Αὐτοῦ» (Ψαλμ. λ' 24). Ἀπὸ τὰ δύο αὐτὰ ῥητὰ πληροφορούμεθα λεπτομερῶς, ὅτι ὁ φόβος τοῦ Θεοῦ, συνοδευόμενος ἀπὸ μετρίαν ἀγάπην, ὑπάρχει, ὅπως ἐλέχθη, εἰς τὰς ψυχὰς τῶν δικαίων τῶν καθαριζομένων ἀπὸ τὰς μερίμνας καὶ τὴν πολυπραγμοσύνην· ἐνῷ ἡ ὡλοκληρωμένη καὶ ἀπόλυτος ἀγάπη πληροῖ τὰς ψυχὰς τῶν καθαρισθέντων δικαίων, εἰς τὰς ὁποίας δὲν συναντᾶται οὔτε ἡ παραμικροτέρα σκέψις φόβου, παρὰ μόνον συνεχὴς πυράκτωσις τοῦ πόθου πρὸς τὸν Θεόν, μὲ τὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, συμφώνως πρὸς τὸ θεῖον λόγιον· «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου (Ψαλμ. ξβ' 9).

4. Συμβαίνει μὲ τὴν ψυχήν, αὐτὸ ἀκριβῶς ποὺ παρατηρεῖται καὶ εἰς τὰ σώματα· ὅπως δηλαδὴ τὰ τραύματα τοῦ σώματος, ἐφ' ὅσον εἶναι χωρὶς φαρμακευτικὴν φροντίδα καὶ παραμένουν σκληρά, δὲν αἰσθάνονται τὴν ἐνέργειαν τοῦ φαρμάκου, ποὺ τοποθετεῖ ἐπάνω ὁ ἰατρός· ὅταν ὅμως πλυθοῦν καὶ καθαρισθοῦν, τότε αἰσθάνονται τὴν ἐπενέργειαν τῆς ἰατρείας καὶ οὕτω προχωροῦν πρὸς ταχεῖαν θεραπείαν. Τοιουτοτρόπως καὶ ἡ ψυχή· ἐφόσον παραμένει χωρὶς πνευματικὴν φροντίδα καὶ εἶναι σκεπασμένη ἐξ ὁλοκλήρου ἀπὸ τὴν λέπραν τῆς φιληδονίας, δὲν εἶναι ποτὲ δυνατὸν νὰ αἰσθανθῇ φόβον Θεοῦ, ἔστω καὶ ἐὰν κάποιος συνεχῶς τῆς ὑπενθυμίζῃ πόσον φοβερὰ εἶναι ἡ δικαία ὀργὴ τοῦ Θεοῦ, ὡς καὶ τὴν παντοδυναμίαν Αὐτοῦ.

5. Ἀπὸ τὴν στιγμὴν ὅμως ποὺ ἡ ψυχή, μὲ μεγάλην προσοχήν, θὰ ἀρχίσῃ νὰ καθαρίζεται ἀπὸ τὰς ἡδονὰς καὶ τὰ πάθη, τότε, μέσα εἰς τὴν φλόγα τῆς ἀπαθείας, ποὺ ἤναψεν, αἰσθάνεται πλέον, ὡς ἕνα φάρμακον ζωῆς, τὸν φόβον τοῦ Θεοῦ νὰ τὴν κατακαίῃ διὰ τῶν ἐλέγχων τῆς συνειδήσεως(2). Καθόσον λοιπὸν προχωρεῖ ὁ καθαρισμὸς τῆς ψυχῆς, ἀπὸ τὰς ἁμαρτίας, σκέψεις, λογισμοὺς καὶ φθάνει εἰς τὸν τέλειον καὶ ὡλοκληρωμένον καθαρισμόν, ὥστε τίποτε τὸ γήϊνον καὶ ὑλικὸν νὰ

---

1) «Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον» (Α' Ἰωάν. δ' 18).

2) Τὸ νόημα εἶναι ὑψηλόν· ἡ συνείδησις ἐλέγχει τὸν ἄνθρωπον δι' ὅσα κακὰ διέπραξεν οὗτος καὶ διὰ τῶν ὁποίων ἐλύπησε τὸν Θεὸν κατὰ τὸ παρελθόν·

μὴ ὑπάρχῃ, ἐπὶ τοσοῦτον ὁ φόβος τοῦ Θεοῦ δίδει τὴν θέσιν του εἰς τὴν ἀγάπην πρὸς τὸν Θεόν. Τοιουτοτρόπως καταντᾷ ὁ ἄνθρωπος εἰς τὴν τελείαν ἀγάπην, εἰς τὴν ὁποίαν δὲν ὑπάρχει καθόλου φόβος, ἀλλ' ἐξασφαλίζει μίαν ἀπαλλαγὴν ἀπὸ ὅλα τὰ πάθη· ἡ ἀπάθεια δὲ αὐτὴ δίδει ἀφορμὴν νὰ δοξάζεται ὁ Θεός.

Ἂς θεωρῶμεν λοιπὸν ἡμεῖς ὡς καύχημα συνεχές, ἀνώτερον ἀπὸ ὅλα τὰ καυχήματα, πρῶτον μὲν τὸν φόβον τοῦ Θεοῦ, δεύτερον δὲ τὴν ἀγάπην, ἡ ὁποία εἶναι τὸ πλήρωμα τοῦ Νόμου(1) τῆς κατὰ Χριστὸν ἁγίας τελειότητος(2).

6. Ὁ φίλαυτος δὲν δύναται νὰ ἀγαπήσῃ τὸν Θεόν· ἐνῷ ἐκεῖνος, ποὺ δὲν εἶναι φίλος τοῦ ἑαυτοῦ του, ἐπειδὴ ἡ καρδία του εἶναι πλημμυρισμένη ἀπὸ τὸν ἄμετρον πλοῦτον τῆς ἀγάπης τοῦ Θεοῦ, αὐτὸς πράγματι ἀγαπᾷ τὸν Θεόν. Δι' αὐτὸ ἀκριβῶς ὁ τοιοῦτος δὲν ἀγαπᾷ τὴν δόξαν τοῦ ἑαυτοῦ του, οὔτε τὴν ἐπιδιώκει, ἀλλὰ μόνον τὴν δόξαν τοῦ Θεοῦ. Ὁ φίλαυτος τὴν ἰδικήν του δόξαν ἐπιζητεῖ· ἐνῷ ὁ φιλόθεος ἀγαπᾷ καὶ ἐπιζητεῖ τὴν δόξαν τοῦ Δημιουργοῦ του.

7. Διότι χαρακτηριστικὸν γνώρισμα τῆς ψυχῆς, ποὺ συναισθάνεται τὸ μεγαλεῖον τοῦ Θεοῦ καὶ ἀγαπᾷ τὸν Θεόν, εἶναι νὰ ἐπιζητῇ μὲν πάντοτε τὴν δόξαν τοῦ Θεοῦ, διὰ τῆς ἐφαρμογῆς ὅλων τῶν ἐντολῶν τοῦ Θεοῦ, νὰ εὐχαριστῆται δὲ διὰ τῆς ταπεινώσεώς της καὶ τοῦ αὐτομηδενισμοῦ της, ἐπειδὴ εἰς τὸν Θεὸν ἀνήκει ἡ δόξα καὶ ἡ μεγαλωσύνη, ἐνῷ εἰς τὸν ἄνθρωπον ἡ ταπείνωσις, ἵνα δι' αὐτῆς γίνωμεν φίλοι τοῦ Θεοῦ. Ἐὰν βεβαίως κάμωμεν αὐτὸ τὸ πρᾶγμα, τότε καὶ ἡμεῖς, ὅπως ὁ Ἅγιος Ἰωάννης ὁ Βαπτιστής, θὰ χαίρωμεν διὰ τὴν δόξαν τοῦ Χριστοῦ καὶ θὰ λέγωμεν συνεχῶς· «Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι» (Ἰωάν. γ' 30).

8. Ἐγὼ γνωρίζω κάποιον, ποὺ ἀγαπᾷ τόσον πολὺ τὸν Θεὸν καὶ ποὺ συνεχῶς πενθεῖ, διότι, ὅπως λέγει, δὲν ἀγαπᾷ ὅπως πρέπει τὸν Θεόν, ὥστε ἡ ψυχή του εἶναι συνεχῶς διάθερμος ἀπὸ ἰσχυρὰν πρὸς τὸν Θεὸν ἐπιθυμίαν· αὐτὸς ὁ ἄνθρωπος, διὰ τῆς ψυχικῆς του διαθέσεως καὶ τῆς ἐν γένει συμπεριφορᾶς του, δοξάζει τὸν Θεόν, ἐνῷ τὸν ἑαυτόν του οὔτε τὸν ὑπολογίζει, ὅτι ὑπάρχει. Καὶ ὁ ἴδιος ἀκόμη δὲν γνωρίζει αὐτό, ποὺ πραγματικῶς εἶναι, καθ' ὅσον ἀφορᾷ τὴν ὑψηλὴν πνευματικήν του κατάστασιν, οὔτε καὶ δίδει προσοχὴν εἰς τοὺς ἐπαινετικοὺς λόγους· διότι ἀπὸ τὴν ὑπερβολικὴν ἐπιθυμίαν τῆς ταπεινώσεως οὐδέποτε ἔχει σκεφθῆ τὴν ἀξίαν του.

9. Συμβαίνει δὲ αὐτό, ἐπειδή, λειτουργεῖ μὲν εἰς τὸν Θεόν, ὅπως ορίζῃ ὁ τελετουργικὸς νόμος τῆς Ἐκκλησίας, πλὴν ὅμως ὑποκλέπτει

ἡ λύπη ἐκ τοῦ ἐλέγχου αὐτοῦ γεννᾷ τὸν φόβον τοῦ Θεοῦ καὶ ὁ φόβος τοῦ Θεοῦ ἀποκαθαίρει τὴν ψυχήν.

1) «Πλήρωμα οὖν νόμου ἡ ἀγάπη» (Ρωμ. ιγ' 10).

2) «Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος» (Κολ. γ' 14).

τὴν ἐνθύμησιν τῆς ἀξίας του ἀπὸ τὸν ψυχικόν του κόσμον καὶ τὸ καύχημα, ποὺ γεννᾶται εἰς πάντα ἄνθρωπον, ἀπὸ τὴν συναίσθησιν τῆς ἀξίας του, τὸ ἐγκρύπτει, μὲ ταπείνωσιν, μέσα εἰς τὰ βάθη τῆς πρὸς τὸν Θεὸν ἀγάπης του. Διὰ τοῦ τρόπου αὐτοῦ θεωρεῖ τὸν ἑαυτόν του διαρκῶς ὡς ἕνα ἐλεεινὸν δοῦλον, ὡς τελείως ξένον πρὸς τὴν πραγματικήν του ἀξίαν. Εἰς αὐτὸν τὸν αὐτομηδενισμὸν τὸν ὁδηγεῖ ἡ ἐπιθυμία τῆς ταπεινώσεως. Αὐτὸ βεβαίως τὸ παράδειγμα πρέπει καὶ ἡμεῖς νὰ μιμούμεθα καὶ νὰ ἀποφεύγωμεν τὴν δόξαν καὶ τὰς τιμὰς τῶν ἀνθρώπων, διὰ νὰ ἐκχειλίζῃ ἡ καρδία μας ἀπὸ τὸν ἀπροσμέτρητον πλοῦτον τῆς ἀγάπης τοῦ πραγματικῶς ἀγαπῶντος ἡμᾶς Κυρίου μας.

10. Ἐκεῖνος, ποὺ ἀγαπᾷ τὸν Θεὸν μὲ ὅλην τὴν θερμότητα τῆς καρδίας του(1), ἀναγνωρίζεται ἀπὸ τὸν Θεὸν ὡς ἰδικός Του· διότι ὅσον περισσότερον ἡ ψυχὴ ἑνὸς ἀνθρώπου καταλαμβάνεται καὶ γεμίζει ἀπὸ τὴν συναίσθησιν τῆς ἀγάπης πρὸς τὸν Θεόν, ὅσον δηλαδὴ ἰσχυρότερον συναισθάνεται ὅτι ἀγαπᾷ τὸν Θεόν, ἐπὶ τοσοῦτον ὁ ἄνθρωπος αὐτὸς ἀπορροφᾶται ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ. Δι' αὐτὸ λοιπὸν καὶ ὁ τοιοῦτος ἄνθρωπος, κάτω ἀπὸ τὴν πλήμμυραν τοῦ φωτὸς τῆς θεογνωσίας, καταλαμβάνεται ἀπὸ ἰσχυρότατον θεῖον ἔρωτα, μέχρι ποὺ καὶ τὰ ὀστᾶ του ἀκόμη νὰ συναισθάνωνται τὰ ἱερὰ ρίγη αὐτοῦ τοῦ θείου ἔρωτος, ἐνῷ ὁ ἴδιος δὲν ἀναγνωρίζει πλέον τὸν προηγούμενον ἑαυτόν του, διότι εὑρίσκεται τελείως ἀλλοιωμένος, ἀλλαγμένος ἐσωτερικά, ἀπὸ τὴν ἐπενέργειαν τῆς ἀγάπης τοῦ Θεοῦ.

11. Ὁ ἄνθρωπος αὐτός, τὸν ὁποῖον ἠλλοίωσεν ὁ θεῖος ἔρως, καὶ εἰς τὴν παροῦσαν ζωὴν εὑρίσκεται, ἀλλὰ καὶ ἐξ αὐτῆς ἀπουσιάζει· διότι, ἐνῷ ἀκόμη ἡ ψυχή του παραμένει εἰς τὸ σῶμα, ἐν τούτοις ὁ ἴδιος μὲ τὴν κίνησιν τῆς ψυχῆς, ποὺ προκαλεῖ ἡ ἀγάπη, πτερυγίζει διαρκῶς πρὸς τὸν Θεὸν μακρὰν τῶν σωματικῶν καὶ ὑλικῶν, ἐν γένει, συνθηκῶν.

Ἡ ἀγάπη πρὸς τὸν Θεὸν ἐπιμόνως κατακαίει τὴν καρδίαν τοῦ ἀνθρώπου αὐτοῦ καὶ διαμορφώνει ἕνα ἰσχυρὸν καὶ ἀκατανίκητον πόθον, ἐξ αἰτίας τοῦ ὁποίου ἔχει προσκολληθῇ εἰς τὸν Θεόν, ἐφ' ὅσον πλέον ἀπηρνήθη τὸν ἑαυτόν του χάριν αὐτῆς ταύτης τῆς ἀγάπης τοῦ Θεοῦ. Διότι, ὅπως λέγει καὶ τὸ πνεῦμα τοῦ Θεοῦ· «Εἴτε γὰρ ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς» (Β' Κορ. ε' 13—14)(2).

---

1) «Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ ὅτι πρώτη πάντων ἐντολὴ . . . . . ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου» (Μάρκ. ιβ' 29—30). «Καὶ περικαθαριεῖ Κύριος τὴν καρδίαν σου . . . . . ἀγαπᾶν Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, ἵνα ζῇς σὺ» (Δευτερ. λ' 6).

2) Πρὸς εὐχερεστέραν κατανόησιν τοῦ ρητοῦ τούτου τοῦ Ἁγίου Ἀποστόλου Παύλου παραθέτομεν ἐνταῦθα ἑρμηνείαν αὐτοῦ ληφθεῖσαν ἐκ τῆς, ὑπὸ τοῦ κ. Π. Τρεμπέλα, ἑρμηνείας εἰς τὴν Καινὴν Διαθήκην· «Ἡμεῖς ὅμως κάθε τι ποὺ πράττομεν, τὸ κάνομεν μὲ εἰλικρίνειαν καὶ χωρὶς ἰδιοτέλειαν καὶ συμφεροντολο-


ΧΕΙΡ
Φωτ. Κόντογλ

12. Ὅταν κανεὶς ἀρχίσῃ νὰ αἰσθάνεται τὴν ἀγάπην τοῦ Θεοῦ καὶ νὰ πλημμυρίζῃ ἡ ψυχή του ἀπὸ αὐτήν, τότε ἀρχίζει νὰ ἀγαπᾷ καὶ τὸν πλησίον του μὲ τρόπον πνευματικόν· διότι μόνον αὐτὴ εἶναι ἡ πραγματικὴ ἀγάπη, περὶ τῆς ὁποίας ἀναφέρουν ὅλαι αἱ Ἱεραὶ Γραφαί· διότι ἡ ἄλλη, ἡ φιλία ποὺ συνδέει μόνον ἐξωτερικῶς τοὺς ἀνθρώπους, εὐκολώτατα διαλύεται ἀπὸ ἀσήμαντον, συνήθως, ἀφορμήν. Αὐτὸ δὲ συμβαίνει, διότι ὁ σύνδεσμος τῆς ἐξωτερικῆς φιλίας δὲν εἶναι πνευματικός, ἀλλ' ὑλικός, κοσμικὸς καὶ ὡς ἐκ τούτου εὔθραυστος.

13. Ἀπ' ἐναντίας, ἡ πνευματικὴ ἀγάπη δὲν εἶναι εὔθραυστος, διότι καὶ ἐὰν ἀκόμη συμβῇ νὰ ἐνοχληθῇ ἀπὸ κάποιον ἡ ψυχή, ὅταν κατευθύνεται ἀπὸ τὸν Θεόν, δὲν καταργεῖται ἀπὸ αὐτὴν ὁ δεσμὸς τῆς ἀγάπης. Ἡ φιλόθεος ψυχὴ ἀναθερμαίνεται συνεχῶς ἀπὸ τὴν φλόγα τῆς ἀγάπης τοῦ Θεοῦ καὶ δι' αὐτὸ ἀμέσως, μετὰ συντομίας, ἐπανέρχεται εἰς τὴν περιοχὴν τοῦ ἀγαθοῦ, καὶ μὲ μεγάλην χαρὰν ἐξακολουθεῖ νὰ ἀγαπᾷ τὸν πλησίον, ἔστω καὶ ἐὰν καθ' ὑπερβολὴν ὑβρίσθη ἢ ἐζημιώθη ὑπ' αὐτοῦ. Εἰς τὴν περιοχὴν τῆς γλυκυτάτης ἀγάπης τοῦ Θεοῦ χάνεται τελείως ἡ πικρότης τῆς φιλονικίας καὶ τῆς διαμάχης.

14. Ὅπως ἀκριβῶς τὰ πράγματα τοῦ παρόντος κόσμου, ποὺ φαίνονται εἰς ἡμᾶς καλὰ καὶ ὡραῖα, παρασύρουν πρὸς ἑαυτὰ μετὰ σφοδρότητος τὰς αἰσθήσεις μας, τοιουτοτρόπως καὶ ἡ ψυχὴ κατευθύνεται πρὸς τὰ ἐπουράνια καὶ ἀόρατα ἀγαθά, ὁδηγουμένη ἀπὸ τὴν ἐνόρασιν(1) τοῦ νοός, ἐφ' ὅσον ὁ ἄνθρωπος δοκιμάσῃ τὴν θείαν καλωσύνην· διότι κάθε ἕνα ἀπὸ τὰ δύο συστατικὰ τοῦ ἀνθρώπου ἐπιθυμεῖ μετὰ σφοδρότητος τὰς συγγενεῖς, τὰς ὁμοειδεῖς μὲ αὐτὸ καταστάσεις. Δηλαδὴ ἡ μὲν ψυχὴ ὡς ἀσώματος ἐπιθυμεῖ τὰ οὐράνια ἀγαθά, ἐνῷ τὸ σῶμα ἔχει ἀνάγκην ἐπιγείου τροφῆς. Ἐὰν λοιπὸν κατορθώσωμεν, μὲ τοὺς κόπους τῆς ἀσκήσεως καὶ τῆς ἀρετῆς, νὰ περιορίσωμεν τὸν ὄγκον τῆς ὕλης, τότε ἀσφαλῶς θὰ δοκιμάσωμεν, μετὰ σταθερότητος, τὴν ἡδονὴν καὶ εὐχαρίστησιν τῆς ὑψηλῆς καὶ πνευματικῆς αἰσθήσεως τοῦ Θεοῦ.

15. Ἡ θεία γνῶσις, ἡ ὁποία ἐνυπάρχει ὑπὸ τοῦ Θεοῦ, εἰς τὴν συνείδησιν τοῦ ἀνθρώπου, μᾶς διδάσκει, ὅτι ἡ ψυχὴ διαθέτει μίαν ἔμφυτον αἴσθησιν· ἡ αἴσθησις αὐτή, ἐξ αἰτίας τῆς παραβάσεως τοῦ Ἀ-

---

γίαν. Καὶ εἴτε ἐκαταντήσαμεν εἰς τρέλλαν ἐπαινοῦντες τοὺς ἑαυτούς μας, πράττομεν τοῦτο πρὸς δόξαν τοῦ Θεοῦ, διότι ἀποβλέπομεν εἰς τὸ νὰ μὴ μειωθῇ τὸ ἀξίωμα τοῦ Ἀποστόλου καὶ ἐμποδισθῇ ἡ πρόοδος τοῦ Εὐαγγελίου. Εἴτε μέτρια καὶ ταπεινὰ λέγομεν διὰ τοὺς ἑαυτούς μας, τὰ λέγομεν διὰ τὴν ἰδικήν σας ὠφέλειαν, διὰ νὰ διδάσκεσθε δηλαδὴ καὶ μὲ τὸ παράδειγμά μας τὴν ταπεινοφροσύνην. Καὶ ἔχομεν τὰ ἀνιδιοτελῆ αὐτὰ ἐλατήρια, διότι ἡ ἀγάπη, τὴν ὁποίαν ἔδειξεν εἰς ἡμᾶς ὁ Χριστός, μᾶς σφίγγει ὅλους μαζὶ καὶ μᾶς συγκρατεῖ προσκολλημένους εἰς Αὐτόν».

1) Ἐνόρασιν, διὰ τῆς ὁποίας ἀποδίδομεν τὸ τοῦ κειμένου· «νοῦ αἴσθησις», ἐννοοῦμεν τὴν σύλληψιν τῆς πνευματικῆς πραγματικότητος, οὐχὶ διὰ τῆς λογικῆς, ἀλλὰ διὰ τῆς πίστεως, συμφώνως πρὸς τὴν περὶ πίστεως μεταφυσικὴν ἔννοιαν: «Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων» (Ἑβρ. ια' 1).

δάμ, διῃρέθη εἰς δύο ἐνεργείας. Ἡ μία αἰσθητικὴ ἐνέργεια διαμορφοῦται εἰς αὐτὴν ὑπὸ τῆς δυνάμεως τοῦ Ἁγίου Πνεύματος καὶ διακρίνεται διὰ τὴν ἁπλότητα τοῦ χαρακτῆρος της[1]. Αὐτὴν τὴν αἰσθητικὴν ἐνέργειαν οὐδεὶς δύναται νὰ γνωρίσῃ, ἐκτὸς ἐκείνων οἱ ὁποῖοι εὐχαρίστως ἀπηλλάγησαν ἀπὸ τὰ φευγαλέα καλὰ τοῦ παρόντος κόσμου καὶ μὲ τὴν ἐγκράτειαν κατεμάραναν τὴν φιλήδονον διάθεσιν τῶν σωματικῶν αἰσθήσεων, χάριν τῆς ἐλπίδος τῶν μελλόντων ἀγαθῶν τοῦ Παραδείσου.

16. Διότι μόνον εἰς αὐτούς, ἐπειδὴ ἠλευθερώθησαν ἀπὸ τοὺς περισπασμοὺς τῶν βιοτικῶν μεριμνῶν, δύναται νὰ κινῆται ὁ νοῦς των μὲ ρωμαλεότητα πρὸς τὰ ὕψη τοῦ πνεύματος καὶ τοιουτοτρόπως νὰ αἰσθάνωνται τὴν θαλπωρὴν τῆς θείας καλωσύνης, τὴν ὁποίαν δὲν δύναται νὰ ἐκφράσῃ μὲ λόγους αὐτὸς ὅστις τὴν δοκιμάζει.

Τότε μάλιστα ὁ νοῦς, ποὺ αἰσθάνεται τὴν θαλπωρὴν τῆς θείας καλωσύνης, μεταδίδει καὶ εἰς αὐτὸ τὸ σῶμα τὴν ἀνεκλάλητον χαράν του, διὰ τὴν ἀπόλαυσιν μιᾶς τοιαύτης εὐτυχίας, ἀναλόγως βεβαίως τοῦ μέτρου τῆς προόδου του· ὁ τοιοῦτος δὲ ἄνθρωπος δοκιμάζει μίαν ἀνέκφραστον ἀγαλλίασιν, χωρὶς δὲ νὰ δύναται νὰ ἐξηγήσῃ, μὲ τὴν λογικήν, τὴν κατάστασίν του αὐτήν, ἐπιθυμεῖ νὰ διακηρύσσῃ συνεχῶς τὰ μεγαλεῖα αὐτὰ τοῦ Θεοῦ, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή· «Ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ» (Ψαλμ. κζ' 7). Ἡ πραγματικὴ λοιπὸν χαρά, ἡ ὁποία ἀναπτύσσεται τότε εἰς τὴν καρδίαν καὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπενθυμίζει εἰς τὴν ψυχήν, μὲ βεβαιότητα, τὸ μεγαλεῖον τῆς αἰωνίου καὶ ἀφθάρτου ζωῆς.

17. Ἐκεῖνος, ὅστις ἀγαπᾷ τὸν Θεὸν καὶ πιστεύει εἰς αὐτὸν πραγματικῶς, θὰ ἐκτελέσῃ ἀσφαλῶς καὶ τὰ ἔργα, ποὺ ἐπιβάλλει ἡ πραγματικὴ καὶ γνησία πίστις. Ἐκεῖνος ὅμως, ὅστις μόνον πιστεύει, χωρὶς νὰ ἔχῃ καὶ τὸ πλήρωμα τῆς ἀγάπης, ἀσφαλῶς καὶ αὐτὴν ἀκόμη τὴν πίστιν, τὴν ὁποίαν νομίζει, ὅτι ἔχει, πραγματικῶς δὲν ἔχει, διότι πιστεύει ἐπιπολαίως, ἐφ' ὅσον ἡ πίστις του αὐτὴ δὲν παρουσιάζει τὸ ἔνδοξον βάρος τῆς ἀγάπης, μετουσιωμένης ὑπ' αὐτοῦ εἰς ἔργα ἀγαθά. Μόνον λοιπὸν ἡ πίστις, ἡ ὁποία διὰ τῆς ἀγάπης καθίσταται ἐνεργὸς καὶ ζῶσα, εἶναι ἡ μεγαλυτέρα τῶν ἀρετῶν.

54. Ἐὰν θέλῃς νὰ προσφέρῃς εἰλικρινῆ καὶ ἀκατηγόρητον ἐξομολόγησιν εἰς τὸν Θεόν, νὰ μὴ ἐνθυμῆσαι τὸ εἶδος καὶ τὴν μορφὴν τῶν διαφόρων παρεκτροπῶν σου, ἀλλὰ μὲ γενναιότητα νὰ ὑπομένῃς τὰς συνεπείας τῶν παρεκτροπῶν αὐτῶν· διότι ἐξ αἰτίας αὐτῶν τῶν παρεκτροπῶν, ποὺ ἐγένοντο ὑφ' ἡμῶν κατὰ τὸ παρελθόν, ἐπέρχονται εἰς ἡμᾶς διάφορα ἀνιαρὰ καὶ ἀνεπιθύμητα περιστατικά, προσφέροντα ἐκεῖνο ποὺ ἁρμόζει διὰ τὴν θεραπείαν καὶ τιμωρίαν παντὸς πλημμελήματος.

55. Ἐκεῖνος ποὺ προσπαθεῖ νὰ προσέχῃ τὰς κινήσεις τῆς καρδίας του καὶ νὰ τὴν ἐπιτηρῇ, χωρὶς νὰ θέλῃ νὰ δοκιμάζῃ συγχρόνως κακουχίαν καὶ περιφρόνησιν, ἀσφαλῶς αὐτὸς πλανᾶται κατὰ νοῦν καὶ πίπτει εἰς πειρασμὸν καὶ εἰς τὰς παγίδας τοῦ διαβόλου· δὲν εἶναι ποτὲ δυνατὸν νὰ νικήσῃ κανείς, ὅταν πολεμᾷ μονομερῶς ἢ τοὺς κακοὺς λογισμούς, χωρὶς τὰς αἰτίας ποὺ τοὺς προκαλοῦν, ἢ μόνον τὰς αἰτίας, χωρὶς τοὺς κακοὺς λογισμοὺς ποὺ γεννῶνται ἐξ αὐτῶν. Διότι καὶ ἐὰν ἀκόμη κατορθώσωμεν νὰ ἀποβάλωμεν τὸ ἓν ἐκ τῶν δύο μονομερῶς (τὰς αἰτίας δηλαδὴ ἢ τοὺς λογισμούς), μετ' ὀλίγον θὰ ἐμπλακῶμεν καὶ πάλιν εἰς τὰ δύο, διὰ τοῦ ἄλλου ποὺ δὲν ἐφροντίσαμεν νὰ ἀποβάλωμεν.

56. Οἱ ἀθέλητοι λογισμοὶ ἀναφύονται εἰς τὴν σκέψιν μας ἐξ αἰτίας προηγουμένης ἁμαρτίας· οἱ δὲ κατὰ θέλησιν προέρχονται ἀπὸ τὸ

1) Ἡ ἐξομολόγησις τῶν πεπραγμένων ἁμαρτημάτων εἶναι ἀπαραίτητος διὰ τὴν παροχὴν τῆς ἀφέσεως. Ἡ ἐξομολόγησις ὅμως ἑκάστου ἁμαρτήματος πρέπει νὰ γίνεται ἐφ' ἅπαξ ἐνώπιον πνευματικοῦ Πατρός, μετὰ τῆς δεούσης συντριβῆς καὶ κατανύξεως. Ὁ ἐξομολογούμενος, ὅταν καθαρῶς καὶ ἐν μετανοίᾳ ἐξομολογεῖται, λαμβάνει εὐθὺς τὴν συγχώρησιν παρὰ τοῦ Θεοῦ. Ἐπανάληψις ἐξομολογήσεως τοῦ ἰδίου ἁμαρτήματος σημαίνει δυσπιστίαν ἢ καὶ τελείαν ἀπιστίαν, ἐπὶ τὴν παροχὴν τῆς ἀφέσεως. Διὰ τοῦτο, ἀλλὰ καὶ διὰ τὴν ἀπαλλαγὴν τοῦ νοὸς ἀπὸ τὴν κατάθλιψιν, τὴν ὁποίαν προξενεῖ εἰς αὐτὸν ἡ μνήμη τῶν διαπραχθέντων ἁμαρτημάτων, μάλιστα δὲ διὰ τὴν ἀποτροπὴν τοῦ κινδύνου ὑποτροπῆς ἐκ τῆς διαρκοῦς αὐτῶν ἀναμοχλεύσεως, παρέχει τὴν παροῦσαν διδασκαλίαν του ὁ Ὅσιος Πατήρ.

αὐτεξούσιον τοῦ ἀνθρώπου. Κατὰ συνέπειαν ὑπαίτιοι καὶ ὑπεύθυνοι καθιστάμεθα ὄχι διὰ τοὺς πρώτους, τοὺς ἀθελήτους λογισμούς, ἀλλὰ διὰ τοὺς δευτέρους, τοὺς κατὰ θέλησιν.

57. Αἱ κακαὶ σκέψεις ποὺ γεννῶνται εἰς τὴν διάνοιαν ἡμῶν, χωρὶς νὰ τὸ θέλωμεν, συνοδεύονται ἀπὸ λύπην, δι' αὐτὸ καὶ εὐκόλως, μὲ πνευματικὴν δύναμιν, ἐξαφανίζονται. Ἀντιθέτως, αἱ σκέψεις ποὺ ἐπέρχονται εἰς τὸν νοῦν μας μὲ τὴν θέλησίν μας, προκαλοῦν χαράν, δι' αὐτὸ καὶ μὲ δυσκολίαν ἀπαλλασσόμεθα ἐξ αὐτῶν. Ἐὰν θέλῃς νὰ μὴ ἐνοχλῆσαι ἀπὸ τοὺς πονηροὺς λογισμούς, νὰ ὑπομένῃς ἀγογγύστως τὴν περιφρόνησιν καὶ ἐξουδένωσιν τῆς ψυχῆς (1), ὡς ἐπίσης καὶ τὴν στενοχωρίαν τῆς σαρκός· καὶ ἡ ἀγόγγυστος αὐτὴ ὑπομονὴ θὰ πρέπει νὰ ἐπιδεικνύεται ὄχι ἐπ' ὀλίγον μόνον, ἀλλ' εἰς κάθε τόπον, εἰς κάθε στιγμὴν καὶ εἰς κάθε περίπτωσιν.

58. Ἐκεῖνος ποὺ θεληματικῶς ἐκγυμνάζεται καὶ καταπονεῖται μὲ τὰ θλιβερά, δὲν κατακτᾶται ἀπὸ τοὺς ἀθελήτους λογισμούς· ἐκεῖνος ὅμως ποὺ δὲν δέχεται καὶ δὲν ὑπομένει τὰς στενοχωρίας (2), τότε, καὶ χωρὶς ἀκόμη νὰ θέλῃ, αἰχμαλωτίζεται ἀπὸ τοὺς (ἀθελήτους) λογισμούς.

Ε΄. Τοῦ Ἁγίου Διαδόχου.

ΤΙΝΕΣ ὑπενόησαν τὴν Χάριν ἅμα καὶ τὴν ἁμαρτίαν, τουτέστι τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης ἐγκρύπτεσθαι εἰς τὸν νοῦν ἐπὶ τῶν βαπτιζομένων, ὅθεν φασί· τὸ μὲν ἓν πρόσωπον πρὸς τὰ καλὰ παρακαλεῖν τὸν νοῦν, τὸ δὲ ἕτερον, εὐθέως πρὸς τὰ ἐναντία. Ἐγὼ ἐκ τῶν Γραφῶν, καὶ ἐξ αὐτῆς δὲ τῆς τοῦ νοῦ αἰσθήσεως κατείληφα, ὅτι πρὸ μὲν τοῦ ἁγίου Βαπτίσματος, ἔξωθεν ἡ Χάρις πρὸς τὰ καλὰ προετρέπετο τὴν ψυχήν, ὁ δὲ σατανᾶς ἐν τοῖς αὐτῆς ἐνεφώλευε βάθεσιν, ὅλας τὰς τοῦ νοῦ δεξιὰς διεξόδους ἀποφράττειν πειρώμενος.

2. Ἀπὸ δὲ αὐτῆς τῆς ὥρας ἐν ᾗπερ ἀναγεννώμεθα, ἔξωθεν μὲν ὁ δαίμων γίνεται, ἔσωθεν δὲ ἡ Χάρις εἰς αὐτὸ τὸ βάθος τῆς ψυχῆς, τουτέστιν εἰς τὸν νοῦν κατασκηνοῖ· πᾶσα γὰρ ἡ δόξα, φησί, τῆς θυγατρὸς τοῦ Βασιλέως ἔσωθεν, οὐ φαινομένη τοῖς δαίμοσιν· ὅθεν εὑρίσκομεν, ὅτι ὡς πάλαι ἐκυρίευεν ἡ πλάνη τῆς ψυχῆς, οὕτω μετὰ τὸ Βάπτισμα κυριεύει αὐτῆς ἡ ἀλήθεια, καὶ ἐξ αὐτοῦ τοῦ βάθους τῆς καρδίας ἡμῶν αἰσθανόμεθα τοῦ θείου ὥσπερ ἀναβλύζοντος πόθου, ὅτε θερμῶς τοῦ Θεοῦ μεμνήμεθα, τὰ δὲ πονηρὰ πνεύματα λοιπὸν ταῖς αἰσθήσεσι τοῦ σώματος ἡμῶν ἐνάλλονταί τε καὶ ἐμφωλεύουσι, καπνίζοντα ὥσπερ τὸν νοῦν διὰ τῆς ὑγρότητος τοῦ σώματος, τὴν ἡδύτητα τῶν ἀλόγων ἡδονῶν.

3. Οὕτως οὖν ὁ μὲν νοῦς ἡμῶν ἀεί, κατὰ τὸν Ἀπόστολον, συνήδεται τοῖς νόμοις τοῦ πνεύματος, τὰ δὲ αἰσθητήρια τῆς σαρκὸς τῷ λείῳ τῆς ἡδονῆς συναπάγεσθαι θέλει· ὅθεν ἡ μὲν Χάρις, διὰ τῆς τοῦ νοῦ αἰσθήσεως, τὸ σῶμα εἰς ἀγαλλίασιν ἄρρητον κατευφραίνει, ἐπὶ τῶν προκοπτόντων τῇ γνώσει, οἱ δὲ δαίμονες, διὰ τῶν αἰσθήσεων τοῦ σώματος, ὅταν ἡμᾶς εὕρωσι μάλιστα ὀλιγώρους τὸν δρόμον τῆς εὐσεβείας τρέχοντας, τὴν ψυχὴν αἰχμαλωτίζουσι, βιαίως αὐτὴν εἰς ἃ μὴ θέλει παρακαλοῦντες οἱ φόνιοι.

---

1) «Ὃς γὰρ ἂν θέλει τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν» (Ματθ. ιϛ΄ 25).

2) Σχετικὴ καὶ ἡ αὐτοαγωγὴ τοῦ θείου Ἀποστόλου Παύλου «ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ» (Α΄ Κορ. θ΄ 27).

4. Τοῦτο δὲ ὁ Θεὸς παρεχώρησεν ἐπὶ τῶν βαπτιζομένων γενέσθαι, ἵνα διὰ τῆς ζάλης καὶ τοῦ πυρὸς τῆς δοκιμασίας ὁ ἄνθρωπος διερχόμενος, οὕτως ἐν ἀπολαύσει εἰ θέλει τοῦ ἀγαθοῦ γένηται· «διήλθομεν γάρ, φησι, διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν»· ἅμα δέ, ἵνα καὶ ἡ ψυχὴ μάθῃ τὴν διάκρισιν καλοῦ τε καὶ κακοῦ, καὶ ταπεινοτέρα γένηται διὰ τὸ πολλὴν αὐτῇ αἰσχύνην ἐγγίνεσθαι ἐκ τῆς τῶν δαιμονικῶν λογισμῶν αἰσχρότητος, ὅτε καθάρεται· προσέτι καὶ ὅπερ οὐκ ἐφυλάξαμεν, φυσικοὶ ὑπάρχοντες, τὰ ὅπλα τῆς δικαιοσύνης λαβόντες, ἐν τῇ δυνάμει τοῦ Θεοῦ τηρήσωμεν, καὶ ὑπὸ δοκιμὴν εἴη τὸ ἡμῶν αὐτεξούσιον.

5. Δύο οὖν ὥσπερ γένη εἶναι τῶν πονηρῶν πνευμάτων ὁ λόγος ἡμᾶς διδάσκει τῆς γνώσεως· τα μὲν γὰρ αὐτῶν εἰσὶν ὥσπερ λεπτότερα, τὰ δὲ ὑλωδέστερα· τὰ οὖν λεπτότερα, τῇ ψυχῇ πολεμεῖ, τὰ δὲ ἄλλα τὴν σάρκα διὰ λιπαρῶν τινων παρακλήσεων αἰχμαλωτίζειν εἴωθε· διόπερ ἐναντίως ἔχουσιν ἀεὶ πρὸς ἑαυτούς, οἵ τε τῇ ψυχῇ προσπαλαίοντες δαίμονες καὶ οἱ τῷ σώματι, κἂν εἰς τὸ βλάπτειν τοὺς ἀνθρώπους τὴν ἴσην ἔχωσι πρόθεσιν.

6. Ὅτε οὖν ἡ Χάρις οὐ κατοικεῖ εἰς τὸν ἄνθρωπον, εἰς τὰ βάθη τῆς καρδίας, ὡς εἶπον, δίκην ὄντως ὄφεων ἐμφωλεύουσι, μὴ συγχωροῦντες ὄντως διαβλέψαι τὴν ψυχὴν πρὸς τὴν ἐπιθυμίαν τοῦ καλοῦ· ὅτε δὲ εἰς τὸν νοῦν ἡ Χάρις ἐγκρύπτεται, ὡσανεὶ νεφέλαι τινὲς ζοφώδεις λοιπὸν διὰ τῶν μερῶν τῆς καρδίας διατρέχουσιν εἰς τὰ πάθη τῆς ἁμαρτίας καὶ εἰς μετεωρισμοὺς ποικίλους σχηματιζόμενοι, ἵνα τὴν μνήμην μετεωρίζοντες τοῦ νοῦ, τῆς πρὸς τὴν Χάριν ὁμιλίας αὐτὸν ἀποσπῶσιν.

7. Ὅτε τοίνυν ὑπὸ τῶν διενοχλούντων τῇ ψυχῇ δαιμόνων, εἰς τὰ ψυχικὰ ἐκπυρούμεθα πάθη, καὶ μάλιστα εἰς τὴν οἴησιν, ἥτις ἐστὶ μήτηρ πάντων τῶν κακῶν, τὴν ἀνάλυσιν τοῦ σώματος λογιζόμενοι καὶ τὸ φοβερὸν τῆς κρίσεως, τὸν ὄγκον τῆς φιλοδοξίας καταισχύνομεν καὶ συστέλλομεν· καὶ ὅταν οἱ τῷ σώματι προσπαλαίοντες δαίμονες δι' ὄχλου γίνωνται, τὸ αὐτὸ δεῖ ὁμοίως ποιεῖν· αὕτη γὰρ μόνη ἡ ἐνθύμησις πάσας τὰς διαφορὰς τῶν πονηρῶν πνευμάτων καταργεῖν δύναται ἐν τῇ μνήμῃ τοῦ Θεοῦ.

8. Ὅτι δὲ ἐκ τοῦ σώματος ὁ σατανᾶς πολεμεῖ τὴν ψυχήν, τὴν μετέχουσαν τοῦ Ἁγίου Πνεύματος, ὁ Ἀπόστολος σαφῶς ἡμᾶς διδάσκει λέγων· «στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ»· καὶ μετ' ὀλίγα· «ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσησθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι»· δηλῶν, ὅτι ἔξωθεν λοιπὸν ὢν ὁ ἐχθρός, βέλεσι πεπυρωμένοις ταῖς χριστοφόροις ψυχαῖς ἐπέρχεται. Ὁ γὰρ μὴ ὢν ἐγκρατὴς τοῦ ἑαυτοῦ ἐχθροῦ, βέλεσι πάντως κατ' αὐτοῦ κέχρηται, ἵνα τὸν ἐκ μήκους αὐτῷ μαχόμενον τῷ πτερῷ τῶν βελῶν δυνηθῇ θηράσαι καὶ καταβαλεῖν.

9. Οὕτως οὖν καὶ ὁ σατανᾶς, ἐπειδὴ οὐ δύναται διὰ τὴν παρουσίαν τῆς Χάριτος ἐμφωλεῦσαι ὡς τὸ πρὶν τῷ τῶν ἀγωνιζομένων νοΐ, τῇ ὑγρότητι λοιπὸν τοῦ σώματος ἐφίπταται καὶ ἐμφωλεύει, ἵνα διὰ τῆς αὐτοῦ εὐχερείας, τὴν ψυχὴν δελεάζῃ· διόπερ δεῖ ἐκτήκειν αὐτὸ συμμέτρως, ἵνα μὴ διὰ τῆς αὐτοῦ ὑγρότητος ὀλισθαίνῃ ὁ νοῦς εἰς τὸ λεῖον τῶν ἡδονῶν· εἰ γάρ τις δυνηθείη ζῶν ἔτι διὰ τῶν πόνων ἀποθανεῖν, καὶ τὴν σάρκα τελείως νεκρῶσαι τῷ πνεύματι, ὅλος λοιπὸν γίνεται οἶκος τοῦ Ἁγίου Πνεύματος, πρὶν γὰρ ἀποθάνῃ ὁ τοιοῦτος, ἀνέστη. Ὥσπερ ἦν αὐτὸς ὁ μακάριος Παῦλος, καὶ ὅσοι τελείως ἠγωνίσαντο κατὰ τῆς ἁμαρτίας καὶ ἀγωνίζονται.

10. Πρῶτον μέν, ὡς ἀνωτέρω ἔφην, κρύπτει τὴν ἑαυτῆς παρουσίαν ἐπὶ τῶν βαπτιζομένων ἡ Χάρις, ἐκδεχομένη τὴν τῆς ψυχῆς πρόθεσιν· ἐπειδὰν δὲ ὅλος ἐπιστρέψῃ ὁ ἄνθρωπος ἐπὶ τὸν Κύριον, τότε ἀῤῥήτῳ τινὶ αἰσθήσει τὴν ἑαυτῆς παρουσίαν ἐμφαίνει τῇ καρδίᾳ, καὶ πάλιν ἐκδέχεται τὴν τῆς ψυχῆς κίνησιν, παραχωροῦσα μέντοι τὰ δαιμονικὰ βέλη ἄχρι τῆς βαθείας αὐτῆς καταφθάνειν αἰσθήσεως, ἵνα θερμοτέρᾳ προθέσει ἐκζητήσῃ τὸν Κύριον.

11. Ἐὰν οὖν λοιπὸν ἄρξηται προβαίνειν ὁ ἄνθρωπος τῇ τηρήσει τῶν ἐντολῶν, καὶ ἀπαύστως ἐπικαλεῖσθαι τὸν Θεόν, τότε καὶ ἐπὶ τὰ ἐξώτερα αἰσθητήρια τῆς καρδίας τὸ πῦρ τῆς ἁγίας ἐπινέμεται Χάριτος, τὰ ζιζάνια τῆς ἀνθρωπείας γῆς πληροφορητικῶς καταφλέγουσα· ὅθεν καὶ αἱ δαιμονικαὶ προσβολαὶ τότε πόῤῥω που ἐκείνων τῶν τόπων καταφθάνουσιν, ἠρέμα λοιπὸν νύττουσαι τὸ ἐμπαθὲς τῆς ψυχῆς.

12. Ὅτε δὲ πάσας τὰς ἀρετὰς ὁ τοῦ ἀγῶνος ἄνθρωπος ἐγκομβώσοιτο καὶ μάλιστα τὴν τελείαν ἀκτημοσύνην, τότε τὴν πᾶσαν αὐτοῦ φύσιν βαθυτέρᾳ τινὶ αἰσθήσει περιαυγάζει, εἰς ἀγάπην λοιπὸν πολλὴν περιθάλπουσα τοῦ Θεοῦ, διόπερ ἐξωτέρω τῆς τοῦ σώματος αἰσθήσεως τότε τὰ δαιμονικὰ ἀποσβέννυνται βέλη· ἡ γὰρ αὔρα τοῦ Ἁγίου Πνεύματος πρὸς ἀνέμους εἰρηνικοὺς τὴν καρδίαν κινοῦσα, τὰ τοῦ πυρφόρου δαίμονος βέλη εἰς ἀέρα φερόμενα ἔτι κατασβέννυσι.

13. Πλὴν καὶ τὸν εἰς τοῦτο τὸ μέτρον φθάσαντα παραχωρεῖ ποτε τῇ κακίᾳ τῶν δαιμόνων ὁ Θεός, ἀφώτιστον αὐτοῦ τότε τὸν νοῦν καταλιμπάνων, ἵνα τὸ αὐτεξούσιον ἡμῶν μὴ ᾖ δεδεμένον εἰς τὸ πᾶν τῷ δεσμῷ τῆς Χάριτος, οὐ μόνον διὰ τὸ ἐξ ἀγῶνος ἡττηθῆναι τὴν ἁμαρτίαν, ἀλλὰ καὶ διὰ τὸ ὀφείλειν ἔτι προκόπτειν εἰς τὴν πνευματικὴν πεῖραν τὸν ἄνθρωπον· τὸ γὰρ τοῦ παιδευομένου νομιζόμενον τέλειον, ἀτελές ἐστιν, ὡς πρὸς τὸν πλοῦτον τοῦ παιδεύοντος ἡμᾶς Θεοῦ, ἐν ἀγάπῃ φιλοτιμίας, κἂν ὅλην τὴν τῷ Ἰακὼβ δειχθεῖσαν κλίμακα ἀνελθεῖν τις δυνηθῇ τῇ προκοπῇ τῶν πόνων.

14. Ὥσπερ ὅταν τις χειμερινῇ ὥρᾳ ἐν ὑπαίθρῳ που ἑστηκὼς τόπῳ, ἀφορῶν δὲ τὰς ἀνατολὰς ὅλως ἐν ἀρχῇ τῆς ἡμέρας, τὰ ἐμπρόσθια αὐτοῦ μέρη ὑπὸ τοῦ ἡλίου θερμαίνοιτο, τὰ ὀπίσθια ὅμως αὐτοῦ πάντα, ἄμοιρα ᾖ τῆς θέρμης, διὰ τὸ μὴ εἶναι κατὰ κεφαλῆς αὐτοῦ τὸν ἥλιον.

15. Οὕτω καὶ οἱ εἰς τὴν ἀρχὴν ὄντες τῆς πνευματικῆς ἐνεργείας, περιθάλπονται μὲν μερικῶς τὴν καρδίαν ὑπὸ τοῦ Ἁγίου Πνεύματος, διόπερ καὶ πνευματικὰ τότε φρονήματα ὁ νοῦς αὐτῶν καρποφορεῖν ἄρχεται, φανερὰ δὲ αὐτῆς μέρη μένουσι κατὰ σάρκα φρονοῦντα, διὰ τὸ μηδέπω ἅπαντα τὰ μέλη τῆς καρδίας, ἐν βαθείᾳ αἰσθήσει καταυγάζεσθαι ὑπὸ τῆς ἁγίας Χάριτος· ὅπερ τινὲς μὴ νοήσαντες, ἐνόμισαν τὴν Χάριν ἅμα καὶ τὴν ἁμαρτίαν, τουτέστι τὸ Πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης, ἐγκρύπτεσθαι εἰς τὸν νοῦν τῶν ἀγωνιζομένων.

16. Οὕτως οὖν ἐν τῇ αὐτῇ ῥοπῇ καὶ καλὰ καὶ οὐ καλὰ συμβαίνει τὴν ψυχὴν ἐννοεῖν, ὃν τρόπον ὁ τοῦ ὑποδείγματος ἄνθρωπος, ἐν τῇ αὐτῇ θήξει, καὶ ῥιγοῖ καὶ θάλπεται· ἀφ' οὗ γὰρ ὁ νοῦς ἡμῶν εἰς τὸ διπλοῦν τῆς γνώσεως ἀπωλίσθησεν, ἀνάγκην ἔχει ἔκτοτε κἂν μὴ θέλῃ κατὰ τὴν αὐτὴν ῥιπήν, καλὰ καὶ φαῦλα φέρειν διανοήματα, μάλιστα ἐπὶ τῶν εἰς λεπτότητα διακρίσεως ἐρχομένων· ὡς γὰρ σπεύδει ἀεὶ τὸ καλὸν ἐννοεῖν, εὐθὺς καὶ τοῦ κακοῦ μέμνηται, ἐπειδὴ εἰς διπλῆν τινα ἔννοιαν ἔσχισται ἀπὸ τῆς Ἀδὰμ παρακοῆς ἡ τοῦ ἀνθρώπου μνήμη.

17. Ἐὰν οὖν ἀρξώμεθα θερμῷ ζήλῳ τὰς ἐντολὰς τοῦ Θεοῦ διαπράττεσθαι, ἅπαντα ἡμῶν λοιπὸν τὰ αἰσθητήρια ἐν βαθείᾳ τινὶ αἰσθήσει φωτίζουσα ἡ Χάρις, τὰ μὲν ἡμέτερα ὥσπερ καταφλέγει ἐνθυμήματα· ἡδύνουσα ἡμῶν δὲ τὴν καρδίαν ἐν εἰρήνῃ τινὶ φιλίας ἀνενδότου, πνευματικά τινα καὶ οὐκέτι σαρκικὰ ἡμᾶς λογίζεσθαι παρασκευάζει· τοῦτο δὲ τοῖς ἐγγίζουσι τῇ τελειότητι συνεχῶς ἄγαν συμβαίνει, οἵτινες ἔχουσιν ἄπαυστον ἐν τῇ καρδίᾳ τὴν μνήμην τοῦ Κυρίου Ἰησοῦ.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἐνόμισαν, ὅτι ἡ Χάρις καὶ ἡ ἁμαρτία, δηλαδὴ τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης, εἶναι μαζὶ κρυμμένα μέσα εἰς τὸν νοῦν τῶν βαπτιζομένων. Δι' αὐτὸ καὶ λέγουν· τὸ μὲν ἕνα πρόσωπον παρακινεῖ τὸν νοῦν πρὸς ἐπιτέλεσιν τῶν καλῶν, τὸ δὲ

ἄλλον, κατ' εὐθεῖαν, πρὸς τὰ ἀντίθετα. Ἐγὼ ὅμως, μὲ ὁδηγὸν τὰς θείας Γραφὰς καὶ τὴν διαίσθησιν τοῦ νοός, ἔχω καταλήξει εἰς τὸ ἑξῆς συμπέρασμα: Πρὸ μὲν τοῦ ἁγίου Βαπτίσματος ἡ Χάρις προέτρεπε τὴν ψυχὴν πρὸς ἐπιτέλεσιν τοῦ ἀγαθοῦ ἐνεργοῦσα ἐκ τῶν ἔξω· ὁ δὲ σατανᾶς εἶχε κατασκευάσει τὴν φωλεάν του εἰς τὰ βάθη τῆς ψυχῆς, ὅπου παραμένων ἐπροσπαθοῦσε νὰ φράττῃ ὅλας τὰς δεξιὰς εἰσόδους τοῦ νοῦ.

2. Ἀπὸ τὴν ἰδίαν ὅμως ὥραν, κατὰ τὴν ὁποίαν, διὰ τοῦ ἁγίου Βαπτίσματος, ἀναγεννώμεθα, ὁ δαίμων ἐγκαθίσταται πλέον ἀπ' ἔξω, ἐνῷ ἡ Χάρις εἰσέρχεται εἰς αὐτὸ τοῦτο τὸ βάθος τῆς ψυχῆς, δηλαδὴ τὸν νοῦν, ὅπου καὶ κατασκηνώνει· «ὅλη ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως εὑρίσκεται ἀπὸ μέσα», ὅπως λέγει καὶ ὁ Ψαλμός (1), χωρὶς νὰ φαίνεται εἰς τοὺς δαίμονας. Ἐξ αὐτοῦ λοιπὸν συμπεραίνομεν, ὅτι ὅπως πρὸ τοῦ ἁγίου Βαπτίσματος τὴν ψυχὴν τοῦ παλαιοῦ ἀνθρώπου ἐκυρίευεν ἡ πλάνη, τοιουτοτρόπως μετὰ τὸ ἅγιον Βάπτισμα κυριεύει τὴν ψυχὴν ἡ ἀλήθεια· ἀπ' αὐτὸ δὲ τὸ ἄδυτον βάθος τῆς καρδίας ἡμῶν αἰσθανόμεθα τὸ θεῖον, ὡς ἱερὸν καὶ ἅγιον πόθον ποὺ ἀναβλύζει, ὁσάκις ἐνθυμούμεθα τὸν Θεὸν μετὰ θέρμης. Ἐνῷ δὲ εἰς τὰ βάθη τῆς καρδίας ἡμῶν ἀναπτύσσεται τὸ αἴσθημα τοῦ θείου καὶ συνειδητοποιεῖται τὸ βίωμα τῆς παρουσίας Του, ἐντὸς τῶν σωματικῶν ἡμῶν αἰσθήσεων ἐμφωλεύουν τὰ πονηρὰ πνεύματα καὶ ὁρμοῦν ἐναντίον μας συσκοτίζοντα τὸν νοῦν μὲ τὴν πλαδαρότητα τοῦ σώματος καὶ τὴν παραπλανητικὴν γλυκύτητα τῶν ἀλόγων ἡδονῶν.

3. Τοιουτοτρόπως λοιπὸν λαμβάνει χώραν ἐντὸς τοῦ ψυχικοῦ ἡμῶν κόσμου μία θλιβερὰ ἀντινομία· δηλαδὴ ὁ μὲν νοῦς ἡμῶν εὐχαριστεῖται καὶ χαίρεται ἐκ τῶν νόμων τοῦ πνεύματος κατὰ τὸν Ἀπόστολον Παῦλον (2), ἐνῷ, ἀντιθέτως, τὰ αἰσθητήρια ὄργανα τοῦ σώματος ἐπιθυμοῦν νὰ ἀποπλανηθοῦν, συμπαρασύροντα τὴν ψυχὴν εἰς τὸν ὀλισθηρὸν κατήφορον τῆς ἡδονῆς. Ὡς ἐκ τούτου ἡ μὲν Χάρις, διὰ τῆς ὑψηλῆς καὶ πέραν πάσης ἐμπειρίας αἰσθήσεως τοῦ νοῦ, διαποτίζει τὸ σῶμα ἐκείνων, οἱ ὁποῖοι προκόπτουν εἰς τὴν γνῶσιν τοῦ Θεοῦ μὲ μίαν ἀνέκφραστον χαρὰν καὶ ἀγαλλίασιν, ἐξ αἰτίας τῶν ἐννοιῶν καὶ τῶν σκέψεων, ποὺ ἐπαυξάνουν καὶ διευρύνουν τὴν ὑψηλὴν πνευματικὴν γνῶσιν, οἱ δὲ δαίμονες, ὅταν μάλιστα μᾶς εὕρουν νὰ τρέχωμεν μὲ ἀδιαφορίαν καὶ ἀνόρεχτα τὸν δρόμον τῆς εὐσεβείας, αἰχμαλωτίζουν βιαίως τὴν ψυχήν, διὰ τῶν σωματικῶν αἰσθήσεων, καὶ τότε αὐτοί, οἱ δολοφόνοι, τὴν ὑποχρεώνουν νὰ κάνῃ αὐτά, ποὺ δὲν θέλει.

---

1) «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν» (Ψαλμ. μδ' 14).

2) «Οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν· ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ... συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου» (Ρωμ. ζ' 14–23).

4. Τοῦτο δὲ τὸ ἐπέτρεψεν ὁ Θεὸς νὰ συμβαίνῃ εἰς τοὺς βαπτιζομένους, διὰ νὰ ἀπολαύσῃ, ἐὰν τὸ θελήσῃ, ὁ ἄνθρωπος τὸ ἀγαθόν, ἀφοῦ προηγουμένως διέλθῃ διὰ τῆς ζάλης καὶ τοῦ πυρὸς τῆς δοκιμασίας, καθὼς καὶ ὁ Προφητάναξ Δαβὶδ λέγει· «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν» (Ψαλμ. ξε' 12). Ἐκτὸς ὅμως ἀπὸ αὐτό, ἡ κατὰ παραχώρησιν Θεοῦ ἀντινομία μεταξὺ νοὸς καὶ αἰσθήσεων ἔχει σκοπὸν νὰ κατευθύνῃ τὴν ψυχὴν εἰς τὸ νὰ διακρίνῃ τὸ καλὸν ἀπὸ τοῦ κακοῦ καὶ νὰ ταπεινώνεται περισσότερον ἡ ψυχὴ ἀπὸ τὴν πολλὴν ἐντροπὴν ποὺ ᾐσθάνθη ἐξ αἰτίας τῆς αἰσχρότητος τῶν δαιμονικῶν λογισμῶν· αὐτὰ δὲ τὰ αἰσθήματα τῆς ταπεινώσεως καὶ ἐντροπῆς τὴν βοηθοῦν νὰ ἐπιτύχῃ λαμπροτέραν κάθαρσιν. Τέλος, εἰς τὴν παραχώρησιν αὐτὴν τοῦ Θεοῦ θὰ πρέπῃ νὰ διακρίνωμεν ἀκόμη καὶ αὐτὴν τὴν σκοπιμότητα τῆς Θείας Προνοίας· ὥστε αὐτὸ ποὺ δὲν ἐφυλάξαμεν, ὅτε εὑρισκόμεθα εἰς τὴν φυσικὴν κατάστασιν [1], τότε ποὺ ἐλάβαμεν τὰ ὅπλα τῆς δικαιοσύνης, νὰ τὸ τηρήσωμεν, μὲ τὴν δύναμιν τοῦ Θεοῦ εἰς τὸ ἑξῆς, καὶ οὕτω εὑρεθῇ τὸ αὐτεξούσιον ἡμῶν δεδικαιωμένον ἀπὸ τὴν δοκιμασίαν.

5. Ἀπὸ ὅσα εἴπομεν συμπεραίνομεν, ὅτι τὰ πονηρὰ πνεύματα διακρίνονται εἰς δύο γένη· τὰ μὲν ἐξ αὐτῶν εἶναι κάπως λεπτότερα, ἐνῷ τὰ ἄλλα εἶναι κάπως ὑλικώτερα. Τὰ λεπτότερα πολεμοῦν τὴν ψυχήν, ἐνῷ τὰ ἄλλα, τὰ ὑλικώτερα, συνηθίζουν νὰ αἰχμαλωτίζουν τὴν σάρκα μὲ διαφόρους ὑλικὰς ἀπολαύσεις. Δι' αὐτὸ καὶ εἶναι τελείως διαφορετικοὶ μεταξύ των οἱ δαίμονες ποὺ πολεμοῦν τὴν ψυχήν, ἀπὸ τοὺς δαίμονας ποὺ πολεμοῦν τὴν σάρκα, ἂν καὶ τὸν ἴδιον σκοπὸν ἐπιδιώκουν, νὰ βλάπτουν ἐξ ἴσου τοὺς ἀνθρώπους.

6. Ὅταν λοιπὸν ἡ Χάρις δὲν κατοικῇ εἰς τὰ βάθη τῆς καρδίας τοῦ ἀνθρώπου, ὅπως εἶπον, τότε πράγματι τὰ πονηρὰ πνεύματα ἐμφωλεύουν πλέον εἰς τὴν καρδίαν, ὅπως τὰ φίδια εἰς ἕνα λάκκον, καὶ δὲν ἐπιτρέπουν καθόλου εἰς τὴν ψυχὴν νὰ ἴδῃ καθαρὰ καὶ νὰ συλλάβῃ τὴν ἐπιθυμίαν τοῦ καλοῦ. Ὅταν δὲ πάλιν ἡ Χάρις κρύπτεται ἐντὸς τοῦ νοός, τότε τὰ πονηρὰ πνεύματα, σὰν μαῦρα σύννεφα, διατρέχουν ἀνὰ τὰ διάφορα μέρη τῆς καρδίας [2], καὶ μετασχηματίζονται εἰς διάφορα πάθη τῆς ἁμαρτίας καὶ εἰς διαφόρους ἀποπλανητικὰς φανταστικὰς παραστάσεις, διὰ νὰ αἰχμαλωτίσουν τοιουτοτρόπως τὴν μνήμην τοῦ νοὸς καὶ νὰ τὸν ἀποσπάσουν ἀπὸ τὴν μυστικήν του ἐπικοινωνίαν μὲ τὴν Χάριν.

7. Δι' αὐτὸ λοιπὸν πρέπει, ὅταν οἱ παρενοχλοῦντες τὴν ψυχὴν δαίμονες μᾶς καταφλογίζουν εἰς τὰ ψυχικὰ πάθη, καὶ πρὸ παντὸς εἰς τὴν οἴησιν [3], ποὺ εἶναι ἡ μητέρα ὅλων τῶν κακῶν, νὰ σκεπτώμεθα

---

1) Φυσικὴ κατάστασις εἶναι ἡ πρὸ τῆς πτώσεως κατάστασις.

2) Πιθανὸν νὰ ἐννοῇ τὰ διάφορα συναισθήματα.

3) Οἴησις=ἔπαρσις, φούσκωμα τοῦ νοός, πλάνη, καὶ ἰδίᾳ ἡ παρ' ἀξίαν μεγάλη ἰδέα, τὴν ὁποίαν ἔχει τις διὰ τὸν ἑαυτόν του.

τὴν ὑπὸ τοῦ θανάτου καὶ τῆς φθορᾶς διάλυσιν τοῦ σώματος, καθὼς καὶ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως, καὶ νὰ ἐντρεπώμεθα καὶ νὰ περιμαζεύωμεν τὸν ὄγκον τοῦ νοσηροῦ πρὸς τὴν δόξαν τῶν ἀνθρώπων ἔρωτος. Ἀλλὰ καὶ ὅταν ἀκόμη οἱ πολεμοῦντες τὸ σῶμα μας δαίμονες μᾶς περιτριγυρίσουν ὡς ἀναρίθμητος ὄχλος, καὶ βασανιστικῶς μᾶς ἐνοχλοῦν, τὸ ἴδιον πρέπει νὰ κάμωμεν, διότι μονάχα ἡ ἐνθύμησις τοῦ θανάτου καὶ τῆς φοβερᾶς στιγμῆς τῆς κρίσεως, κατευθυνομένη ἀπὸ τὴν μνήμην τοῦ Θεοῦ, ἔχει τὴν δύναμιν νὰ σκορπίσῃ τὰ πονηρὰ πνεύματα καὶ νὰ καταργήσῃ ὅλας των τὰς παγίδας.

8. Ὅτι δὲ πράγματι ὁ σατανᾶς διὰ μέσου τοῦ σώματος πολεμεῖ τὴν ψυχήν, ἡ ὁποία ἔχει τὸ προνόμιον νὰ δέχεται ἐν ἑαυτῇ τὸ Ἅγιον Πνεῦμα, μᾶς τὸ διδάσκει μετὰ πάσης λεπτομερείας καὶ σαφηνείας ὁ Ἀπόστολος Παῦλος, διὰ τῶν ἑξῆς: «Σταθῆτε λοιπὸν καὶ περιζώσατε τὴν ὀσφύν σας μὲ τὴν ἀλήθειαν καὶ ἐνδυθῆτε τὸν θώρακα τῆς δικαιοσύνης. Ὑποδέσατε τοὺς πόδας σας μὲ τὴν ἑτοιμασίαν τοῦ Εὐαγγελίου τῆς εἰρήνης. Ἐπάνω δὲ ἀπ' ὅλα αὐτὰ τὰ ἐφόδια νὰ σηκώσετε ὑψηλὰ τὴν μεγάλην ἀσπίδα τῆς πίστεως, διὰ τῆς ὁποίας θὰ δυνηθῆτε νὰ ἀποκρούσετε ὅλα τὰ φλογισμένα βέλη τοῦ πονηροῦ»(1). Μὲ τὴν θαυμασίαν αὐτὴν περιγραφὴν φανερώνει ὁ Ἀπόστολος Παῦλος, ὅτι ὁ ἐχθρὸς ἡμῶν, ὁ διάβολος, ἔξωθεν ἐπιτίθεται ἐναντίον τῶν χριστοφόρων ψυχῶν μὲ καταφλογισμένα βέλη. Συμβαίνει δηλαδὴ καὶ μὲ τὸν διάβολον ὅ,τι καὶ μὲ τοὺς σωματικοὺς ἐχθρούς· εἶναι γνωστόν, ὅτι αὐτὸς ποὺ δὲν δύναται νὰ νικήσῃ τὸν ἐχθρόν του ἀπὸ κοντά, χρησιμοποιεῖ ὁπωσδήποτε βέλη ἐναντίον του, διὰ νὰ δυνηθῇ μὲ τὸ πτερὸν τῶν βελῶν νὰ κυνηγήσῃ καὶ νὰ καταβάλῃ αὐτόν, ποὺ ἐξ ἀποστάσεως πολεμεῖ (2).

9. Τοιουτοτρόπως λοιπὸν καὶ ὁ σατανᾶς, ἐπειδὴ δὲν δύναται, λόγῳ τῆς παρουσίας τῆς Χάριτος, νὰ φωλιάσῃ, ὅπως πρίν, εἰς τὸν νοῦν τῶν ἀγωνιζομένων, πετᾷ ἐπάνω ἀπὸ τὸ σῶμα καὶ τελικῶς ἐμφωλεύει κρυφὰ μέσα εἰς τὴν εὐπάθειαντοῦ σώματος, ὥστε νὰ δελεάζῃ τὴν ψυχὴν μὲ τὴν εὐκολίαν τῶν σωματικῶν κινήσεων (3). Δι' αὐτὸ πρέπει ὁ Μοναχός, ἀλλὰ καὶ ὁ ἐνάρετος ἀκόμη Χριστιανός, νὰ ἀδυνατίζῃ καταλλήλως τὸ σῶμα του μὲ τὴν νηστείαν διὰ νὰ μὴ γλυστρᾷ ὁ νοῦς, διὰ τῆς εὐταθείας τοῦ σώματος εἰς τὴν παραπλανητικὴν γλυκύτητα τῶν ἡδονῶν. Ἐὰν λοιπὸν κανεὶς δυνηθῇ, ἐνῷ ἀκόμη ζῇ, νὰ θανατώσῃ τὰς

---

1) «Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι» (Ἐφεσ. ς' 14—16).

2) Ὡς γνωστὸν κατὰ τὴν ἐποχὴν ἐκείνην δὲν εἶχον ἐφευρεθῆ τὰ πυροβόλα ὅπλα, ἐχρησιμοποιοῦντο δὲ διὰ τὰς ἐξ ἀποστάσεως μάχας τόξα καὶ βέλη.

3) Εἶναι καὶ ψυχολογικῶς ἀποδεδειγμένη ἡ ἐπίδρασις τῶν σωματικῶν καταστάσεων ἐπὶ τῆς ψυχῆς καὶ ἀντιστρόφως· π.χ. ἡ ἄμετρος πολυφαγία παγιδεύει εἰς πολλὰς ἀδυναμίας τὴν ψυχήν.

ἡδονὰς διὰ τῶν κόπων τῆς ἀσκήσεως καὶ τῆς ἐγκρατείας, καὶ νὰ ἀπονεκρώσῃ τελείως τὴν σάρκα διὰ τοῦ πνεύματος, θὰ κατορθώσῃ ὁλόκληρος νὰ γίνῃ οἶκος τοῦ Ἁγίου Πνεύματος· διότι ὁ τοιοῦτος ἄνθρωπος, πρὶν ἀκόμη ἀποθάνῃ σωματικῶς, ἀνεστήθη ἤδη. Αὐτὸ ἀκριβῶς, ποὺ λέγω, συνέβη μὲ τὸν μακάριον Παῦλον καὶ μὲ ὅσους ἠγωνίσθησαν καὶ ἀγωνίζονται, μὲ τελειότητα, ἐναντίον τῆς ἁμαρτίας.

10. Πρῶτον μέν, ὅπως ἀνέφερα προηγουμένως, ἡ θεία Χάρις ἀποκρύπτει τὴν παρουσίαν της εἰς τοὺς βαπτιζομένους, ἀναμένουσα νὰ ἐκδηλωθῇ ἐλευθέρως καὶ ἀβιάστως ἡ πρόθεσις τῆς ψυχῆς· ὅταν δὲ ὅλος πλέον ὁ ἄνθρωπος ἐπιστρέψῃ αὐτεξουσίως πρὸς τὸν Κύριον, τότε ἡ Χάρις φανερώνει τὴν παρουσίαν της εἰς τὴν καρδίαν, καὶ τῆς παρουσίας αὐτῆς λαμβάνει πεῖραν ἡ ψυχὴ διά τινος ἀνεκφράστου καὶ λεπτοτάτης μυστικῆς αἰσθήσεως. Καὶ πάλιν ὅμως τότε ἡ φανερουμένη Χάρις ἀναμένει τὴν κίνησιν τῆς ψυχῆς, ἀνεχομένη μάλιστα, κατὰ παραχώρησιν, νὰ γίνωνται βαθύτατα αἰσθητὰ τὰ δαιμονικὰ βέλη ὑπὸ τῆς ψυχῆς, ὥστε μὲ θερμοτέραν διάθεσιν νὰ ἐκζητήσῃ τὸν Κύριον.

11. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος ἀρχίσῃ ἀποφασιστικὰ νὰ τηρῇ τὰς ἐντολὰς καὶ ἀκαταπαύστως νὰ ἐπικαλῆται τὸν Θεόν, τότε καὶ τὸ πῦρ τῆς ἁγίας Χάριτος παρουσιάζεται καὶ παραμένει σταθερῶς εἰς τὰ ἐξωτερικώτερα αἰσθητήρια τῆς καρδίας, καταφλέγον ὅλα τὰ ζιζάνια τῆς ἀνθρωπίνης γῆς(1). Αὐτὴ δὲ ἡ ἐνέργεια τῆς θείας Χάριτος εἶναι μία σαφὴς πληροφορία καὶ προειδοποίησις, δι᾽ αὐτὸ τότε καὶ αἱ δαιμονικαὶ προσβολαὶ ἀπομακρύνονται καὶ φθάνουν μακρυὰ ἀπὸ τοὺς χαριτωμένους ἐκείνους τόπους τῆς καρδίας καὶ ἐκεῖθεν πλέον ἐντελῶς ἀκίνδυνα καὶ μὲ ἠρεμίαν νύττουν τὸ ἐμπαθὲς μέρος τῆς ψυχῆς.

12. Ὅταν δὲ ὁ ἀγωνιστὴς ἄνθρωπος φθάσῃ εἰς τὸ σημεῖον νὰ ἐγκολπωθῇ ὅλας τὰς ἀρετάς, καὶ πρὸ παντὸς τὴν ἀπόλυτον ἀκτημοσύνην, τότε ὁλόκληρον αὐτοῦ τὴν φύσιν φωτίζει ὁλόγυρα μιὰ βαθυτέρα μυστικὴ αἴσθησις, ἡ ὁποία ζεσταίνει, εἰς τὰ βάθη τῆς ὑπάρξεώς του, τὴν πολλὴν πρὸς τὸν Θεὸν ἀγάπην. Ἀποτέλεσμα δὲ τῆς θείας αὐτῆς ἀλλοιώσεως εἶναι ὅτι τὰ δαιμονικὰ βέλη σβύνουν καὶ χάνονται πολὺ μακρὰν καὶ αὐτῶν τῶν σωματικῶν αἰσθήσεων, διότι ἡ αὔρα τοῦ Ἁγίου Πνεύματος, ποὺ κινεῖ τὴν καρδίαν πρὸς εἰρηνικοὺς ἀνέμους, σβύνει τελείως καὶ ἀχρηστεύει τὰ πυρφόρα βέλη τοῦ δαίμονος, ἐνῷ ἀκόμη κινοῦνται εἰς τὸν ἀέρα.

13. Πλήν, καὶ αὐτὸν ποὺ ἔφθασεν εἰς αὐτὸ τὸ μέτρον, παραχωρεῖ κάποτε ὁ Θεὸς νὰ περιπέσῃ εἰς τὴν κακίαν τῶν δαιμόνων, ἀφήνων τότε ἀφώτιστον τὸν νοῦν του, διὰ νὰ μὴ εὑρεθῇ τὸ αὐτεξούσιον ἡμῶν τελείως δεμένον μὲ τὸν δεσμὸν τῆς Χάριτος, ὄχι μόνον διότι τελικῶς

1) Ἀνθρωπίνην γῆν ὀνομάζει ὁ ἱερὸς συγγραφεὺς τὸ ἀνθρώπινον σῶμα, καὶ δὴ τὰς πέντε αἰσθήσεις τοῦ σώματος, δι᾽ ὧν καὶ ἐξ ὧν ὁ διάβολος πολεμεῖ τὴν ψυχήν.

ἡ ἁμαρτία θὰ πρέπει νὰ νικηθῇ δι' ἀγῶνος, ἀλλὰ καὶ διότι θὰ πρέπει ὁ ἄνθρωπος νὰ προκόψῃ ἀκόμη εἰς τὴν πνευματικὴν πεῖραν· διότι ἐκεῖνο ποὺ νομίζει ὁ παιδευόμενος ὡς τέλειον, εἶναι ἀτελὲς ὡς πρὸς τὸν πλοῦτον τοῦ παιδεύοντος ἡμᾶς ἀπὸ μεγάλην ἀγάπην Θεοῦ, ἔστω καὶ ἂν κανείς, κατὰ τὴν προκοπὴν τῶν ἀγωνιστικῶν κόπων, δυνηθῇ νὰ ἀνέλθῃ ὅλην τὴν ὑποδειχθεῖσαν εἰς τὸν Ἰακὼβ κλίμακα (1).

14. Ὅπως ἕνας ἄνθρωπος, ὅταν εὑρίσκεται ἐν καιρῷ χειμῶνος εἰς τὸ ὕπαιθρον, χωρὶς καμμίαν ἄλλην βοήθειαν, ἀναμένει τὴν ἀνατολὴν τοῦ ἡλίου διὰ νὰ θερμανθῇ, ὅταν δὲ ἀνατείλῃ στρέφεται ὅλως πρὸς αὐτόν. Ὅμως ὅταν ἀνατείλῃ ὁ ἥλιος, μόνον τὰ ἐμπρόσθια μέρη τοῦ σώματός του θὰ θερμανθοῦν· ἀντιθέτως τὰ ὀπίσθια θὰ εἶναι τελείως ἄμοιρα τῆς ἡλιακῆς θερμότητος, διότι ὁ ἥλιος δὲν ἔχει φθάσει ἀκόμη εἰς τὸ μέσον τοῦ οὐρανοῦ (2).

15. Τὸ ἴδιον ἀκριβῶς συμβαίνει καὶ μὲ ἐκείνους, ποὺ εὑρίσκονται εἰς τὰς ἀρχὰς τῆς πνευματικῆς των προκοπῆς· γλυκοζεσταίνεται μὲν ἐν μέρει ἡ καρδία των ἀπὸ τὴν θαλπωρὴν τοῦ Ἁγίου Πνεύματος, δι' αὐτὸ καὶ ὁ νοῦς των τότε ἀρχίζει νὰ καρποφορῇ πνευματικὰ φρονήματα, ἐν τούτοις ὅμως ἀξιόλογα μέρη τῆς διανοίας παραμένουν μὲ σαρκικὰ φρονήματα, ἐπειδὴ δὲν κατηυγάσθησαν ἀκόμη ὅλα τὰ μέλη αὐτῆς διὰ βαθείας μυστικῆς αἰσθήσεως ὑπὸ τῆς ἁγίας Χάριτος. Αὐτὴν ἀκριβῶς τὴν περίπτωσιν δὲν ἠδυνήθησαν νὰ ἀντιληφθοῦν μερικοὶ καὶ δι' αὐτὸ ἐνόμισαν, ἐσφαλμένως, ὅτι ἡ Χάρις καὶ ἡ ἁμαρτία, δηλαδὴ τὸ Πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης, εἶναι δυνατὸν νὰ ἐγκρύπτωνται ἀπὸ κοινοῦ καὶ συγχρόνως εἰς τὸν νοῦν τῶν ἀγωνιζομένων.

16. Τοιουτοτρόπως λοιπὸν συμβαίνει, κατὰ τὴν αὐτὴν ταχυτάτην κίνησιν τοῦ νοός, νὰ ἐννοῇ ἡ ψυχὴ ἡμῶν καὶ καλὰ καὶ ὄχι καλά, ὅπως καὶ ὁ ἄνθρωπος τοῦ παραδείγματος εἰς τὴν ἰδίαν ἀκριβῶς θέσιν ἱστάμενος εἶναι δυνατὸν καὶ νὰ κρυώνῃ καὶ νὰ ζεσταίνεται. Διότι ἀπὸ τότε ποὺ ὁ νοῦς ἡμῶν διωλίσθησεν εἰς τὴν διπλῆν μορφὴν τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἀναγκάζεται ἔκτοτε, καὶ ἐὰν ἀκόμη δὲν τὸ θέλῃ, κατὰ τὴν αὐτὴν νοητικὴν κίνησιν, νὰ φέρῃ καὶ καλὰ καὶ αἰσχρὰ διανοήματα, πρὸ παντὸς δὲ εἰς ἐκείνους, ποὺ ἐπιδιώκουν νὰ φθάσουν εἰς μέτρα λεπτοτάτης διακρίσεως. Ἐνῷ δὲ σπεύδει πάντοτε τὸ καλὸν νὰ σκέπτεται, ἀμέσως ἐνθυμεῖται καὶ τὸ κακόν, ἐπειδὴ ἀπὸ τῆς

---

1) «Καὶ ἐνυπνιάσθη· καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν» (Γένεσ. κη' 12).

2) Πρὸς περισσοτέραν κατανόησιν τοῦ παρατιθεμένου παραδείγματος σημειοῦμεν, ὅτι εἰς τοὺς τόπους ἐκείνους, τοὺς ὁποίους εἶχεν ὑπ' ὄψιν ὁ συγγραφεύς, κατὰ μὲν τὴν ἡμέραν ἐπικρατεῖ ἀφόρητος καύσων, κατὰ δὲ τὴν νύκτα παγερὸν ψῦχος. Κατὰ τὴν ἀνατολὴν τοῦ ἡλίου αἱ ἡλιακαὶ ἀκτῖνες, καθὸ ἔτι ἀσθενεῖς, θερμαίνουν μὲν τὰς ἐπιφανείας τῶν σωμάτων ἐφ' ὧν πίπτουν, τὸ ψῦχος ὅμως καὶ ἡ ὑγρασία ἐξακολουθοῦν νὰ διαπερνοῦν τὰ ὑπὸ σκιὰν εἰσέτι εὑρισκόμενα σώματα.

ἐποχῆς τῆς παραβάσεως τοῦ Ἀδὰμ ἡ μνήμη[1] τοῦ ἀνθρώπου ἐδιχάσθη εἰς δύο ἀντίθετα ἐνθυμήματα, τοῦ καλοῦ καὶ τοῦ κακοῦ.

17. Ἐὰν λοιπὸν ἀρχίσωμεν, μὲ θερμὸν ζῆλον, νὰ ἐκτελῶμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, θὰ φωτίσῃ ἡ Χάρις ὅλα τὰ αἰσθητήρια μας, διά τινος μυστικῆς καὶ βαθείας αἰσθήσεως, καταφλέγουσα συγχρόνως τὰς προσωπικάς μας ἐνθυμήσεις. Παραλλήλως ἡ Χάρις αὕτη γλυκαίνει τὴν καρδίαν μας μὲ ἕνα αἴσθημα εἰρήνης, ποὺ σκορπίζει εἰς τὴν καρδίαν μας φιλίαν ἀνυποχώρητον. Ὑπέροχος δὲ συνέπεια τῆς θαυμαστῆς αὐτῆς ψυχικῆς μεταμορφώσεως εἶναι ὅτι ἡ καρδία μας διαμορφώνεται οὕτως, ὥστε νὰ σκέπτεται πλέον οὐχὶ σαρκικάς, ἀλλὰ πνευματικὰς σκέψεις. Αὐτὴ δὲ ἡ καταπληκτικὴ ψυχικὴ ἀνάτασις συμβαίνει κατὰ τρόπον ἀξιοθαύμαστον εἰς ὅσους συνεχῶς προσεγγίζουν πρὸς τὴν τελειότητα καὶ οἱ ὁποῖοι διατηροῦν ἀκατάπαυστον εἰς τὴν καρδίαν των τὴν ἐνθύμησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ϛ'. Τοῦ Ἁγίου Κασσιανοῦ.

ΕΙΠΕΝ ὁ Ἀββᾶς Μωϋσῆς, ἀδύνατον μὴ παρενοχλεῖσθαι ὅλως τὸν νοῦν φαύλαις ἐνθυμήσεσι, δέχεσθαι δὲ ταύτας καὶ ἐμμελετᾶν αὐταῖς, ἢ ἀποῤῥίπτειν αὐτάς, δυνατὸν παντὶ τῷ δεσπόζοντι· ὥσπερ γὰρ τὸ ἔρχεσθαι αὐτὰς οὐκ ἔστι τῶν ἐφ' ἡμῖν, οὕτω καὶ τὸ ἀποδιῶξαι τῶν ἐφ' ἡμῖν κεῖται, καὶ ἡ ἐπανόρθωσις δὲ τῆς ἡμετέρας διανοίας, ἐν τῇ ἡμετέρᾳ ἐστὶ προαιρέσει καὶ σπουδῇ.

2. Ὅταν γὰρ συνεχῶς μελετῶμεν τὸν νόμον τοῦ Θεοῦ, καὶ εἰς ψαλμοὺς καὶ ᾠδὰς ἀδολεσχῶμεν, νηστείαις τε καὶ ἀγρυπνίαις προσασχολώμεθα, καὶ μνημονεύωμεν συνεχῶς τῶν μελλόντων, τῆς τε Βασιλείας τῶν οὐρανῶν, καὶ τῆς γεέννης τοῦ πυρός, καὶ πάντων τῶν ἔργων τοῦ Θεοῦ, οἱ πονηροὶ λογισμοὶ ἐλαττοῦνται, καὶ τόπον οὐχ εὑρίσκουσιν.

3. Ὅταν δὲ κοσμικαῖς φροντίσι καὶ σαρκικοῖς πράγμασιν ἐνασχολώμεθα, καὶ ὁμιλίαις ματαίαις καὶ ἀργαῖς ἑαυτοὺς ἐκδιδῶμεν, πλεονάζουσιν ἐν ἡμῖν οἱ φαῦλοι λογισμοί· ὥσπερ γὰρ μύλον ἐξ ὑδάτων κινούμενον ἀδύνατον ἀργῆσαι τῆς κινήσεως, ἐν ἐξουσίᾳ δέ ἐστι τοῦ ἐφισταμένου τῷ μύλῳ σῖτον ἀλῆσαι ἢ ζιζάνιον, οὕτως ἡ διάνοια ἡμῶν, ἀεικίνητος οὖσα, οὐ δύναται ἀργεῖν ἀπὸ λογισμῶν· ἐν ἡμῖν δέ ἐστι δοῦναι αὐτῇ ἢ πνευματικὴν μελέτην ἢ σαρκικὴν ἐργασίαν.

4. Καθὼς καὶ ὁ Ψαλμῳδὸς διδάσκει λέγων· «Μακάριος ἀνὴρ ᾧ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ Σοὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο», ἰδού, καὶ διὰ τοῦ Προφήτου μανθάνομεν, ὅτι ἐν τῇ ἡμετέρᾳ ἐξουσίᾳ κεῖται εἴτε ἀναβάσεις θελήσωμεν, τουτέστιν ὑψηλὰς ἐννοίας καὶ πρὸς Θεὸν ἀναγούσας τὸν νοῦν, εἴτε καταβάσεις, ἤγουν σαρκικὰς καὶ γηΐνας ἐνθυμήσεις ἐν τῇ καρδίᾳ τίθεσθαι.

5. Εἰ μὴ γὰρ ἦν τοῦτο, οὐκ ἂν δικαίως ἐν ἡμέρᾳ κρίσεως ὑπὲρ ἐνθυμήσεων λόγον ἀπητούμεθα· ἀλλ' οὐδὲ ἠδυνήθη τις ἄνθρωπος ἐκκλῖναι ἀπὸ ἁμαρτίας, εἴπερ ἴσχυον οἱ δαίμονες, ὥσπερ τὸ ὑποβάλλειν, οὕτω καὶ τὸ ἀναγκάζειν ἐπιτελεῖν τὰ ὑποβαλλόμενα.

6. Ὡμολόγηται τοίνυν μὴ δύνασθαί τινα ὑπὸ τοῦ διαβόλου ἄλλως κυριεύεσθαι, εἰ μὴ ὁ ἄνθρωπος παρέχειν αὐτῷ βούλεται τῆς οἰκείας προαιρέσεως τὴν

---

1) Ἐνταῦθα ἡ μνήμη δέον νὰ ἐκληφθῇ ὑπὸ τὴν ἀρχικήν της σημασίαν, τῆς ἀναμνήσεως δηλαδὴ ὅλων τῶν σκέψεων καὶ ἰδεῶν ποὺ συμπλέκουν τὸ περιεχόμενον τῆς διανοίας.

συγκατάθεσιν, καθὰ καὶ ὁ Ἐκκλησιαστὴς λέγει· «Οὐκ ἔστιν ἀντίρρησις ἀπὸ τῶν ποιούντων τὸ κακὸν ταχύ». Φησὶ δὲ καὶ ὁ Ἀπόστολος Ἰάκωβος· «ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν».

Ἑρμηνεία


Ο ΑΒΒΑΣ Μωϋσῆς ἔλεγε τὰ ἑξῆς: Εἶναι τελείως ἀδύνατον νὰ μὴ παρενοχληθῇ ὁ νοῦς μας ἀπὸ αἰσχρὰς σκέψεις· τὸ νὰ δεχώμεθα ὅμως τὰς σκέψεις αὐτὰς καὶ νὰ ἀσχολούμεθα μετ' ἐνδιαφέροντος δι' αὐτὰς ἢ νὰ τὰς ἀπορρίπτωμεν εἶναι δυνατὸν εἰς κάθε ἕνα, ποὺ ἐπιβάλλεται εἰς τὸν ἑαυτόν του. Διότι ὅπως ἀκριβῶς τὸ νὰ ἔρχωνται αὐταὶ αἱ σκέψεις δὲν ἐξαρτᾶται ἀπὸ ἡμᾶς, οὕτω καὶ τὸ νὰ ἐκδιώξωμεν αὐτὰς ἀπὸ τὸν νοῦν μας ἐξαρτᾶται ἀπὸ ἡμᾶς. Ἡ ἐπανόρθωσις τῆς διανοίας μας εἶναι ἔργον τῆς ἐλευθέρας προαιρέσεώς μας καὶ τῆς ἀγρύπνου φροντίδος μας.

2 Ὅταν λοιπὸν συνεχῶς μελετῶμεν τὸν νόμον τοῦ Θεοῦ, καὶ ψιθυρίζωμεν διαρκῶς ψαλμοὺς καὶ ᾠδάς, ἀσχολούμεθα ἐπὶ πλέον εἰς τὰς νηστείας καὶ τὰς ἀγρυπνίας, καὶ συνεχῶς ἐνθυμούμεθα τὰ μέλλοντα, τὴν Βασιλείαν τῶν οὐρανῶν καὶ τὴν γέενναν τοῦ πυρός, ὅπως καὶ ὅλα τὰ ἔργα τοῦ Θεοῦ, τότε ἐλαττώνονται οἱ πονηροὶ λογισμοὶ καὶ δὲν εὑρίσκουν τόπον εἰς τὴν ψυχήν μας.

3. Ὅταν ὅμως, ἀντιθέτως, ἀπασχολούμεθα μὲ σαρκικὰς φροντίδας καὶ σαρκικὰ πράγματα καὶ λαμβάνωμεν μέρος εἰς συναναστροφὰς καὶ συνομιλίας ματαίας καὶ ἀσκόπους, τότε πληθύνονται μέσα εἰς τὸν νοῦν μας οἱ αἰσχροὶ λογισμοί. Ὅπως δηλαδὴ ἕνας νερόμυλος, ἐπειδὴ τὸ νερό, ποὺ τὸν κινεῖ, τρέχει διαρκῶς, εἶναι ἀδύνατον νὰ σταματήσῃ νὰ κινῆται, ὡστόσον ὅμως εἶναι εἰς τὴν ἐξουσίαν τοῦ μυλωνᾶ νὰ ἀλέθῃ σιτάρι ἢ ζιζάνια, τοιουτοτρόπως ἀεικίνητος εἶναι καὶ ἡ διάνοιά μας· ὡς ἐκ τούτου δὲν δύνανται νὰ παύσουν οἱ λογισμοί. Εἶναι ὅμως τελείως εἰς τὴν προαίρεσίν μας νὰ ἀπασχολήσωμεν τὴν διάνοιάν μας μὲ πνευματικὴν μελέτην, ἢ μὲ σαρκικὴν ἐργασίαν, ὁπόταν καὶ ἡ ποιότης τῶν λογισμῶν θὰ εἶναι ἀνάλογος.

4. Αὐτὸ μᾶς τὸ διδάσκει καὶ ὁ ψαλμῳδὸς λέγων: «Μακάριος ἀνήρ, ᾧ ἐστιν ἡ ἀντίληψις αὐτοῦ παρὰ Σοὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο» (Ψαλμ. πγ' 6). Μακάριος, δηλαδή, εἶναι ὁ ἄνθρωπος ποὺ ἡ σκέψις του εἶναι πάντοτε πλησίον Σου, Θεέ μου· αὐτὸς ἔχει εἰς τὴν καρδίαν του διάθεσιν δι' ὑψηλὰς πνευματικὰς ἀναβάσεις. Ἰδοὺ λοιπόν, ὅτι καὶ ἀπὸ τὸν Προφητάνακτα πληροφορούμεθα, ὅτι εἶναι ζήτημα τῆς προσωπικῆς μας ἐξουσίας νὰ θελήσωμεν εἴτε ἀναβάσεις, δηλαδὴ ὑψηλὰς ἐννοίας ποὺ ἀνυψώνουν τὸν νοῦν πρὸς τὸν Θεόν, εἴτε καταβάσεις, δηλαδὴ νὰ ἐμφυτεύσωμεν εἰς τὴν καρδίαν μας σαρκικὰς καὶ γηΐνας σκέψεις.

5 Ἐὰν δὲ πράγματι δὲν ἦτο εἰς τὴν ἐξουσίαν μας ἡ ἠθικὴ ποιότης τῶν σκέψεων, δὲν θὰ ἦτο δίκαιον, κατὰ τὴν ἡμέραν τῆς κρίσεως,



(Βλ. σελ. 192, 194, 195)

νὰ ἐζητεῖτο ἀπὸ ἡμᾶς εὐθύνη διὰ τὰς σκέψεις καὶ τὰς ἐνθυμήσεις ἡμῶν. Ἐκτὸς ὅμως αὐτοῦ, ἐὰν ἦσαν τόσον ἰσχυροὶ οἱ δαίμονες, καὶ δὲν εἶχεν οὐδεμίαν δύναμιν τὸ αὐτεξούσιον μας, τότε οὔτε ἕνας ἄνθρωπος δὲν θὰ ἠδύνατο νὰ ἀποφύγῃ τὴν ἁμαρτίαν, ἐφ' ὅσον καὶ ἡ ὑποβολὴ τῶν κακῶν λογισμῶν καὶ ὁ ἐξαναγκασμὸς πρὸς ἐπιτέλεσιν τῶν ὑποβαλλομένων θὰ ἦσαν εἰς τὴν ἐξουσίαν τῶν δαιμόνων.

6. Ἀποτελεῖ λοιπὸν κοινὴν ὁμολογίαν, ὅτι κανεὶς δὲν εἶναι δυνατὸν νὰ κυριευθῇ ἀπὸ τὸν διάβολον κατ' ἄλλον τρόπον, ἐκτὸς ἐὰν ὁ ἴδιος ὁ ἄνθρωπος θελήσῃ νὰ παραχωρήσῃ εἰς αὐτὸν τὴν ἐλευθέραν συγκατάθεσιν τῆς προαιρέσεώς του. Τὴν ἄποψιν αὐτὴν δέχεται καὶ ὁ Ἐκκλησιαστὴς λέγων· «ὅτι οὐκ ἔστι γινομένη ἀντίρρησις ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχὺ» (Ἐκκλ. η' 11). Δηλαδὴ δὲν ὑπάρχει ἀντίρρησις ἐκ μέρους αὐτῶν, ποὺ ἐκτελοῦν γρήγορα τὸ κακόν. Συμφωνεῖ σχετικῶς καὶ ὁ Ἀπόστολος Ἰάκωβος λέγων· «ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν» (Ἰάκ. δ' 7), ἀντισταθῆτε, δηλαδή, εἰς τὸν διάβολον καὶ θὰ ἀπομακρυνθῇ ἀπὸ σᾶς.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου.

Η ΔΙΑ τῶν πραγμάτων οἱ δαίμονες πολεμοῦσιν ἢ διὰ τῶν ἐν τοῖς πράγμασιν ἐμπαθῶν νοημάτων· καὶ διὰ μὲν τῶν πραγμάτων, τοῖς ἐν τοῖς πράγμασιν οὖσι, διὰ δὲ τῶν νοημάτων, τοὺς τῶν πραγμάτων κεχωρισμένους· ὅσον ἐστὶν εὐκοπώτερον τὸ κατὰ διάνοιαν ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν, τοσοῦτόν ἐστι βαρύτερος ὁ διὰ τῶν νοημάτων πόλεμος τοῦ διὰ τῶν πραγμάτων.

2. Μὴ παραχρῶ τοῖς νοήμασιν, ἵνα μὴ ἐξ ἀνάγκης καὶ τοῖς πράγμασι παραχρήσῃ· ἐὰν γὰρ μή τις πρῴην κατὰ διάνοιαν ἁμάρτῃ, οὐκ ἂν ἁμάρτῃ ποτὲ κατ' ἐνέργειαν.

3. Διὰ τῶν τριῶν τούτων λαμβάνει ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα, διὰ τῆς αἰσθήσεως, διὰ τῆς κράσεως, διὰ τῆς μνήμης.

4. Καὶ διὰ μὲν τῆς αἰσθήσεως, ὅταν, προσβάλλοντα αὐτῇ τὰ πράγματα πρὸς ἅπερ πάθη κεκρατήμεθα, κινεῖ αὐτὸν πρὸς ἐμπαθεῖς λογισμούς.

5. Διὰ δὲ τῆς κράσεως, ὅταν ἐξ ἀκολάστου διαίτης, ἢ ἐνεργείας δαιμόνων, ἢ νοσήματός τινος, ἀλλοιουμένη ἡ τοῦ σώματος κρᾶσις, κινεῖ αὐτὸν πάλιν πρὸς ἐμπαθεῖς λογισμούς, ἢ κατὰ τῆς Προνοίας.

6. Διὰ δὲ τῆς μνήμης, ὅταν τῶν πραγμάτων, εἰς ἅπερ πεπόνθαμεν, τὰ νοήματα ἡ μνήμη ἀναφέρει, καὶ κινεῖ αὐτὸν ὁμοίως πρὸς ἐμπαθεῖς λογισμούς.

7. Τὰ τέσσαρα ταῦτα, φασίν, ἀλλοιοῦν τὴν κρᾶσιν τοῦ σώματος, καὶ διδόναι τῷ νῷ λογισμούς, εἴτε ἐμπαθεῖς, εἴτε ἀπαθεῖς δι' αὐτῆς, οἷον τοὺς Ἀγγέλους, τοὺς δαίμονας, τοὺς ἀέρας, τὴν δίαιταν. Καὶ τοὺς μὲν Ἀγγέλους, λόγῳ φασὶν ἀλλοιῶσαι, τοὺς δὲ δαίμονας δι' ἐπαφῆς, τοὺς δὲ ἀέρας, ταῖς μεταβολαῖς, τὴν δὲ δίαιταν, ταῖς τῶν βρωμάτων καὶ πομάτων ποιότησι, καὶ πλεονασμῷ καὶ ἐλαττώσει.

8. Πάρεξ τῶν διὰ μνήμης καὶ ἀκοῆς καὶ ὁράσεως συμβαινουσῶν αὐτῇ ἀλλοιώσεων, πρωτοπαθούσης τῆς ψυχῆς ἐκ τῶν συμπιπτόντων αὐτῇ λυπηρῶν ἢ χαροποιῶν· καὶ ἐκ τούτων μὲν προσπάσχουσα ἡ ψυχή, ἀλλοιοῖ τὴν κρᾶσιν τοῦ σώματος, ἐκ δὲ τῶν προειρημένων ἡ κρᾶσις ἀλλοιουμένη παρέχει τῷ νῷ λογισμούς.

9. Οἱ μὲν τῶν λογισμῶν ἁπλοῖ εἰσιν, οἱ δὲ σύνθετοι· καὶ ἁπλοῖ μέν εἰσιν οἱ ἀπαθεῖς, σύνθετοι δὲ οἱ ἐμπαθεῖς, ὡς ἐκ πάθους καὶ νοήματος συγκείμενοι.

Τούτων οὕτως ἐχόντων, πολλοὺς τῶν ἁπλῶν ἔστιν ἰδεῖν, ἑπομένους τοῖς συνθέτοις, ὅταν ἄρξωνται κινεῖσθαι πρὸς τὸ κατὰ διάνοιαν ἁμαρτάνειν.

10. Οἷον ὡς ἐπὶ τοῦ χρυσίου· ἀνέβη ἐπὶ τὴν μνήμην τινὸς λογισμὸς περὶ χρυσίου ἐμπαθής, καὶ ὥρμησε τῇ διανοίᾳ τοῦ κλέπτειν, καὶ ἐπετέλεσε κατὰ νοῦν τὴν ἁμαρτίαν· συνείποντο δὲ τῇ μνήμῃ τοῦ χρυσίου καὶ ἡ τοῦ βαλλαντίου καὶ τοῦ σκευαρίου καὶ τοῦ κουβουκλίου καὶ τῶν ἑξῆς.

11. Καὶ ἡ μὲν μνήμη τοῦ χρυσίου ἦν σύνθετος, εἶχε γὰρ τὸ πάθος· ἡ δὲ τοῦ βαλλαντίου, καὶ τοῦ σκευαρίου, καὶ τῶν ἑξῆς ἁπλῆ· οὐδὲ γαρ εἶχε πρὸς αὐτὰ τὸ πάθος ὁ νοῦς. Καὶ ἐπὶ παντὸς δὲ λογισμοῦ ὁμοίως ἔχει, ἐπί τε κενοδοξίας, καὶ ἐπὶ γυναικὸς καὶ τῶν λοιπῶν· οὐ γὰρ πάντες οἱ συνεπόμενοι τῷ ἐμπαθεῖ λογισμῷ λογισμοὶ ἐμπαθεῖς εἰσιν, ὡς ἀπέδειξεν ὁ λόγος· ἐκ τούτου οὖν δυνάμεθα γνῶναι, ποῖα τὰ ἁπλᾶ.

12. Εἰ θέλεις τῶν λογισμῶν περιγενέσθαι, ἐπιμελοῦ τῶν παθῶν καὶ εὐχερῶς αὐτοὺς ἀπὸ τοῦ νοῦ ἐξελαύνεις· οἷον ἐπὶ μὲν τῆς πορνείας, νήστευε, ἀγρύπνει, κοπίασον, ἰδίασον· ἐπὶ δὲ τῆς ὀργῆς, καὶ τῆς λύπης, καταφρόνει δόξης καὶ ἀτιμίας, καὶ τῶν ὑλικῶν πραγμάτων· ὑπὲρ δὲ τῆς μνησικακίας, ὑπερεύχου ὑπερ τοῦ λυπήσαντος καὶ ἀπαλλάττῃ.

13. Μέγα μὲν τὸ μὴ πάσχειν πρὸς τὰ πράγματα, μεῖζον δὲ τούτου πολὺ τὸ πρὸς τὰ τούτων νοήματα ἀπαθῶς διαμεῖναι.

14. Ἅπας ὁ πόλεμος τοῦ Μοναχοῦ πρὸς τοὺς δαίμονας, ἵνα τὰ πάθη τῶν νοημάτων χωρίσῃ· ἄλλως γὰρ ἀπαθῶς τὰ πράγματα βλέπειν οὐ δύναται. Ἄλλο γάρ ἐστι πρᾶγμα, καὶ ἄλλο νόημα, καὶ ἄλλο πάθος· καὶ πρᾶγμα μέν ἐστιν, οἷον ἀνήρ, γυνή, χρυσός, καὶ τὰ ἑξῆς· νόημα δέ, οἷον μνήμη ψιλή τινος τῶν προειρημένων· πάθος δέ ἐστιν, ἐμπαθὴς λογισμὸς σύνθετος ἀπὸ πάθους καὶ νοήματος. Χωρίσωμεν οὖν τὸ πάθος ἀπὸ τοῦ νοήματος, καὶ ἀπομένει ὁ λογισμὸς ψιλός· χωρίζομεν δὲ δι' ἀγάπης πνευματικῆς καὶ ἐγκρατείας, ἐὰν θέλωμεν.

15. Αἱ μὲν ἀρεταὶ τῶν παθῶν τὸν νοῦν χωρίζουσιν, ἡ δὲ καθαρὰ προσευχή, Αὐτῷ αὐτὸν περίστησι τῷ Θεῷ· ἐὰν σχολαζοντες τῷ Θεῷ χρόνῳ πολλῷ, τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς ἐπιμελώμεθα, καὶ οὐκέτι πρὸς τας τῶν λογισμῶν προσβολὰς ἐξοκείλωμεν, ἀλλὰ καὶ ἀκριβεστερον τὰς τούτων αἰτίας κατανοοῦντες καὶ ἐκκόπτοντες διορατικώτεροι γινώμεθα, ὥστε πληρωθῆναι ἐφ' ἡμᾶς, τό, «Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου».

16 Ὅταν βλέπῃς τὸν νοῦν σου εὐσεβῶς καὶ δικαίως ἀναστρεφόμενον ἐν τοῖς τοῦ κόσμου νοήμασι, γίνωσκε καὶ τὸ σῶμά σου καθαρὸν καὶ ἀναμαρτητον διαμένειν· ὅταν δὲ τὸν νοῦν βλέπῃς κατὰ διάνοιαν ἁμαρτίαις σχολάζοντα, καὶ μὴ ἀνακόπτῃς, γίνωσκε καὶ τὸ σῶμα τοῖς αὐτοῖς περιπίπτειν.

17. Ὥσπερ τὸ σῶμα ἔχει κόσμον τὰ πράγματα, οὕτω καὶ ὁ νοῦς κόσμον ἔχει τὰ νοήματα.

18. Καὶ ὥσπερ τὸ σῶμα πορνεύει μετὰ τοῦ σώματος τῆς γυναικός, οὕτω καὶ ὁ νοῦς πορνεύει μετὰ τοῦ νοήματος τῆς γυναικὸς διὰ τῆς φαντασίας τοῦ ἰδίου σώματος· τὴν γὰρ μορφὴν τοῦ ἰδίου σώματος βλέπει μεμιγμένην μετὰ τῆς μορφῆς τῆς γυναικὸς κατὰ διάνοιαν.

19. Ὡσαύτως καὶ τὴν μορφὴν τοῦ λυπήσαντος, ἀμύνεται κατὰ διάνοιαν διὰ τῆς μορφῆς τοῦ ἰδίου σώματος, καὶ ἐπὶ τῶν ἄλλων ἁμαρτημάτων ὅμοιως, ἅπερ πράττει τὸ σῶμα κατ' ἐνέργειαν εἰς τὸν κόσμον τῶν πραγμάτων.

20. Οἱ μὲν τῶν ἀγωνιζομένων ἀποκρούονται μόνον τοὺς ἐμπαθεῖς λογισμούς, οἱ δὲ καὶ αὐτὰ τὰ πάθη περικόπτουσι· καὶ ἀποκρούεται μέν τις, οἷον ἢ ψαλμῳδίᾳ, ἢ προσευχῇ, ἢ μετεωρισμῷ, ἢ ἄλλῳ τινὶ τοπικῷ περισπασμῷ· ἐκκόπτει δὲ τα πάθη, ἐκείνων τῶν πραγμάτων περιφρονῶν, πρὸς ἅπερ αὐτὰ κέχρηται.

Ἑρμηνεία

† ΟΙ ΔΑΙΜΟΝΕΣ πολεμοῦν τοὺς ἀνθρώπους ἢ διὰ τῶν πραγμάτων, ἢ διὰ τῶν ἐμπαθῶν νοημάτων, ποὺ ἐνυπάρχουν μέσα εἰς τὰ πράγματα. Καὶ διὰ μὲν τῶν πραγμάτων πολεμοῦν ὅσους συμφύρονται μὲ τὰ κοσμικὰ πράγματα· διὰ δὲ τῶν νοημάτων ὅσους ἔχουν ἀποχωρισθῆ ἀπ' αὐτῶν. Ὅσον εὐκολωτέρα εἶναι ἡ κατὰ διάνοιαν ἁμαρτία ἀπὸ τὴν ἔμπρακτον τοιαύτην, κατὰ τοσοῦτον εἶναι βαρύτερος ὁ διὰ νοημάτων πόλεμος τοῦ διαβόλου, ἀπὸ τὸν πόλεμον, ποὺ διεξάγει ἐναντίον ἡμῶν διὰ τῶν πραγμάτων.

2. Μὴ συγκρατῇς ὑπερμέτρως εἰς τὸν νοῦν σου τὰ νοήματα, διὰ νὰ μὴ ἀσχοληθῇς ὑπερμέτρως καὶ μὲ τὰ πράγματα, ποὺ ἐγκρύπτουν τὰ νοήματα αὐτά· διότι ἐὰν κανεὶς δὲν ἁμαρτήσῃ προηγουμένως κατὰ διάνοιαν, ποτὲ δὲν θὰ ἁμαρτήσῃ καὶ ἐμπράκτως.

3. Ὁ νοῦς δέχεται τὰ ἐμπαθῆ νοήματα διὰ τῶν τριῶν τούτων (ὁδῶν)· διὰ τῆς αἰσθήσεως, διὰ τῆς κράσεως, καὶ διὰ τῆς μνήμης.

4. Καὶ διὰ μὲν τῆς αἰσθήσεως δέχεται ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα, ὅταν τὴν αἴσθησιν τοῦ νοὸς προσβάλλουν τὰ πράγματα, ποὺ σχετίζονται μὲ τὰ πάθη, ἀπὸ τὰ ὁποῖα κυριευόμεθα, ὁπότε αὕτη κινεῖ τὸν νοῦν πρὸς ἐμπαθεῖς λογισμούς.

5. Διὰ δὲ τῆς κράσεως (ἰδιοσυγκρασίας) δέχεται ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα, ὅταν ἢ ἀπὸ ἀκόλαστον ζωήν, ἢ ἀπὸ δαιμονικὴν ἐνέργειαν, ἢ ἀπὸ κάποιαν ἀρρώστειαν, ἀλλάζῃ ἡ σωματικὴ κρᾶσις, ὁπόταν ὁ νοῦς κινεῖται πάλιν πρὸς ἐμπαθεῖς λογισμούς, ἢ πρὸς ἀσεβεῖς λογισμοὺς κατὰ τῆς Θείας Προνοίας.

6. Τέλος, διὰ τῆς μνήμης δέχεται ὁ νοῦς τὰ ἐμπαθῆ νοήματα, ὅταν ἐνθυμούμεθα τὰ πράγματα ἐκεῖνα, ἐξ αἰτίας τῶν ὁποίων ὑπεπέσαμεν εἰς διάφορα πάθη· ἡ ἀνάμνησις δὲ αὐτὴ κινεῖ ὡσαύτως τὸν νοῦν ἡμῶν εἰς ἐμπαθεῖς λογισμούς.

7. Λέγουν, ὅτι οἱ τέσσαρες ἑπόμενοι παράγοντες ἀλλοιώνουν τὴν κρᾶσιν τοῦ σώματος καὶ προκαλοῦν λογισμοὺς εἰς τὸν νοῦν, εἴτε ἐμπαθεῖς, εἴτε ἀπαθεῖς· οἱ τέσσαρες αὐτοὶ παράγοντες εἶναι οἱ Ἄγγελοι, οἱ δαίμονες, ὁ ἀὴρ καὶ ἡ δίαιτα. Καὶ οἱ μὲν Ἄγγελοι, καθὼς λέγουν, ἀλλοιώνουν διὰ λόγου, οἱ δαίμονες δι' ἐπαφῆς πρὸς τὸ σῶμα, οἱ ἀέρες διὰ τῶν καιρικῶν μεταβολῶν, τέλος δὲ ἡ δίαιτα διὰ τῆς ποιότητος τῶν τροφῶν καὶ ποτῶν, ὡς καὶ διὰ τοῦ κορεσμοῦ ἢ τῆς πείνης.

8. Ἐκτὸς ὅμως τῶν παραγόντων αὐτῶν, ἐπιδροῦν ἐπὶ τοῦ ἀνθρώπου καὶ ἀλλοιώνουν τὴν κρᾶσιν του ἡ μνήμη, ἡ ἀκοή, ἡ ὅρασις, ὅταν ἡ ψυχὴ ἔχῃ πρωτίστως πάθει ἀπὸ διαφόρους χαρὰς ἢ λύπας, ποὺ συνέβησαν εἰς αὐτήν. Παθοῦσα λοιπὸν ἐκ τῶν προτέρων ἡ ψυχὴ ἀπὸ αὐτὰ ὅλα, ἐπιδρᾷ ἐπὶ τοῦ σώματος καὶ ἀλλοιώνει τὴν κρᾶσιν αὐτοῦ· ἀλλοιουμένη δὲ ἡ κρᾶσις ἐξ ὅλων αὐτῶν προκαλεῖ ἐμπαθεῖς λογισμοὺς εἰς τὸν νοῦν.

9. Ἐκ τῶν λογισμῶν ἄλλοι μὲν εἶναι ἁπλοῖ, ἄλλοι δὲ σύνθε-

τοι· καὶ ἁπλοῖ μὲν λογισμοὶ εἶναι οἱ ἀπαθεῖς, σύνθετοι δὲ οἱ ἐμπαθεῖς, διότι ἀποτελοῦνται ἀπὸ τὸ πάθος καὶ ἀπὸ τὸ νόημα. Τούτων οὕτως ἐχόντων, εἶναι δυνατὸν νὰ ἴδη κανεὶς πολλοὺς ἐκ τῶν ἁπλῶν λογισμῶν νὰ διαδέχωνται τοὺς συνθέτους, ὅταν ἀρχίζουν νὰ κινοῦνται πρὸς τὴν κατὰ διάνοιαν ἁμαρτίαν.

10. Ἂς λάβωμεν ἕνα συγκεκριμένον παράδειγμα, τὸν χρυσόν· ἔξαφνα ἀνῆλθεν εἰς τὴν μνήμην ἑνὸς ἀνθρώπου ἕνας ἐμπαθὴς λογισμὸς διὰ χρυσᾶ νομίσματα· οὗτος παρώρμησε τὴν διάνοιαν νὰ κλέψῃ καὶ οὕτω συνετελέσθη ἡ κατὰ νοῦν καὶ διάνοιαν ἁμαρτία. Μὲ τὴν ἀνάμνησιν ὅμως τῶν χρυσῶν νομισμάτων, ἀπὸ τὴν ὁποίαν προῆλθεν ὁ ἐμπαθὴς λογισμός, ἐπηκολούθησαν, ὡς φυσικαὶ συνέπειαι, καὶ ἡ ἐνθύμησις τοῦ βαλλαντίου, καὶ ἡ ἐνθύμησις τοῦ συρταριοῦ, καὶ ἡ ἐνθύμησις τοῦ ντουλαπιοῦ, καὶ ἡ ἐνθύμησις ὅλων ἐν γένει τῶν ἀντικειμένων, ποὺ συνδέονται μὲ χρυσᾶ νομίσματα.

11. Ἐξ ὅλων ὅμως αὐτῶν τῶν ἐπὶ μέρους ἀναμνήσεων, ἀπὸ τὰς ὁποίας διεμορφώθησαν ἀντίστοιχοι λογισμοί, μόνον ἡ μνήμη τοῦ χρυσοῦ νομίσματος ἦτο σύνθετος, διότι ἐνεῖχεν, ἐκτὸς τοῦ νοήματος τοῦ χρυσοῦ, καὶ τὸ πάθος τῆς κλοπῆς αὐτοῦ· ἐνῷ αἱ ἀναμνήσεις τοῦ βαλλαντίου, τοῦ συρταρίου καὶ τῶν λοιπῶν ἀντικειμένων ἦσαν ἁπλαῖ, διότι ὁ νοῦς δὲν ἐδοκίμασεν οὐδὲν πάθος δι' αὐτά. Τὸ ἴδιον συμβαίνει καὶ εἰς πάντα λογισμόν, καὶ εἰς τὸν λογισμὸν τῆς κενοδοξίας, καὶ εἰς τὸν λογισμὸν τῆς γυναικὸς καὶ εἰς ὅλους τοὺς λογισμούς.

Ὅλοι οἱ λογισμοί, ποὺ συνακολουθοῦν τὸν ἐμπαθῆ λογισμόν, δὲν εἶναι ἐμπαθεῖς, ὅπως ἀπέδειξε προηγουμένως ὁ λόγος. Ὡς ἐκ τούτου λοιπὸν δυνάμεθα νὰ διακρίνωμεν ποῖα εἶναι τὰ ἁπλᾶ.

12. Ἐὰν θέλῃς νὰ νικήσῃς τοὺς λογισμούς σου, φρόντισε διὰ τὰ πάθη σου, ὁπόταν εὐκόλως θὰ τοὺς ἀποδιώξῃς ἀπὸ τὸν νοῦν σου. Συγκεκριμένως, ὅταν ἐνοχλῆσαι ἀπὸ λογισμοὺς πορνείας, νὰ νηστεύῃς, νὰ ἀγρυπνῇς, νὰ κοπιάζῃς, νὰ ἀποφεύγῃς ἐπιβλαβεῖς συναναστροφάς· διὰ νὰ ἀποκρούσῃς τὴν ὀργὴν καὶ τὴν λύπην, νὰ μὴ σὲ ἐνδιαφέρῃ οὔτε ἡ δόξα οὔτε ἡ ἀτιμία καὶ τὰ ὑλικὰ πράγματα· διὰ νὰ κατανικήσῃς τὴν μνησικακίαν, νὰ προσεύχεσαι μετὰ θερμότητος, χάριν ἐκείνου ποὺ σὲ ἐλύπησε, καὶ ἀσφαλῶς θὰ ἀπαλλαγῇς.

13. Εἶναι μεγάλο κέρδος τὸ νὰ μὴ πάσχῃς ἀπὸ τὰ πράγματα, μεγαλύτερον ὅμως καὶ ἀπὸ αὐτὸ εἶναι νὰ παραμείνῃς ἀπαθὴς ἀπὸ τὰ διανοήματα, ποὺ ἐνυπάρχουν μέσα εἰς τὰ πράγματα.

14. Ὁλόκληρος ὁ πόλεμος τοῦ Μοναχοῦ πρὸς τοὺς δαίμονας πρέπει νὰ ἔχῃ ὡς σκοπὸν νὰ χωρίσῃ οὗτος τὰ πάθη ἀπὸ τὰ νοήματα· διότι κατ' ἄλλον τρόπον δὲν θὰ ἠμπορέσῃ νὰ βλέπῃ ἀπαθῶς τὰ πράγματα. Αἱ ἔννοιαι πρᾶγμα, νόημα καὶ πάθος εἶναι τελείως διαφορετικαὶ μεταξύ των· ἄλλο πρᾶγμα, ἄλλο νόημα καὶ ἄλλο πάθος. Καὶ πρᾶγμα μὲν εἶναι αὐτὸ τοῦτο τὸ ἀντικείμενον, ὅπως π.χ., ἄνδρας, γυναίκα,

χρυσάφι κ.λ.π.· νόημα εἶναι ἡ καθαρὰ σκέψις, ἡ ἀπηλλαγμένη πάσης ὑλικῆς βαρύτητος ἔννοια, ἑνὸς τῶν προειρημένων ἀντικειμένων· πάθος δὲ τέλος, εἶναι ἕνας ἐμπαθὴς λογισμός, ἀνάμεικτος ἀπὸ τὴν καθαρὰν ἔννοιαν καὶ ἐμπαθῆ σκέψιν. Ἂν χωρίσωμεν λοιπὸν τὸ πάθος ἀπὸ τὸ νόημα, παραμένει μία καθαρὰ σκέψις, μία ἀχρωμάτιστος ἠθικὴ ἔννοια. Ἐὰν δὲ θελήσωμεν, θὰ ἐπιτύχωμεν τὸν σωτήριον αὐτὸν χωρισμὸν διὰ τῆς πνευματικῆς ἀγάπης καὶ ἐγκρατείας.

15. Αἱ ἀρεταὶ ἀποχωρίζουν τὸν νοῦν ἀπὸ τὰ πάθη· ἡ δὲ καθαρὰ καὶ ἀπηλλαγμένη περισπασμῶν προσευχὴ ἐμφανίζει τὸν νοῦν ἐνώπιον τοῦ Θεοῦ. Ἐὰν κατορθώσωμεν ἐπὶ πολὺν χρόνον καὶ ἐνδιατρίβωμεν πλησίον τοῦ Θεοῦ, καὶ φροντίζωμεν διὰ τὸ παθητικὸν μέρος τῆς ψυχῆς, ποτὲ πλέον δὲν θὰ παρασυρθῶμεν ἀπὸ τὰς προσβολὰς τῶν λογισμῶν, ὅπως τὸ πλοῖον ποὺ ἐξώκειλεν εἰς τοὺς βράχους, ἀλλὰ θὰ καταστῶμεν προσεκτικώτεροι καὶ διορατικώτεροι καὶ ἀντιλαμβανόμενοι τὰς αἰτίας τῶν προσβολῶν αὐτῶν θὰ ἀποκόπτωμεν αὐτὰς μετὰ μεγαλυτέρας ἀκριβείας. Τότε, εἰς τὴν περίπτωσιν αὐτήν, θὰ ἔχῃ ἐφαρμογὴν τὸ ῥητὸν τοῦ Προφητάνακτος Δαβίδ· «Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου» (Ψαλμ. ϟα' 12). Δηλαδή: «Καὶ εἶδε καλὰ ὁ ὀφθαλμός μου εἰς τοὺς ἐχθρούς μου καὶ τὸ αὐτί μου θὰ διακρίνῃ εὐκρινῶς τοὺς πονηρούς, ποὺ συνωμοτοῦν ἐναντίον μου».

16. Ὅταν βλέπῃς, ὅτι ὁ νοῦς σου περιτριγυρίζει εὐσεβῶς καὶ δικαίως εἰς τὰ νοήματα τοῦ κόσμου, χωρὶς νὰ ἐνοχλῆσαι ἀπὸ αὐτά, νὰ γνωρίζῃς τότε ὅτι καὶ τὸ σῶμα σου παραμένει καθαρὸν καὶ ἀναμάρτητον· ὅταν, ἀντιθέτως, βλέπῃς τὸν νοῦν σου νὰ ἀσχολῆται, κατὰ διάνοιαν, εἰς ἁμαρτίας καὶ δὲν τὸν ἀποτρέπῃς, νὰ γνωρίζῃς, ὅτι καὶ τὸ σῶμα σου εἰς τὰς ἰδίας αὐτὰς ἁμαρτίας θὰ περιπέσῃ.

17. Ὅπως ἀκριβῶς τὸ σῶμα ἔχει τὸν κόσμον, μέσα εἰς τὸν ὁποῖον κινεῖται, οὕτω πως ἔχει καὶ ὁ νοῦς τὸν ἰδικόν του κόσμον· τὸν ὑλικὸν κόσμον τοῦ σώματος ἀποτελοῦν τὰ πράγματα, ἐνῷ τὸν κόσμον τοῦ νοῦ ἀποτελοῦν τὰ νοήματα.

18. Κατὰ τὴν ἀναλογίαν αὐτήν, ὅπως τὸ ὑλικὸν σῶμα τοῦ ἀνδρὸς πορνεύῃ μὲ τὸ ὑλικὸν σῶμα τῆς γυναικός, τοιουτοτρόπως καὶ ὁ νοῦς πορνεύει μὲ τὸ νόημα «γυναῖκα», τῆς ὁποίας τὸ σῶμα πλάθει ἡ φαντασία εἰς τὰ βάθη τοῦ νοῦ. Βλέπει τότε κατὰ διάνοιαν ὁ ἄνθρωπος νὰ συμπλέκεται πορνικῶς μετὰ γυναικείας μορφῆς.

19. Κατὰ παρόμοιον τρόπον, κατὰ διάνοιαν, διὰ τῆς «μορφῆς» τοῦ σώματός του, ἀντιμετωπίζει τὴν μορφὴν τοῦ λυπήσαντος· καὶ εἰς ὅλα τὰ κατὰ διάνοιαν ἁμαρτήματα τὸ ἴδιον συμβαίνει, μὲ ὅσα ἐνεργεῖ ἐμπράκτως τὸ σῶμα ἡμῶν εἰς τὴν περιοχὴν τοῦ ὑλικοῦ κόσμου.

20. Ἄλλοι ἐκ τῶν ἀγωνιζομένων ἀποκρούουν μόνον τοὺς ἐμπαθεῖς λογισμούς· ἄλλοι πάλιν περικόπτουν καὶ τὰ ἴδια πάθη. Καὶ ἀποκρούει κανεὶς τοὺς λογισμοὺς ἢ διὰ ψαλμῳδίας, ἢ διὰ προσευχῆς, ἢ διὰ

προσηλώσεως τοῦ νοῦ του εἰς ὑψηλὴν πνευματικὴν παράστασιν· ἐκριζώνει δὲ τὰ πάθη ἀπὸ τὴν ψυχήν του, ὅταν περιφρονῇ τὰ πράγματα ἐκεῖνα, ἡ πρὸς τὰ ὁποῖα σχέσις διεγείρει ἐν αὐτῷ τὰ πάθη.

Η'. Τοῦ Ἁγίου Βαρσανουφίου.

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· ἐὰν προσβάλλῃ μοι ἐμπαθὴς λογισμός, διὰ τίνος ὀφείλω αὐτὸν ἀποκρούεσθαι; Διὰ τοῦ ἀντιλέξαι, ἢ διὰ τοῦ ἐπιτιμῆσαι καὶ ὥσπερ ὀργισθῆναι αὐτῷ; Ἢ διὰ τοῦ προσδραμεῖν τῷ Θεῷ καὶ ῥίψαι τὴν ἀδυναμίαν μου ἐνώπιον Αὐτοῦ;

2. Ἀπεκρίθη ὁ Γέρων· Ἀδελφέ, τὰ πάθη, θλίψεις εἰσίν, οὐκ ἀφώρισε δὲ ὁ Κύριος, ἀλλ' εἶπεν· ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με. Οὐκ ἔστιν οὖν ἄλλως παντὸς πάθους περιγενέσθαι, εἰμὴ διὰ τοῦ ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ· τὸ δὲ ἀντιλέξαι, οὐκ ἔστι παντὸς ἀνθρώπου, ἀλλὰ τῶν δυνατῶν κατὰ Θεόν, οἷς ὑποτάσσονται οἱ δαίμονες.

3. Ἐὰν γάρ τις τῶν μὴ δυναμένων ἀντιλέξῃ, ἐκμυκτηρίζουσιν αὐτὸν οἱ δαίμονες, ὡς ὄντα ὑπ' αὐτοὺς καὶ ἀντιλέγοντα αὐτοῖς ὁμοίως καὶ τὸ ἐπιτιμῆσαι τῶν μεγάλων ἐστὶ καὶ ἐχόντων ἐξουσίαν.

4. Τίνα δὲ εἰς τοὺς Ἁγίους εὑρίσκεις, κατὰ τὸν Ἅγιον Μιχαήλ, ἐπιτιμήσαντα τὸν διάβολον, καὶ τοῦτο, ὅτι εἶχε τὴν ἐξουσίαν; Ἡμῶν οὖν τῶν ἀσθενῶν οὐκ ἔστι ἄλλο εἰμὴ τὸ φυγεῖν διὰ προσευχῆς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ· οἱ δαίμονες γάρ εἰσι τὰ πάθη, κατὰ τὴν Γραφήν, καὶ τῷ ὀνόματι Αὐτοῦ ἐξέρχονται ἀφ' ἡμῶν.

5. Ἠρώτησε πάλιν ὁ ἀδελφός· Πάτερ, πόθεν τὸ πρωῒ αἰσθάνομαι λογισμῶν; πῶς δὲ καὶ δύναται δαίμων πρόσωπον γυναικὸς ἢ ἄλλου τινὸς ζωγραφῆσαι ἐν τῇ καρδίᾳ μου, ἅμα τῷ λογισμῷ, καὶ τὸ πρόσωπον παριστάς, καὶ οὐ διῃρημένως; Καὶ τί ποιήσω ἵνα ἐλευθερωθῶ;

6. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· Ἀδελφέ, ὅταν ἀργῇ τις, σχολάζει τοῖς ἐρχομένοις πρὸς αὐτὸν λογισμοῖς· εἰ δὲ ἐργάζεται, οὐ σχολάζει δέξασθαι αὐτούς. Ὄρθρισον οὖν καὶ κράτει τὸ μυλάριον καὶ ἀλήθεις τὸν σῖτόν σου εἰς ἄρτου τροφήν, ἐὰν προσβάλῃ δὲ ζιζάνια ὁ ἀντίδικός σου, ἀντὶ σίτου ταῦτα ἀλήθεις.

7. Περὶ δὲ τῶν ζωγραφουμένων προσώπων, ἀδελφέ, τὰ ζωγραφούμενα πρόσωπα ὑπὸ τῶν ζωγράφων ἐν ταῖς σανίσι σὺν τοῖς βάμμασιν ἐγγίνονται· ἐὰν δὲ προγραφῇ τὸ σανίδιον, οὐκέτι δέχεται πρόσωπον ἐπιτελούμενον εἰς ἕν, οὐδὲ βάμματα· τὸ δὲ ἐλευθερωθῆναι ἐστί, τὸ προγράψαι σου τὸ σανίδιον.

8. Πυκτεύσωμεν οὖν τοῦ ποιῆσαι τὴν δύναμιν ἡμῶν, καὶ συναντιλαμβάνεται ἡμῖν ὁ Θεός. Ὅταν οὖν προσβάλλωσιν οἱ λογισμοί, φεῦγε γοργῶς πρὸς τὸν Ἰησοῦν, καὶ ἀναπαύῃ.

9. Ἔφη ὁ ἀδελφός· τί δὲ ποιήσω περὶ τῶν μνημῶν ὧν ἔπραξα, ἢ ἐλάλησα, ἢ ἤκουσα, ὅτι ὀχλοῦμαι ὑπ' αὐτῶν; εἰπὲ δέ μοι καὶ πῶς τις τηρεῖ τὴν καρδίαν ἑαυτοῦ; καὶ ποίῳ τρόπῳ γίνεται ὁ πόλεμος ὑπὸ τοῦ ἐχθροῦ; καὶ εἰ ὀφείλει τις ἀντιλέξαι πρὸς τὸν πολεμοῦντα;

10. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· τὰς μνήμας οὐδὲν ἄλλο κόπτει, εἰμὴ προσευχὴ μετὰ ταπεινώσεως, καὶ κόπου, καὶ δακρύων ἡ μὴ ἔχουσα θέλημα· τὸ δὲ τηρῆσαι τὴν καρδίαν ἐστί, τὸ ἔχειν νηφάλιον τὸν νοῦν καὶ καθαρὸν τοῦ πολεμουμένου, ἤτοι ἀπρόσδεκτον. Ὅταν δέ τις καταφρονήσῃ, βλέπει ὁ ἐχθρὸς τὴν καταφρόνησιν, καὶ σπουδάζει εἰσενεγκεῖν τὸν πόλεμον.

11. Σὺ δὲ εἰ μαθεῖν θέλεις, εἰ ἐχθρός ἐστιν, ἢ φίλος, βάλε εὐχὴν καὶ ἐρώτησον αὐτόν· ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; καὶ ἀποκρίνεταί σοι τὴν ἀλήθειαν. Ἡ οὖν προσφδία γίνεται ἀπὸ ἀμελείας, μὴ ἀντείπῃς δέ, τοῦτο γὰρ θέλουσι καὶ οὐ

παύσονται, ἀλλὰ πρόσελθε τῷ Θεῷ κατ' αὐτῶν, ῥίπτων τὴν ἀδυναμίαν σου ἐνώπιον Αὐτοῦ, καὶ Αὐτὸς δύναται οὐ μόνον ἀποστῆσαι, ἀλλὰ καὶ καταργῆσαι αὐτούς.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕναν Γέροντα:

—Ἐὰν μὲ προσβάλλῃ ἐμπαθὴς λογισμός, διὰ τίνος τρόπου πρέπει νὰ τὸν ἀποκρούσω; Νὰ καταρρίψω τὴν σύστασιν τοῦ λογισμοῦ μὲ λογικὴν ἀντίρρησιν; ἢ νὰ τὸν ἐπιτιμήσω ὡς νὰ ἔχω ὀργισθῆ ἐναντίον τοῦ λογισμοῦ; ἢ νὰ προστρέξω ἀμέσως εἰς τὸν Θεὸν καὶ νὰ ρίψω ἐνώπιόν Του τὴν ἀδυναμίαν μου;

2. Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπεκρίθη:

—Ἀδελφέ μου, τὰ πάθη εἶναι θλίψεις· ὁ Κύριος δὲν ἐξεχώρισε τὰ πάθη ἀπὸ τὰς θλίψεις, ἀλλὰ διὰ τοῦ Προφητάνακτος Δαβὶδ συνέστησε γενικῶς· «Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με» (Ψαλμ. μθ' 15), δηλαδὴ «νὰ μὲ ἀναζητήσῃς κατὰ τὴν ἡμέραν, ποὺ θὰ αἰσθάνεσαι θλῖψιν καὶ ἐγὼ θὰ σὲ λυτρώσω καὶ θὰ μὲ δοξάσῃς». Δὲν ὑπάρχει λοιπὸν ἄλλος ἀποτελεσματικώτερος τρόπος νὰ ταπεινώσωμεν τὰ διάφορα πάθη μας, ἀπὸ τὸ νὰ ἐπικαλεσθῶμεν τὸ ὄνομα τοῦ Θεοῦ. Ἡ λογικὴ καὶ συνετὴ ἀντίρρησις πρὸς τὴν ὑπόδειξιν τοῦ λογισμοῦ, δὲν εἶναι ἴδιον τοῦ κάθε ἀνθρώπου, ἀλλὰ μόνον τῶν κατὰ Θεὸν δυνατῶν, εἰς τοὺς ὁποίους ὑποτάσσονται καὶ αὐτοὶ οἱ δαίμονες.

3. Διότι ἐὰν ἐπιχειρήσῃ κανεὶς ἀπὸ αὐτούς, ποὺ δὲν ἔχουν τὴν κατὰ Θεὸν δύναμιν, νὰ διατυπώσῃ ἀντίρρησιν, τὸν κοροϊδεύουν οἱ δαίμονες, ὡς ἐπιχειροῦντα νὰ ἀντιμιλήσῃ εἰς αὐτούς, ἐνῷ εἶναι ὑπὸ τὴν ἐξουσίαν των. Ὁμοίως καὶ τὸ νὰ ἐπιτιμήσῃ κανεὶς τὸν διάβολον εἶναι ἴδιον τῶν μεγάλων κατὰ τὴν ἀρετήν, οἱ ὁποῖοι ἔχουν πνευματικὴν δύναμιν καὶ ἐξουσίαν.

4. Ποῖον δὲ εὑρίσκεις μεταξὺ τῶν Ἁγίων νὰ ἐπιτιμήσῃ τὸν διάβολον, ὅπως ὁ Ἀρχάγγελος Μιχαὴλ (1) καὶ νὰ προβῇ μάλιστα εἰς τοῦτο ὡς ἐξουσίαν ἔχων; Εἰς ἡμᾶς λοιπὸν τοὺς ἀσθενεῖς δὲν ὑπάρχει ἄλλο μέσον νὰ ἀποφύγωμεν τὴν προσβολὴν τοῦ λογισμοῦ, παρὰ μόνον νὰ καταφύγωμεν διὰ προσευχῆς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ. Διότι τὰ πάθη εἶναι οἱ δαίμονες, κατὰ τὴν Ἁγίαν Γραφήν, καὶ μόνον μὲ τὴν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ Ἰησοῦ ἐξέρχονται ἀπὸ μέσα μας (2).

---

1) Ὁ θεῖος Ἀπόστολος Ἰούδας ὡς ἑξῆς γράφει περὶ τούτου· «Ὁ δὲ Μιχαὴλ Ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· ἐπιτιμήσαι σοι Κύριος» (Ἰούδα, 9). Βλέπε περὶ τούτου καὶ ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» τόμ. ΙΑ', ἔκδ. α' σελ. 204, ἔκδ. β' σελ. 219.

ήματα τῶν αἰσθητῶν πραγμάτων, ψιλὰ ἀναλάβωσι· τοὺς δὲ γνωστικούς, ἵνα ἐγχρονίζωσι πρὸς αὐτοὺς οἱ πονηροὶ λογισμοί· τοὺς δὲ περὶ τὴν πρᾶξιν ἀγωνιζομένους, ἵνα πείσωσιν αὐτοὺς κατ' ἐνέργειαν ἁμαρτάνειν· παντὶ δὲ τρόπῳ πρὸς πάντας ἀγωνίζονται, ἵνα τοῦ Θεοῦ οἱ δείλαιοι τοὺς ἀνθρώπους χωρίσωσι.

12. Τὸν εὐχόμενον, οὐ δεῖ στῆναι ποτὲ τῆς ἐπὶ Θεὸν ἀγούσης ψιλῆς ἀναβάσεως· ὡς γὰρ ἀναβάσεις χρὴ ποιεῖσθαι κατὰ τὴν ἐκ δυνάμεως εἰς δύναμιν ἐν τῇ πρακτικῇ τῶν ἀρετῶν προκοπῇ, καὶ τὴν ἀπὸ δόξης εἰς δόξαν τῶν πνευματικῶν τῆς θεωρίας γνώσεων ἐπανάβασιν, καὶ τὴν ἀπὸ τοῦ ῥητοῦ τῆς θείας Γραφῆς ἐπὶ τὸ πνεῦμα μετάβασιν, οὕτω καὶ περὶ εὐχῶν τόπῳ γινομένους χρὴ ποιεῖν.

13. Ἐπαίρειν τὸν νοῦν ἀπὸ τῶν ἀνθρωπίνων, καὶ τὸ φρόνημα τῆς ψυχῆς ἐπὶ τὰ θειότερα, ἵνα δυνηθῇ ὁ νοῦς ἀκολουθῆσαι τῷ διεληλυθότι τοὺς οὐρανοὺς Ἰησοῦ τῷ Υἱῷ τοῦ Θεοῦ, πανταχοῦ ὄντι καὶ πάντα διερχομένῳ δι' ἡμᾶς οἰκονομικῶς, ἵνα καὶ ἡμεῖς ἀκολουθοῦντες Αὐτῷ, πάντα διέλθωμεν τὰ μετ' Αὐτόν, καὶ γενώμεθα πρὸς Αὐτόν, ἐάν γε νοῶμεν Αὐτόν, οὐ κατὰ τὴν σμικρότητα τῆς οἰκονομικῆς συγκαταβάσεως, ἀλλὰ κατὰ τὴν μεγαλειότητα τῆς φυσικῆς ἀριστείας.

14. Ἔλεγέ τις τῶν Γερόντων, ὅτι τὸ συνεχῶς προσεύχεσθαι, ταχὺ φέρει εἰς κατόρθωσιν τὸν νοῦν.

15. Εἶπεν ὁ αὐτός· ὥσπερ ἀδύνατόν τινα θεωρῆσαι τὸ πρόσωπον αὐτοῦ ἐν τεθολωμένῳ ὕδατι, οὕτω καὶ ἡ ψυχή, ἐὰν μὴ καθαρεύσῃ ἀπὸ λογισμῶν ἀλλοτρίων, θεωρητικῶς προσεύξασθαι οὐ δύναται.

Ἑρμηνεία

ΟΤΑΝ κανεὶς ἀγαπᾷ κάτι, εἰς αὐτὸ προσηλοῦται ἀπολύτως καὶ καταφρονεῖ ὅλα ὅσα τὸν ἐμποδίζουν νὰ τὸ ἀπολαύσῃ, ἀπὸ φόβον μὴ τυχὸν τὸ χάσῃ. Κατ' ἀναλογίαν καὶ ἐκεῖνος, ποὺ ἀγαπᾷ τὸν Θεόν, φροντίζει νὰ ἀσχολῆται ὁ νοῦς του εἰς τὴν καθαρὰν προσευχήν, διὰ τῆς ὁποίας συνομιλεῖ μὲ τὸν Θεόν, τὸ ἀντικείμενον τοῦ πνευματικοῦ του ἔρωτος, κάθε δὲ πάθος ποὺ τὸν ἐμποδίζει νὰ ἐπιτύχῃ τὴν νοερὰν αὐτὴν συνομιλίαν, διὰ τῆς καθαρᾶς προσευχῆς, τὸ ἀποβάλλει ἀπὸ τὴν ψυχήν του.

2. Αὐτὸς ποὺ ἀγαπᾷ γνησίως τὸν Θεόν, ὁπωσδήποτε θὰ προσευχηθῇ χωρὶς νὰ ἐμπλακῇ ἡ διάνοιά του εἰς κάποιον βιοτικὸν περισπασμόν· καὶ ἀντιθέτως αὐτὸς ποὺ ἀπερίσπαστα προσεύχεται εἰς τὸν Θεόν, ἀποδεικνύει, ὅτι ἀγαπᾷ εἰλικρινῶς καὶ γνησίως τὸν Θεόν. Αὐτὸς τοῦ ὁποίου ὁ νοῦς εἶναι προσηλωμένος εἰς ἐπίγειον πρᾶγμα ἢ βιοτικὴν μέριμναν, δὲν ἠμπορεῖ νὰ ἀφιερωθῇ εἰς ἀπερίσπαστον εὐχὴν καὶ ἀδιατάρακτον προσευχήν.

3. Ὅταν ἐπὶ πολὺ χρονικὸν διάστημα ὁ νοῦς τοῦ ἀνθρώπου προσηλωθῇ εἰς κάτι αἰσθητόν, ὁπωσδήποτε εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου αὐτοῦ ὑπάρχει πάθος δι' αὐτὸ τὸ αἰσθητὸν πρᾶγμα· ἢ δηλαδὴ τὸ ἐπιθυμεῖ, ἢ ἐξ αἰτίας του λυπεῖται, ἢ ὀργίζεται, ἢ τοῦ γίνεται ἀφορμὴ νὰ μνησικακῇ. Ἐν τοιαύτῃ περιπτώσει δὲν δύναται νὰ ἐλευθερωθῇ ἀπὸ τὸ πάθος αὐτό, ἐφ' ὅσον δὲν καταφρονήσῃ τὴν αἰτίαν τοῦ πά-

θους, δὲν ἀπομακρυνθῆ, δηλαδή, ἀπὸ τὸ αἰσθητὸν ἐκεῖνο πρᾶγμα ἐπὶ τοῦ ὁποίου προσηλώθη ὁ νοῦς.

4. Ἔργον τῶν ἐντολῶν εἶναι νὰ ἀπογυμνώνῃ τὰ διάφορα πράγματα ἀπὸ τὸ βάρος τῶν ἐμπαθῶν νοημάτων (δηλαδὴ νὰ ἀφαιρῇ ἀπὸ τὰ διάφορα πράγματα τὴν ἱκανότητα νὰ ἐμπνέουν πάθη, ὅπως, παραδείγματος χάριν, ἀπὸ τὸ χρῆμα τὴν πλεονεξίαν, ἀπὸ τὸ φαγητὸν τὴν λαιμαργίαν, ἀπὸ τὰ εὐειδῆ πρόσωπα τὸν ἁμαρτωλὸν ἔρωτα)· τῆς ψυχωφελοῦς ὅμως ἀναγνώσεως καὶ τῆς νοερᾶς ἐποπτείας θείων εἰκόνων, ἔργον εἶναι νὰ ἀπαλλάξουν τὸν νοῦν ἀπὸ τὴν αἰχμαλωσίαν τῆς ὕλης καὶ νὰ τὸν καταστήσουν τοιουτοτρόπως ἄϋλον· οὕτω δὲ ἐπιτυγχάνεται ἡ ἀπερίσπαστος πρὸς τὸν Θεὸν καθαρὰ προσευχή.

5. Δὲν εἶναι ἀρκετὴ ἡ πρακτικὴ μέθοδος· διὰ νὰ ἐλευθερωθῇ κανεὶς τελείως ἀπὸ τὰ πάθη, ὥστε ὁ νοῦς του νὰ ἠμπορέσῃ νὰ προσευχηθῇ ἀπερίσπαστος, εἶναι ἀπαραίτητον νὰ διέρχωνται διαδοχικῶς ἐξ αὐτοῦ καὶ διάφοροι πνευματικαὶ θεωρίαι (δηλαδὴ νοεραὶ εἰκόνες θείων καταστάσεων). Καὶ τοῦτο διότι ἡ πρακτικὴ μέθοδος (δηλαδὴ ὁ κατὰ τῶν παθῶν ἀγὼν) ἐλευθερώνει τὸν νοῦν ἀπὸ τὴν ἀκρασίαν (1) καὶ τὸ μῖσος, ἐνῷ αἱ πνευματικαὶ θεωρίαι τὸν ἀπαλλάσσουν ἀπὸ τὴν λησμοσύνην καὶ τὴν ἄγνοιαν. Τοιουτοτρόπως δὲ θὰ ἠμπορέσῃ νὰ προσευχηθῇ ὅπως πρέπει (2).

6. Τῆς καθαρᾶς προσευχῆς δύο εἶναι αἱ τελειόταται καταστάσεις· ἡ μὲν μία ἐπισυμβαίνει εἰς τοὺς πρακτικούς, ἡ δὲ ἄλλη εἰς τοὺς θεωρητικούς. Καὶ ἡ μὲν μία, ἡ πρώτη, διαμορφοῦται εἰς τὴν ψυχὴν ἀπὸ τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν ἀγαθὴν ἐλπίδα, ἡ δὲ ἄλλη, ἡ δευτέρα, ἀπὸ τὸν θεῖον ἔρωτα καὶ τὴν ἀκροτάτην κάθαρσιν τοῦ νοῦ.

7. Χαρακτηριστικὰ γνωρίσματα τῆς πρώτης καταστάσεως εἶναι ἡ ἀπομάκρυνσις τοῦ νοῦ ἀπὸ ὅλας τὰς κοσμικὰς σκέψεις καὶ τὰ νοήματα καὶ ἡ αὐτοσυγκέντρωσις, ὥστε νὰ γίνωνται αἱ προσευχαὶ ἀπερίσπαστοι καὶ ἀνενόχλητοι, ὡς νὰ παρευρίσκεται ἐνώπιον τοῦ Θεοῦ, ὅπως καὶ πράγματι παρευρίσκεται.

8. Τῆς δὲ δευτέρας καταστάσεως γνώρισμα εἶναι τὸ νὰ ἀναρπαγῇ ὁ νοῦς, ἀπ' αὐτὴν ταύτην τὴν ὁρμὴν τῆς προσευχῆς, καὶ νὰ ἀπορροφηθῇ ὑπὸ τοῦ θείου καὶ ἀπείρου φωτός, ὥστε νὰ μὴ ἀντιλαμβάνεται πλέον οὔτε τὸν ἑαυτόν του, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ περιβάλλοντα πράγματα, παρὰ μόνον Ἐκεῖνον, πού, διὰ τῆς ἁγίας ἀγάπης, ἐνεργεῖ εἰς τὸν ψυχικόν του κόσμον τὴν τοιαύτην ἔλλαμψιν. Τότε δὲ ὁ νοῦς κινούμενος πλησίον τῶν περὶ Θεοῦ ἐκφραστικῶν παραστάσεων λαμβάνει,

---

1) Κατάστασις ἀνεξελέγκτου κινήσεως παθῶν.

2) Τὸ ἔργον τῆς ἐσωτερικῆς καθάρσεως, κατὰ τὸν Ἅγιον Μάξιμον, εἶναι ἀρνητικὸν καὶ θετικόν· ἤτοι ἀποτοξίνωσις ἀπὸ τὰ πάθη, ἀλλὰ καὶ ἐξυγίανσις μὲ τὴν μνήμην τοῦ Θεοῦ καὶ τὴν μυστικὴν γνῶσιν. Πρόκειται περὶ τῶν δύο μορφῶν τοῦ πνευματικοῦ βίου, τῆς πράξεως καὶ τῆς θεωρίας.

ἐκ τῆς νοερᾶς αὐτῆς ἐνεργείας, καθαρὰς καὶ τρανὰς τὰς περὶ Αὐτοῦ ἀκτινοβόλους ἀνταυγείας (1).

9. Δυνατὸς εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, ποὺ κατώρθωσε νὰ συνδυάσῃ ἁρμονικῶς τὴν γνῶσιν μὲ τὴν πρᾶξιν· διότι διὰ μὲν τῆς πράξεως μαραίνει πᾶσαν κακὴν ἐπιθυμίαν καὶ ἡμερώνει τὸν θυμόν, διὰ δὲ τῆς γνώσεως δίδει πτερὰ εἰς τὸν νοῦν καὶ οὗτος ἀναβαίνει πρὸς τὸν Θεόν.

10. Ὅπως τὸ σῶμα, ὅταν ἀποθνήσκῃ, ἀποχωρίζεται ἀπὸ ὅλα τὰ πράγματα τοῦ κόσμου, οὕτω καὶ ὁ νοῦς ἀποθνήσκων, κατὰ τὴν περίοδον τῆς τελειοτάτης καθαρᾶς προσευχῆς, ἀποχωρίζεται ἀπὸ ὅλας τὰς σκέψεις καὶ τὰ νοήματα τοῦ κόσμου· διότι ἐὰν δὲν ἀποθάνῃ ἑκουσίως τὸν τοιοῦτον πνευματικὸν θάνατον, δηλαδὴ τὸν ἀποχωρισμὸν ἀπὸ τὰς σκέψεις καὶ τὰ νοήματα τοῦ κόσμου, εἶναι ἀδύνατον νὰ εὑρεθῇ μαζὶ μὲ τὸν Θεὸν καὶ νὰ ζήσῃ κοντά Του.

11. Οἱ δαίμονες πολεμοῦν αὐτοὺς ποὺ προσεύχονται κατὰ τρόπον τελειότατον, μήπως κατορθώσουν νὰ τοὺς κάμουν νὰ ἐπαναφέρουν εἰς τὴν διάνοιάν των, ἔστω καὶ δι' ὀλίγον, τὰς σκέψεις καὶ τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων. Τοὺς ἐπιθυμοῦντας τὴν γνῶσιν τοὺς πολεμοῦν οἱ δαίμονες, διὰ νὰ χρονίζουν εἰς τὴν διάνοιάν των οἱ πονηροὶ λογισμοί· τέλος πολεμοῦν καὶ αὐτοὺς ποὺ ἀγωνίζονται διὰ νὰ ἐπιτύχουν εἰς τὸν πρακτικὸν βίον, διὰ νὰ τοὺς πείσουν νὰ ἁμαρτήσουν ἐμπράκτως. Γενικῶς δὲ οἱ φοβεροὶ καὶ ἀπαίσιοι δαίμονες παντοιοτρόπως ἀγωνίζονται διὰ νὰ χωρίσουν τοὺς ἀνθρώπους ἀπὸ τὸν Θεόν.

12. Ἐκεῖνος, ποὺ ἐπαναλαμβάνει σιωπηρῶς τὴν εὐχὴν «Κύριε ἡμῶν Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με», δὲν πρέπει ποτὲ νὰ ἐπιδιώξῃ κατ' εὐθεῖαν καὶ ἀμέσως τὴν πρὸς τὸν Θεὸν ὁδηγοῦσαν καθαρὰν νοερὰν ἀνάβασιν· διότι ὅπως ἀκριβῶς κατὰ τὸν πρακτικὸν βίον, ὁ ἀγωνιζόμενος διὰ τὴν ἐφαρμογὴν τῶν ἀρετῶν, πρέπει νὰ ἐπιχειρῇ ἐξελικτικῶς τὰς ἀναβάσεις, ἀρχόμενος ἀπὸ τὰ εὐκολώτερα πρὸς τὰ δυσκολώτερα κατορθώματα, καί, κατὰ τὴν θεωρίαν, ἀπὸ τὴν ἁπλουστέραν δόξαν εἰς τὴν μεγαλοπρεπεστέραν τῶν πνευματικῶν γνώσεων πρέπει νὰ πραγματοποιεῖται ἡ ἀνυψοῦσα ἀνάβασις, καὶ κατὰ τὴν ἀνάγνωσιν τῆς Ἁγίας Γραφῆς πρέπει ἀπὸ τὴν λεκτικὴν σημασίαν τοῦ ῥητοῦ νὰ μεταβαίνῃ ὁ ἀναγνώστης εἰς τὸ πνεῦμα τοῦ ῥητοῦ, τοιουτοτρόπως πρέπει νὰ κάμωμεν καὶ ὅταν εὑρισκώμεθα εἰς τὸν τόπον τῆς προσευχῆς.

13. Πρέπει δηλαδή, κατ' ἀρχήν, νὰ ἀνυψώνωμεν τὸν νοῦν ὑπε-

---

1) Κατὰ τὴν θαυμασίαν αὐτὴν ἄποψιν τοῦ Ἁγίου Μαξίμου, ὁ νοῦς τελεῖ εἰς μίαν ὑπερλογικὴν κατάστασιν, καθ' ἣν δὲν κινεῖται πλέον μέσα εἰς τὴν ἀσφυκτικὴν περιοχὴν τῶν συμβόλων καὶ τῶν σχημάτων, ἀλλ' εὑρίσκεται ἐπὶ τῆς κορυφῆς ἑνὸς μυστικοῦ Θαβώρ, ὅπου αἱ περὶ Θεοῦ ἔννοιαι καὶ ὀνόματα γίνονται πλέον ἀφετηρίαι μιᾶς ἀλλοιώσεως καὶ μεταμορφώσεως, πληρούσης τὴν διάνοιαν μὲ τὴν ἀπαστράπτουσαν ἀνταύγειαν τῆς θεϊκῆς παρουσίας.

Εἰς τὴν περίπτωσιν αὐτὴν αἱ ἔννοιαι καὶ τὰ ὀνόματα εἶναι ἀναγωγικὰ μέσα, καὶ ὄχι γραμματικοὶ τύποι ἢ φιλοσοφικὰ σχήματα.

ράνω τῶν ἀνθρωπίνων καὶ τὸ φρόνημα τῆς ψυχῆς νὰ ἀνέρχεται σιγὰ —σιγὰ πρὸς τὰ θειότερα, διὰ νὰ ἠμπορέσῃ ὁ νοῦς νὰ ἀκολουθήσῃ Αὐτὸν ποὺ ἔχει περάσει τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, ὁ ὁποῖος εὑρίσκεται παντοῦ καὶ ὅλα τὰ ὑποφέρει, κατ' οἰκονομίαν πρὸς ἡμᾶς, διὰ νὰ Τὸν ἀκολουθῶμεν καὶ ἡμεῖς καὶ περάσωμεν ὅλα ὅσα καὶ Ἐκεῖνος ἐπέρασε καὶ φθάσωμεν κοντά Του, ἐφ' ὅσον βεβαίως τὸν ἐννοῶμεν, ὄχι κατὰ τὸ ταπεινὸν σχῆμα τῆς οἰκονομικῆς συγκαταβάσεως, ἀλλὰ κατὰ τὸ ἀπροσπέλαστον μεγαλεῖον τῆς φυσικῆς του ὑπερφυσικῆς πληρότητος καὶ ἀριστείας [1].

14. Ἕνας ἐκ τῶν Γερόντων Ἀσκητῶν ἔλεγε, ὅτι ἡ συνεχὴς προσευχὴ ὁδηγεῖ τὸν νοῦν εἰς τὴν ταχεῖαν κατόρθωσιν τῆς τελειότητος.

15. Ὁ ἴδιος πάλιν Γέρων ἔλεγεν· «ὅπως ἀκριβῶς εἶναι ἀδύνατον νὰ ἴδῃ κανεὶς τὸ πρόσωπόν του εἰς ἐπιφάνειαν θολωμένου νεροῦ, τοιουτοτρόπως καὶ ἡ ψυχὴ εἶναι ἀδύνατον νὰ προσευχηθῇ θεωρητικῶς, ἐὰν δὲν καθαρθῇ ἀπὸ τοὺς ἐπιβλαβεῖς λογισμούς».



1) Καὶ ἡ προσευχὴ πρέπει νὰ διέλθῃ ἀπὸ ὡρισμένα στάδια ἀνυψώσεως τοῦ νοῦ. Τὰ στάδια αὐτὰ πρέπει νὰ παρουσιάζουν μίαν ἀναλογίαν πρὸς τὸν ἐπίγειον βίον τοῦ Σωτῆρος, τὸν ὁποῖον, ἐν τέλει, ὁ νοῦς τοῦ προσευχομένου πρέπει νὰ τὸν συλλάβῃ, κατὰ τὸ ὑπερφυσικόν του ἐξαστράπτον μεγαλεῖον καὶ οὐχὶ κατὰ τὸ ταπεινὸν ἱστορικὸν σχῆμα τῆς ἐπὶ γῆς παρουσίας του. Αὐτὴν τὴν ἐξελικτικὴν ἀνάβασιν ὑποσημαίνει καὶ ὁ Θεολόγος Ἰωάννης γράφων· «Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος» (Ἰωάν. α' 16).

ΥΠΟΘΕΣΙΣ Θ'.

Ὅτι ὁ τῇ προσευχῇ ἀεὶ τειχιζόμενος, ἀνάλωτός ἐστι τοῖς ἐχθροῖς, διὸ δεῖ ταύτης ἐπιμελεῖσθαι.

Ἐκεῖνος, ὁ ὁποῖος περιφρουρεῖται πάντοτε ἀπὸ τὴν προσευχήν, δὲν κυριεύεται ἀπὸ τοὺς νοητοὺς ἐχθρούς· δι' αὐτὸ πρέπει διαρκῶς νὰ φροντίζωμεν διὰ τὴν προσευχήν.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου.

ΤΟΙΣ συνελθοῦσιν ἀδελφοῖς ἔλεγεν ὁ Ἅγιος Παχώμιος, ὅτι πολλάκις ἀκούω τῶν πονηρῶν δαιμόνων ὀλολυζόντων καὶ βοώντων, ὁ δεῖνα ἔστη εἰς προσευχὴν ἐκτενῶς, καὶ μὴ φέροντες τὴν καῦσιν ἀνεχωρήσαμεν.

2. Τοιγαροῦν, ἀδελφοί, τηρήσατε ἑαυτοὺς πάντοτε, καὶ τειχίζεσθε τῷ ὀνόματι τοῦ Χριστοῦ· τῷ γὰρ θελήματι Αὐτοῦ ἐξακολουθούντων ἡμῶν, οἱ ἐχθροὶ πρὸς ἡμᾶς οὐκ ἰσχύουσι· τέφρα γάρ εἰσι καὶ καπνός, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὑπόστασις, ἀπὸ προσώπου τῶν φοβουμένων τὸν Κύριον.

3. Καὶ πάλιν ἔλεγε· τέκνα, ὅση ἐστὶν ἰσχὺς ἐν ὑμῖν, ἀγωνίσασθε ὑπὲρ τῆς σωτηρίας ὑμῶν πρὸ τοῦ ἐλθεῖν τὸν καιρόν, ἐν ᾧ μέλλομεν, εἴ γε ἀμελήσομεν, ἑαυτοὺς ταλανίζειν.

4. Φιλοσοφείτω οὖν καθ' ἑκάστην ἡ ψυχή, ἀδελφοί, πρὸς τὸ παχὺ τοῦτο σῶμα καὶ λεγέτω πρὸς ἕκαστον μέλος αὐτοῦ· «Ἕως εἰμὶ μετὰ σοῦ, ἱκετεύσωμεν προθύμως τὸν Κύριον ἡμῶν, πρὸς μὲν τὰς χεῖρας, ὅτι ἔσται ὥρα ἡνίκα παύσηται ὑμῶν τὰ σκιρτήματα, καὶ οὐκέτι πυγμὴ πρὸς θυμὸν ὑπουργήσει, οὐδὲ ἁπλωθήσεσθε πρὸς ἁρπαγὴν ἑτοιμαζόμεναι· πρὸς δὲ τοὺς πόδας, ἔστω καιρός, ὅτε οὐ δραμεῖσθε ἄδικα».

5. «Πρὶν οὖν ἡμᾶς ὁ θάνατος χωρίσῃ καὶ διαζεύξῃ, ἡ ἐκ τῆς ἁμαρτίας γενέσθω διάλυσις· ἀγωνισώμεθα, στῶμεν γενναίως, καὶ ἀόκνως προσκυνήσωμεν τῷ Δεσπότῃ, ἕως ἂν Αὐτὸς πάλιν παραγενόμενος, καὶ ἐπὶ τῷ προσκαίρῳ πόνῳ ἀποδεξάμενος ἡμᾶς, εἰς τὴν ἀθάνατον παραπέμψῃ ζωήν».

6 «Δεῖξόν σου τὴν αἴσθησιν ἐκ τῶν δακρύων, γνώρισον τῷ Δεσπότῃ τὴν εὐγενῆ σου δουλείαν, βάστασόν με προθύμως τῷ Θεῷ ἐξομολογουμένην, καὶ μὴ βουλόμενος ὑπνοῦν καὶ ἀναπαύεσθαι, εἰς τὴν αἰώνιον κόλασιν ἀγάγῃς με».

7. «Ἔσται γάρ σοι νήφοντι καιρός, ὅτε ἡ τῶν ἀγαθῶν ἀνταπόδοσις διαψιλὴς ἥξει, ἢ πάλιν κρίσις καὶ κόλασις· εἰ νῦν ῥαθυμήσωμεν, καὶ τότε ὀδυρομένη λέξω πρὸς σέ, οἴμοι ὅτι συνεδέθην σοι, καὶ σοῦ ἕνεκεν ἐγὼ κατάδικος γίνομαι».

8. Εἰ οὖν οὕτως, ἀδελφοί, καθ' ἑκάστην ἑαυτοὺς διεγείρομεν, ἀληθῶς ναὸς τοῦ Θεοῦ ὑπάρξομεν, καὶ ἐνοικήσει ἐν ἡμῖν τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ οὐδεμία σατανικὴ μεθοδία δυνήσεται ἡμᾶς ἀπατῆσαι.

9. Μυρίων γὰρ παιδαγωγῶν καὶ διδασκάλων ὁ τοῦ Θεοῦ φόβος ὑπάρχει κρείττων, καὶ ὅσα ὁ ἀνθρώπινος νοῦς καταλαβεῖν οὐκ ἰσχύει, ταῦτα τὸ Πανάγιον καὶ Σεβάσμιον καὶ Θεῖον τῆς Ἀχράντου Φύσεως Πνεῦμα ὑποδείκνυσι· τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ, κατὰ τὸν Ἀπόστολον, οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Παχώμιος ἔλεγε πρὸς τοὺς συγκεντρωθέντας ἀδελφούς: Ἀδελφοί μου, πολλὰς φορὰς ἀκούω τοὺς πονηροὺς δαίμονας νὰ θρηνοῦν καὶ νὰ κραυγάζουν ἀπαίσια, λέγοντες, ὅτι ὁ τάδε προσηυχήθη μὲ πνευματικὴν ἔντασιν καὶ θερμότητα, ἐπειδὴ δὲ ἀπὸ τὴν τοιαύτην προσευχήν του ἐκαιόμεθα, δι' αὐτὸ ἀνεχωρήσαμεν ἀπὸ πλησίον του.

2. Δι' αὐτὸ λοιπόν, ἀδελφοί μου, παραμείνατε πάντοτε ἄγρυπνοι διὰ τῆς προσευχῆς καὶ νὰ περιφρουρῆσθε μὲ τὸ ὄνομα τοῦ Χριστοῦ, διότι ἐφ' ὅσον θὰ ὑποτασσώμεθα εἰς τὸ θέλημά Του, οἱ ἐχθροὶ τῆς ψυχῆς μας θὰ εἶναι ἀνίσχυροι νὰ μᾶς βλάψουν. Κατὰ τὴν δύναμιν εἶναι στάκτη καὶ καπνὸς καὶ τίποτε δὲν δύνανται νὰ ἐπιτύχουν ἐναντίον ἐκείνων, ποὺ φοβοῦνται καὶ σέβονται τὸν Θεόν.

3. Ἄλλοτε πάλιν ἔλεγε· τέκνα μου, μὲ ὅλην τὴν δύναμίν σας νὰ ἀγωνίζεσθε διὰ τὴν σωτηρίαν σας, πρὶν ἔλθῃ ὁ καιρός, κατὰ τὸν ὁποῖον πρόκειται, ἐφ' ὅσον ἀμελήσωμεν, νὰ θρηνήσωμεν καὶ νὰ ἐλεεινολογήσωμεν τοὺς ἑαυτούς μας.

4. Καθ' ἑκάστην ἡμέραν, ἀδελφοί μου, ἂς φιλοσοφῇ ἡ ψυχή μας περὶ τοῦ φθαρτοῦ τούτου καὶ ὑλικοῦ σώματος καὶ ἂς λέγῃ πάντοτε πρὸς ἕκαστον μέλος αὐτοῦ: «Ἐφ' ὅσον εὑρίσκομαι μαζί σου, ἂς ἱκετεύσωμεν μὲ προθυμίαν τὸν Κύριόν μας· πρὸς τὰς χεῖρας μέν, ὅτι θὰ ἔλθῃ κάποτε ἡ ὥρα, ποὺ θὰ σταματήσουν τὰ σκιρτήματά σας· καὶ ἡ πυγμή σας δὲν θὰ ὑπηρετήσῃ πλέον τὸν θυμόν, οὔτε θὰ ἁπλωθῆτε διὰ νὰ ἁρπάξετε ξένα ἀγαθά· πρὸς δὲ τοὺς πόδας, ὅτι θὰ ἔλθῃ καιρός, κατὰ τὸν ὁποῖον δὲν θὰ ἠμπορῆτε πλέον νὰ τρέχετε εἰς τὸν ὀλισθηρὸν δρόμον τῆς ἀδικίας».

5. «Πρὶν λοιπὸν νὰ μᾶς χωρίσῃ ὁ θάνατος, ἂς πραγματοποιηθῇ ὁ χωρισμὸς ἀπὸ τὴν ἁμαρτίαν. Ἂς ἀγωνισθῶμεν δι' αὐτό, ἂς σταθῶμεν γενναίως, καὶ ἂς προσκυνήσωμεν τὸν Δεσπότην μας, μέχρις ὅτου εὑρεθῇ πάλιν πλησίον μας καί, ἐξ ἀφορμῆς τοῦ προσκαίρου πόνου, μᾶς ὑποδεχθῇ καὶ μᾶς ὁδηγήσῃ εἰς τὴν ἀθάνατον ζωήν».

6. «Δεῖξε, μὲ τὰ δάκρυα, ὅτι συναισθάνεσαι αὐτά, γνώρισε εἰς τὸν κοινόν μας Δεσπότην τὴν ἑκουσίαν σου δουλείαν, ἡ ὁποία σὲ καθιστᾷ εὐγενῆ καὶ ἔντιμον· βάσταξέ με πρόθυμα, διὰ νὰ ἐξομολογοῦμαι συνεχῶς εἰς τὸν Θεὸν καὶ μὴ μὲ ὁδηγήσῃς εἰς τὴν αἰώνιον κόλασιν ἀπὸ τὴν ἐπιθυμίαν σου νὰ κοιμᾶσαι καὶ νὰ ἀναπαύεσαι».

7. «Μὴ λησμονῇς, ὅτι ἐφ' ὅσον θὰ ἀγρυπνῇς καὶ θὰ φροντίζῃς

διὰ τὰ ἔργα τῆς ἀρετῆς, θὰ ἔλθῃ καιρὸς πλουσίας ἀπολαύσεως τῶν ἀγαθῶν· ἐνῷ, εἰς τὴν ἀντίθετον περίπτωσιν, θὰ ἔλθῃ πάλιν καιρὸς κρίσεως καὶ κολάσεως, ἐφ' ὅσον τώρα θὰ ἐπιδείξωμεν ὀκνηρίαν καὶ πνευματικὴν ἀδιαφορίαν· τότε θὰ σοῦ εἴπω μὲ θρήνους καὶ ἐγώ, ὦ σῶμα, ἀλλοίμονον, διότι συνεδέθην μαζί σου καὶ ἐξ αἰτίας σου καταδικάζομαι».

8. Ἐὰν λοιπόν, ἀδελφοί, μὲ τὸν τρόπον αὐτὸν ἐπιστρατεύωμεν τὴν προσοχήν μας καθ' ἑκάστην ἡμέραν καὶ ἀγωνιζώμεθα, ἀσφαλῶς θὰ ἀναδειχθῶμεν ναὸς τοῦ Θεοῦ καὶ θὰ κατοικήσῃ μέσα μας τὸ Ἅγιον Πνεῦμα. Εἰς τὴν περίπτωσιν αὐτὴν καμμία σατανικὴ μέθοδος δὲν θὰ δυνηθῇ νὰ μᾶς ἐξαπατήσῃ.

9. Ἀπὸ μυρίους παιδαγωγοὺς καὶ διδασκάλους ὁ σημαντικώτερος καὶ πλέον ἀποτελεσματικὸς διὰ τὸ ἔργον τοῦ ἀγαθοῦ εἶναι ὁ φόβος τοῦ Θεοῦ. Ὅσα δὲ ὁ ἀνθρώπινος νοῦς δὲν δύναται νὰ κατανοήσῃ, τὰ ἀποκαλύπτει τὸ Πανάγιον καὶ Θεῖον τῆς Ἀχράντου Φύσεως Πνεῦμα. Διότι συμφώνως μὲ τὴν ἀληθῆ γνώμην τοῦ Ἀποστόλου Παύλου, δὲν γνωρίζομεν πῶς πρέπει νὰ προσευχώμεθα· δι' αὐτὸ τὸ ἴδιον τὸ Ἅγιον Πνεῦμα κατὰ μυστηριώδη τρόπον ἐνεργεῖ ὑπὲρ ἡμῶν, ὄχι μὲ λόγους ἢ φράσεις, ἀλλὰ μὲ ἀλαλήτους ἀναστεναγμοὺς τῆς καρδίας (1).

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ.

ΤΟΥ κατὰ τῆς εὐσεβείας διωγμοῦ σφοδρὸν ἀναρριπισθέντος, καὶ πᾶσαν σχεδὸν διαλαβόντος τὴν οἰκουμένην, ὁ θαυμάσιος Γρηγόριος ἔρημόν τινα καταλαβὼν λοφιάν, ἐν ταύτῃ διῆγεν, ἔχων μεθ' ἑαυτοῦ τὸν ἐκ νεωκόρου κατ' ἀρχὰς προσαχθέντα τῇ πίστει, ἤδη τῇ Χάριτι τῆς διακονίας ὑπηρετούμενον.

2. Τῶν δὲ διωκόντων κατ' ἴχνος ἑπομένων ἐν πλήθει πολλῷ, μηνύσαντος αὐτοῖς τὸν τόπον τινὸς ἐν ᾧ κατεκρύπτετο, οἱ μὲν ἐν κύκλῳ τὴν ὑπώρειαν τῆς λοφιᾶς διαλαβόντες ἐφύλαττον, ὅπως ἂν μηδαμόθεν αὐτῷ γένοιτο διαφυγεῖν, εἴπερ εἰς τοῦτο τραπείη, οἱ δὲ προσβάντες τῷ ὄρει κατὰ πᾶν μέρος διερευνώμενοι, ἤδη καταφανεῖς γίνονται τῷ Μεγάλῳ, κατ' εὐθεῖαν πρὸς αὐτὸν ἀνατρέχοντες.

3. Ἐκεῖνος δὲ διακελευσάμενος τῷ μεθ' αὐτοῦ στεῤῥᾷ τε καὶ ἀδιστάκτῳ τῇ πεποιθήσει στῆναι πρὸς τὸν Θεόν, καὶ πιστεῦσαι τὴν σωτηρίαν, ὁμοίως αὐτῷ τὰς χεῖρας εἰς Θεὸν ἀνατείναντι, μηδὲ εἰ πλησίον γένωνται οἱ διώκοντες, ἐκκρουσθῆναι τῷ φόβῳ τὴν πίστιν.

4. Ὑπόδειγμα τῆς παραγγελίας ἑαυτὸν ἐποιεῖτο τῷ Διακόνῳ, βλέπειν τε πρὸς τὸν οὐρανὸν ἀμεταστρέπτῳ τῷ ὄμματι, καὶ τεταμέναις ταῖς χερσὶν ἐν ὀρθίῳ τῷ σχήματι. Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν.

5. Οἱ δὲ πρὸς αὐτοὺς ἀναδραμόντες πανταχῇ τὸν τόπον περισκεψάμενοι, καὶ πᾶσαν ἔνστασιν θάμνου, καὶ πᾶσαν πέτρας προσβολήν, καὶ πᾶσαν χαράδρας κοιλότητα μετὰ πάσης ἀκριβείας διερευνήσαντες, τὴν ὑπώρειαν πάλιν καταλαμβάνουσιν, ὑπολαβόντες, ὡς φόβῳ τῶν διερευνωμένων αὐτοὺς εἰς φυγὴν τραπέντας, τοῖς κάτω περιεστοιχισμένοις ὑπὸ χεῖρα γενέσθαι.

6. Ὡς οὖν οὐδὲν παρὰ τούτων εὑρέθη, καὶ παρ' ἐκείνοις οὐκ ἦν, ὁ τὸν

---

1) «Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις» (Ρωμ. η' 26).

τόπον τῆς τοῦ Μεγάλου διαγωγῆς κατασκεψάμενος σημείῳ ὑπέγραφεν, ἐν ᾧ διεβεβαιοῦντο οἱ ζητηταί, μηδένα ἑωρακέναι, πλὴν δύο μόνα δένδρα μικρὸν ἀπ' ἀλλήλων διεστηκότα.

7. Ἀνακεχωρηκότων δὲ τῶν ζητούντων, ὑπολειφθεὶς ὁ μηνυτής, καὶ καταλαβὼν ἐν προσευχῇ αὐτόν τε τὸν μέγαν καὶ τὸν σὺν αὐτῷ, καὶ γνοὺς τὴν θείαν φρουρὰν δι' ἧς ἐκεῖνοι δένδρα τοῖς διώκουσιν ἐνομίσθησαν, προσπίπτει τε αὐτῷ καὶ πιστεύει τῷ λόγῳ, καὶ ὁ πρὸ βραχέος διώκτης, εἷς τῶν φευγόντων ἐγένετο.

Ἑρμηνεία

ΟΤΑΝ ἠγέρθη καὶ πάλιν ὁ διωγμὸς ἐναντίον τῶν Χριστιανῶν καὶ ἐξηπλώθη εἰς ὅλον τὸν κόσμον, ὁ ἀξιοθαύμαστος Γρηγόριος κατέφυγεν εἰς μίαν ἔρημον λοφοσειρὰν καὶ ἐκρύπτετο εἰς αὐτὴν ἔχων μαζί του καὶ τὸν Διάκονόν του, τὸν ὁποῖον ἔκαμε Χριστιανόν, ἑλκύσας αὐτὸν ἀπὸ τῆς λατρείας τῶν εἰδώλων, τῶν ὁποίων ἦτο νεωκόρος (1), ἤδη δὲ ἐστολισμένον μὲ τὴν Χάριν τῆς Ἱεροδιακονίας.

2. Ἐν τῷ μεταξὺ κάποιος ἐπρόδωσε τὸ κρησφύγετον καὶ πολυπληθεῖς διῶκται εὑρίσκοντο ἐπὶ τὰ ἴχνη τῶν κρυπτομένων· ἡ σύλληψις τοῦ Ἁγίου Γρηγορίου καὶ τοῦ συνοδοῦ του ἐπέκειτο ἀπὸ στιγμῆς εἰς στιγμήν. Οἱ διῶκται κατενεμήθησαν εἰς δύο ὁμάδας· ἄλλοι ἐξ αὐτῶν ἐφρούρουν κυκλικῶς τοὺς πρόποδας τοῦ λόφου, ὥστε νὰ μὴ δυνηθῇ νὰ διαφύγῃ ἀπὸ πουθενὰ ὁ Ἅγιος, ἐὰν τὸ ἀπεφάσιζε, καὶ ἄλλοι ἀνήρχοντο πρὸς τὴν κορυφὴν ἐρευνῶντες μετὰ προσοχῆς τὸν λόφον. Αὐτοὶ οἱ ὁποῖοι ἀνήρχοντο τὸ ὄρος, ἔτρεχον κατ' εὐθεῖαν πρὸς τὸ κρησφύγετον τοῦ Ἁγίου, ὅστις τοὺς ἀντελήφθη καὶ τοὺς παρηκολούθει.

3. Εἰς αὐτὴν τὴν κρίσιμον στιγμὴν ὁ Ἅγιος Γρηγόριος διέταξε τὸν συνοδόν του νὰ ἔχῃ ἀκλόνητον καὶ ἀδίστακτον πίστιν πρὸς τὸν Θεὸν καὶ νὰ εἶναι βέβαιος διὰ τὴν σωτηρίαν των· νὰ ὑψώσῃ δὲ τὰς χεῖρας πρὸς τὸν Θεόν, ὅπως αὐτός, διὰ νὰ προσευχηθοῦν. Τέλος—ὑπέδειξεν ὁ Ἅγιος—ἡ προσευχὴ νὰ εἶναι τόσον θερμή, ὥστε ὁ φόβος νὰ μὴ κατανικήσῃ τὴν πίστιν, ἔστω καὶ ἐὰν πλησιάσουν οἱ διῶκται.

4. Τὰς συμβουλάς του αὐτὰς πρὸς τὸν Διάκονον ἐπεκύρωσε καὶ μὲ τὸ προσωπικόν του παράδειγμα. Ὕψωσε τὸ βλέμμα ἀμεταστρόφως πρὸς τὸν οὐρανὸν καὶ ὄρθιος, μὲ ὑψωμένας τὰς χεῖρας, προσηύχετο θερμῶς. Ὁ Ἅγιος Γρηγόριος λοιπὸν καὶ ὁ Διάκονός του κατέφυγαν εἰς τὸ μέσον τῆς θερμῆς καὶ ἐλπιδοφόρου προσευχῆς.

5. Οἱ δὲ διῶκται ἀναζητοῦντες αὐτοὺς πανταχοῦ ἠρεύνησαν μετὰ μεγίστης προσοχῆς ὁλόκληρον τὴν περιοχήν· ἔψαξαν θάμνους, βραχάκια, κοιλότητας βράχων, χαράδρας, ὅλα ἐν γένει τὰ σημεῖα τῆς περιοχῆς, χωρὶς νὰ εὕρουν οὐδένα. Ἡ ἔρευνα δὲν ἔφερε κανένα ἀποτέλεσμα· δι' αὐτὸ οἱ διῶκται, σχηματίσαντες τὴν γνώμην, ὅτι ἐκ φόβου θὰ ἔ-

---

1) Βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» τόμ. ΙΑ' ἔκδ. α' σελ. 438, 439 καὶ 444, ἔκδ. β' σελ. 509, 510 καὶ 515.

φυγον οἱ καταζητούμενοι, κατέβησαν νὰ συναντήσουν τοὺς ἄλλους εἰς τοὺς πρόποδας τοῦ λόφου, μὲ τὴν βεβαιότητα ὅτι θὰ ἔπεσαν εἰς τὰς χεῖρας των ὁ Ἅγιος μὲ τὸν συνοδόν του.

6. Κατάπληκτοι ὅμως διεπίστωσαν, ὅτι οὔτε οἱ φρουροῦντες τοὺς πρόποδας εἶχον συλλάβει τοὺς ἀναζητουμένους. Διηρωτῶντο δὲ μεταξύ των τί συνέβη. Ὁ καταδότης τότε περιέγραφε λεπτομερῶς τὸ μέρος, εἰς τὸ ὁποῖον εἶδε τὸν Ἅγιον.

—Ἀλλά—ἔλεγον οἱ ἐρευνήσαντες διῶκται—εἰς τὸ σημεῖον αὐτό, ποὺ λέγετε, δὲν εἴδαμεν τίποτε ἄλλο, ἐκτὸς ἀπὸ δύο δένδρα, ὀλίγον ἀπέχοντα ἀλλήλων.

Ἐπὶ τέλους ἔφυγαν ἄπρακτοι οἱ διῶκται.

7. Ἀφοῦ ἀνεχώρησαν οἱ διῶκται καὶ ἔμεινε μόνος ὁ καταδότης, ἀνῆλθεν εἰς τὸ σημεῖον, ὅπου ἀρχικῶς εἶδε τὸν Μέγαν μὲ τὸν συνοδόν του. Ἐκεῖ δὲ ὅπου ἰσχυρίζοντο οἱ διῶκται, ὅτι εἶδον τὰ δύο δένδρα, εὑρίσκοντο ὁ Ἅγιος Γρηγόριος καὶ ὁ Διάκονός του εἰς στάσιν θερμῆς προσευχῆς!

Ἀμέσως ἀντελήφθη τὸν θαυμαστὸν τρόπον, μὲ τὸν ὁποῖον ὁ Θεὸς τοὺς ἐφρούρησε, μεταμορφώσας αὐτούς, εἰς τὰ ὄμματα τῶν διωκτῶν των, εἰς δύο δένδρα!

Κατάλαβε τὸ ἔγκλημά του, καὶ πεσὼν εἰς τοὺς πόδας τοῦ Ἁγίου ἐζήτησε συγγνώμην καὶ ἐπίστευσεν εἰς τὴν Χριστιανικὴν πίστιν.

Οὕτω ὁ πρὸ ὀλίγου διώκτης ἐγένετο εἷς ἐκ τῶν διωκομένων, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς περὶ ψυχῆς τῆς μετανοούσης, ὅτι εἰ διὰ παντὸς καταφεύγει πρὸς τὸν Θεὸν διὰ προσευχῆς, οὐδέποτε οἱ δαίμονες ἢ τὰ πάθη ἰσχύσουσι κατ' αὐτῆς. Καὶ προσετίθει τοιαύτην παραβολήν.

2. Ὅτι πόρνη τις ἦν ὡραία ἐν τῇ πόλει, ἣ πολλοὺς εἶχε τοὺς ἐραστάς· ἐλθὼν δὲ πρὸς αὐτὴν ὁ τῆς πόλεως ἄρχων, εἶπεν αὐτῇ· σύνθου μοι σωφρονεῖν, κἀγώ σε λαμβάνω εἰς γυναῖκα, ἡ δὲ συνέθετο, καὶ λαβὼν αὐτὴν ἀπήγαγεν εἰς τὸν οἶκον αὐτοῦ.

3. Οἱ δὲ ἐρασταὶ αὐτῆς ζητοῦντες αὐτήν, καὶ μὴ δυνάμενοι εὑρεῖν, εἶπον· ἀπέλθωμεν εἰς τὸν οἶκον τοῦ ἄρχοντος, καὶ ἐκεῖ μὲν μὴ εἰσέλθωμεν, εἰ γὰρ μάθοι, τιμωρεῖται ἡμᾶς, ἀλλὰ στάντες ὄπισθεν τῆς οἰκίας, συρίσωμεν αὐτῇ, καὶ ἴσως γνωρίσασα τὴν φωνὴν τοῦ συριγμοῦ, καταβήσεται πρὸς ἡμᾶς καὶ ἡμεῖς ἀναίτιοι εὑρισκόμεθα.

4. Ἀπῆλθον οὖν καὶ ἐσύριζον· ἡ δὲ ἀκούσασα τοῦ συριγμοῦ, ἐσφράγισε τὰ ὦτα αὐτῆς, καὶ εἰσεπήδησεν εἰς τὸν ἐνδότερον κοιτῶνα, καὶ ἔκλεισε τὰς θύρας· οἱ δέ, ὡς οὐχ ὑπήκουεν αὐτοῖς, ὑπέστρεψαν ἄπρακτοι.

5. Ἔλεγεν οὖν τὴν πόρνην εἶναι τὴν ψυχήν, ἐραστὰς δὲ αὐτῆς τοὺς δαίμονας, ἄρχοντα δὲ τὸν Χριστόν· οἰκίαν δὲ ἐνδοτέραν, τὸν ἔνδον συγκλεισμὸν τοῦ νοός.

6. Εἰ οὖν ἡ ψυχὴ ὑπὸ τῶν δαιμόνων πολεμουμένη διὰ τῶν παθῶν εἰς ἑαυτὴν συστέλληται, καὶ διὰ προσευχῆς καταφεύγῃ πρὸς τὸν Θεόν, οὐδέποτε κατ' αὐτῆς ἰσχύσουσιν οἱ πολέμιοι.

7. Ἠρώτησαν ἀδελφοὶ τὸν Ἀββᾶν Ἀγάθωνα λέγοντες, ποία ἀρετή ἐστι, Πάτερ, ἐν ταῖς πολιτείαις, ἔχουσα πλείονα κάματον; Καὶ ἀπεκρίθη αὐτοῖς ὁ Γέρων· συγχωρήσατέ μοι, λογίζομαι ὅτι οὐκ ἔστιν ἕτερος κάματος, ὡς τὸ εὔξασθαι τῷ Θεῷ· πάντοτε γὰρ ὅτε μέλλει ὁ ἄνθρωπος προσεύξασθαι, βούλονται οἱ ἐχθροὶ ἐκκόψαι αὐτόν· οἴδασι γὰρ ὅτι οὐδαμόθεν ἐμποδίζονται, εἰμὴ ἀπὸ τοῦ εὔξασθαι. Καὶ πᾶσαν δὲ πολιτείαν ἣν ἂν μετέλθῃ ὁ ἄνθρωπος ἐγκαρτερῶν ἐν αὐτῇ, κτᾶται ἀνάπαυσιν, τὸ δὲ εὔξασθαι, ἕως ἐσχάτης ἀναπνοῆς ἀγῶνος χρήζει.

8. Ἀδελφόν τινα ἱστάμενον εἰς προσευχήν, ἔκρουσε σκορπίος εἰς τὸν πόδα, καὶ ἐπὶ τοσοῦτον ἥψατο τῆς καρδίας αὐτοῦ ἡ ὀδύνη, ὥς παρ' ὀλίγον ἀποδοῦναι καὶ τὴν ψυχήν· αὐτὸς δέ, καίπερ οὕτως ἔχων, καὶ ἀλγήσας, οὐ πρότερον ἀπέστη, πρὶν ἢ πληρώσῃ τὴν εὐχήν.

9. Εἶπεν ὁ Ἀββᾶς Εὐάγριος· ὅταν ἀθυμῇς, προσεύχου καθὼς γέγραπται· προσεύχου δὲ μετὰ φόβου καὶ τρόμου νηφαλέως, καὶ ἐγρηγορότως, οὕτω γὰρ προσεύχεσθαι δεῖ, μάλιστα διὰ τοὺς κακοτρόπους, καὶ κακυσχόλους, τοὺς ἐπηρεάζειν ἡμᾶς θέλοντας ἐν τούτῳ ἀοράτους ἐχθρούς.

10. Εἶπε πάλιν· ὅταν λογισμὸς ἐπιστῇ τῇ καρδίᾳ σου πολέμιος, μὴ ἄλλα τινὰ τότε δι' εὐχῆς ἐπιζήτει, κατὰ δὲ τοῦ πολεμίου τὸ ξίφος τῶν δακρύων ἀκόνα.

11. Ἠρώτησάν τινες τὸν Ἀββᾶν Μακάριον λέγοντες, πῶς ὀφείλομεν προσεύχεσθαι; Καὶ εἶπεν αὐτοῖς ὁ Γέρων· οὐκ ἔστι χρεία βαττολογεῖν, ἀλλ' ἐκτείνειν τὰς χεῖρας, καὶ λέγειν· Κύριε, ὡς θέλεις, καὶ ὡς οἶδας, ἐλέησόν με· ἐὰν δὲ ἐπίκειται πόλεμος· Κύριε, βοήθησον, καὶ αὐτὸς οἶδε, καὶ τὰ συμφέροντα ποιεῖ μεθ' ἡμῶν.

12. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· διατί ὅτε ἵσταμαι εἰς προσευχήν, πλειόνως ἀσχολεῖ με ὁ λογισμός; Καὶ ἀπεκρίθη ὁ Γέρων, ὅτι ὁ διάβολος ἐξ ἀρχῆς, μὴ θέλων προσκυνῆσαι τὸν ἐπὶ πάντων Θεόν, ἐσφενδονίσθη ἐκ τῶν οὐρανῶν, καὶ ἀλλότριος γέγονε τῆς Βασιλείας τοῦ Θεοῦ· διὰ τοῦτο καὶ ἡμᾶς ἀσχολεῖν σπουδάζει ἀπὸ τῆς προσευχῆς, τὸ αὐτὸ ὃ ἐκεῖνος ἔπαθε καὶ ἐν ἡμῖν κατεργάσασθαι βουλόμενος.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰωάννης ὁ Κολοβὸς ἔλεγεν, ὅτι τὴν ψυχήν, ποὺ μετανοεῖ, ἐφ' ὅσον καταφεύγει συνεχῶς πρὸς τὸν Θεόν, διὰ τῆς προσευχῆς, ποτὲ οἱ δαίμονες ἢ τὰ πάθη δὲν θὰ ἠμπορέσουν νὰ τὴν κατανικήσουν. Διὰ νὰ κάμῃ δὲ περισσότερον ἀντιληπτὴν τὴν διδασκαλίαν του αὐτήν, ἐχρησιμοποίει καὶ τὴν ἑξῆς παραβολήν.

2. Κάποτε—ἔλεγεν—εἰς μίαν πόλιν ἔζη μία πόρνη ὡραία, ἡ ὁποία εἶχε πολλοὺς ἐραστάς. Μίαν ἡμέραν τὴν ἐπεσκέφθη ὁ ἄρχων τῆς πόλεως καὶ τῆς λέγει:

—Δῶσε μου τὸν λόγον σου, ὅτι θὰ ἐγκαταλείψῃς τὴν πορνείαν καὶ θὰ ζήσῃς ἀπὸ ἐδῶ καὶ εἰς τὸ ἑξῆς μὲ σωφροσύνην, καὶ ἐγὼ θὰ σὲ πάρω νόμιμον γυναῖκα μου.

Ἐκείνη τὸ ὑπεσχέθη καὶ ὁ ἄρχων τὴν κατέστησε νόμιμον σύζυγόν του, ἐγκαταστήσας αὐτὴν εἰς τὸν οἶκον του.

3. Οἱ ἐρασταί της τὴν ἀνεζήτουν καὶ δὲν τὴν ἀνεύρισκον. Τότε

συνεφώνησαν τὰ ἑξῆς μεταξύ των: «Νὰ πᾶμε μέχρι τῆς οἰκίας τοῦ ἄρχοντος· ἀλλὰ νὰ μὴ εἰσέλθωμεν μέσα, διότι ὅταν τὸ μάθῃ θὰ μᾶς τιμωρήσῃ, μόνον νὰ σταθῶμεν ὄπισθεν τῆς οἰκίας καὶ νὰ σφυρίζωμεν πρὸς αὐτήν. Ἴσως ἀναγνωρίσῃ τὰ σφυρίγματά μας καὶ καταβῇ νὰ μᾶς συναντήσῃ, ὁπόταν ἡμεῖς δὲν θὰ ἔχωμεν εὐθύνην, ἀλλ' ἐκείνη».

4. Πράγματι λοιπὸν ἐπῆγαν εἰς τὸν οἶκον τοῦ ἄρχοντος καὶ ἐσφύριζαν. Ἐκείνη, μόλις ἤκουσε τὰ σφυρίγματα, ἔκλεισε τὰ αὐτιά της καὶ εἰσῆλθε, διὰ περισσοτέραν της ἀσφάλειαν, εἰς τὰ βάθη τοῦ κοιτῶνος καὶ ἔκλεισε καλὰ τὰς θύρας.

Οἱ πρώην ἐρασταί της, ἀφοῦ δὲν ἔδιδε σημασίαν εἰς τὰ σφυρίγματά των, ἀνεχώρησαν ἄπρακτοι.

5. Ἐν συνεχείᾳ ὁ Ἀββᾶς Ἰωάννης ἐπεξήγησε τὴν παραβολήν: Πόρνη εἶναι ἡ ψυχή, ποὺ μετανοεῖ. Ἐρασταὶ αὐτῆς ἦσαν οἱ δαίμονες. Ἄρχων τῆς πόλεως εἶναι ὁ Χριστός. Ἐνδότεροι κοιτῶνες τῆς οἰκίας ὁ αὐτοπεριορισμὸς τῆς διανοίας, ὥστε νὰ μὴ ἐνοχλῆται ἀπὸ τοὺς πονηροὺς λογισμούς.

6. Ἐὰν λοιπὸν ἡ ψυχή—συνεπέρανεν ὁ Ἀββᾶς Ἰωάννης—πολεμεῖται ἀπὸ τοὺς δαίμονας διὰ τῶν παθῶν καὶ καταφύγῃ εἰς τὸν Θεὸν διὰ θερμῆς προσευχῆς, ποτὲ δὲν θὰ ἠμπορέσουν νὰ τὴν κατανικήσουν οἱ δαίμονες.

7. Μερικοὶ ἀδελφοὶ ἠρώτησαν τὸν Ἀββᾶν Ἀγάθωνα:

—Πάτερ, ποία ἀρετὴ ἔχει τὸν μεγαλύτερον κόπον, διὰ νὰ τὴν ἐπιτύχουν οἱ κατὰ διαφόρους τρόπους ἀγωνιζόμενοι εἰς τὴν Μοναχικὴν Πολιτείαν;

—Μὲ συγχωρεῖτε· ἔχω τὴν γνώμην, ὅτι δὲν ὑπάρχει μεγαλύτερος κόπος καὶ μεγαλυτέρα προσπάθεια ἀπὸ τὴν προσευχὴν πρὸς τὸν Θεόν. Διότι, ὁσάκις ὁ ἄνθρωπος πρόκειται νὰ προσευχηθῇ, οἱ δαίμονες ἐπιθυμοῦν καὶ ἐπιδιώκουν νὰ τὸν ἐμποδίσουν ἀπὸ αὐτὴν τὴν προσπάθειαν. Γνωρίζουν πολὺ καλά, ὅτι δὲν τοὺς ἐμποδίζει ἀπὸ τὸ καταστρεπτικὸν ἔργον των τίποτε ἀποτελεσματικώτερον ἀπὸ τὴν προσευχήν. Οἱονδήποτε δὲ ἄλλον ἔργον τῆς Μοναχικῆς Πολιτείας καὶ ἐὰν ἐπιδιώξῃ ὁ ἄνθρωπος, ἐφ' ὅσον τὸ ἐπιτύχῃ, ἀναπαύεται καὶ ἡσυχάζει. Μόνον ἡ προσευχὴ ἀπαιτεῖ διαρκῆ ἔντασιν καὶ πρέπει νὰ ἀγωνίζεται ὁ ἄνθρωπος, ἐφ' ὅσον ἀναπνέει.

8. Κάποτε προσηύχετο ἕνας ἀδελφός· εἰς μίαν στιγμὴν ἕνας σκορπιὸς τὸν ἐδάγκωσεν εἰς τὸ πόδι· τόσον ἰσχυρὸς ἦτο ὁ πόνος, ποὺ τοῦ ἐτρύπησε τὴν καρδιά. Ἂν καὶ ἐκόντεψε νὰ ξεψυχήσῃ ἀπὸ τὸν πόνον, ἐν τούτοις δὲν ἐγκατέλειψε τὴν στάσιν τῆς προσευχῆς, πρὶν τελειώσῃ, ὅπως ἔπρεπε, τὴν προσευχήν.

9. Ὁ Ἀββᾶς Εὐάγριος εἶπεν· ὅταν εἶσαι λυπημένος, νὰ προσεύ-

χεσαι, ὅπως εἶναι γραμμένον εἰς τὴν Ἁγ. Γραφήν [1]. Νὰ προσεύχεσαι μὲ φόβον καὶ τρόμον καὶ νὰ εἶσαι, κατὰ τὴν ὥραν τῆς προσευχῆς, νηφάλιος, ἔχων ἀφυπνισμένην καὶ εἰς πνευματικὴν ἐπιφυλακὴν τὴν διάνοιάν σου· διὰ τοῦ τρόπου τούτου ὀφείλεις νὰ προσεύχεσαι, ὁσάκις μάλιστα ἐπιζητεῖς νὰ ἀντιμετωπίσῃς τοὺς κακοτρόπους καὶ εἰς τὸ κακὸν ἀσχολουμένους νοητοὺς ἐχθρούς, ποὺ ἐπιζητοῦν νὰ μᾶς ἐνοχλοῦν.

10. Ὁ ἴδιος, ὁ Ἀββᾶς Εὐάγριος, εἰς ἄλλην περίπτωσιν εἶπεν· ὅταν ἐπιτεθῇ εἰς τὴν καρδίαν σου κακὸς καὶ πονηρὸς λογισμός, τότε τίποτε ἄλλο νὰ μὴ ἐπιζητῇς διὰ τῆς προσευχῆς, παρὰ μόνον τὴν ἐπιτυχῆ ἀντιμετώπισίν του. Κατὰ τοῦ ἐπιτιθεμένου ἐχθροῦ τῆς ψυχῆς νὰ ἀκονίζῃς τὸ ξίφος τῶν δακρύων.

11. Μερικοὶ ἀδελφοὶ ἠρώτησαν τὸν Ἀββᾶν Μακάριον:

—Πῶς πρέπει νὰ προσευχώμεθα;

Ὁ Γέρων ἀπήντησε:

—Δὲν εἶναι ἀνάγκη νὰ φλυαρῶμεν [2]· νὰ ἐκτείνωμεν τὰς χεῖράς μας πρὸς τὸν Θεὸν καὶ νὰ λέγωμεν μετὰ θερμότητος πρὸς Αὐτόν· «Κύριε, ὅπως θέλεις καὶ ὅπως γνωρίζεις, νὰ μὲ ἐλεήσῃς». Ἐὰν δὲ εὑρίσκεσαι εἰς πνευματικὸν πόλεμον κατὰ τῶν παθῶν, νὰ λέγῃς· «Κύριε, βοήθησέ σε». Ὁ Κύριος, ὡς καρδιογνώστης, γνωρίζει νὰ κάμῃ αὐτὰ ποὺ συμφέρουν εἰς τὴν ψυχήν μας.

12. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Διατί, ὅταν στέκωμαι νὰ προσευχηθῶ, μὲ ἀπασχολοῦν περισσότερον οἱ διάφοροι λογισμοί;

Ὁ Γέρων ἀπήντησε:

—Ἀπὸ τὴν ἀρχὴν ὁ διάβολος, ἐπειδὴ δὲν ἤθελε νὰ προσκυνήσῃ τὸν Θεὸν τῶν ὅλων, ἐξεσφενδονίσθη ἀπὸ τοὺς οὐρανοὺς καὶ ἀπεξενώθη τῆς Βασιλείας τοῦ Θεοῦ. Δι' αὐτὸ προσπαθεῖ νὰ μᾶς ἀπασχολῇ, μὲ λογισμούς, κατὰ τὴν ὥραν τῆς προσευχῆς, ὥστε νὰ ἐπιτύχῃ καὶ εἰς βάρος μας αὐτὸ ποὺ ἔπαθεν ἐκεῖνος, δηλαδὴ νὰ μᾶς ἀποξενώσῃ ἀπὸ τὸν Θεόν.

Δ'. Τοῦ Ἁγίου Ἠσαΐου.

Μὴ καταφρονήσῃς τῆς λειτουργίας σου, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου.

2. Ἀνάγκασον σεαυτὸν εἰς τὴν μελέτην τῶν ψαλμῶν, διότι σὲ φυλάττει ἀπὸ τῆς αἰχμαλωσίας τοῦ μιασμοῦ.

---

1) «Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω» (Ἰακ. ε' 13). «Ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα...» (Ψαλμ. ιζ' 7).

2) «Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. Προσευχόμενοι δὲ μὴ βαττολογήσητε


Ο ΟCΙ ΟC ΑΒΒΑC
ΕΥΑ ΓΡΙ ΟC
ΟΤΑΝ ΑΘΥ
ΜΗC ΠΡΟ
CΕΥΧΥ ΚΑ
ΤΑ ΔΕ ΤΥ
ΠΟΛΕΜΙΥ
ΤΟ ΞΙΦΟC
ΤΩΝ ΔΑ
ΚΡΥΩΝ
ΡΑΚΟΝΑ

3. Ἀγάπα τὸ συνεχῶς προσεύχεσθαι, ἵνα φωτισθῇ σου ἡ καρδία.
4. Μὴ γοργεύου ἐν ταῖς λειτουργίαις σου, ἵνα μὴ καταφάγεταί σε τὰ θηρία.
5. Βλέπε μὴ καταφρονήσῃς τὰς λειτουργίας σου ἐπιτελεῖν· αὗται γὰρ φέρουσι τὸν φωτισμὸν τῇ ψυχῇ.

Ἑρμηνεία

ΝΑ μὴ ἀδιαφορήσῃς διὰ τὰ πνευματικά σου καθήκοντα, διὰ νὰ μὴ σὲ κυριεύσουν οἱ ἐχθροί σου.
2. Νὰ ἐπιμείνῃς εἰς τὴν μελέτην τῶν ψαλμῶν, διότι αὐτὸ θὰ διασφαλίσῃ τὴν ψυχήν σου ἀπὸ τὴν αἰχμαλωσίαν της ὑπὸ τῶν κακῶν λογισμῶν καὶ τοῦ μολυσμοῦ.
3. Νὰ ἀγαπᾷς νὰ προσεύχεσαι συνεχῶς, διὰ νὰ λάβῃ θεῖον φωτισμὸν ἡ καρδία σου.
4. Μὴ βιάζεσαι νὰ τελειώσῃς τὰ πνευματικά σου καθήκοντα, διὰ νὰ μὴ σὲ καταφάγουν τὰ νοητὰ θηρία.
5. Πρόσεχε νὰ μὴ καταφρονήσῃς τὰ πνευματικά σου καθήκοντα καὶ νὰ τὰ ἐκτελῇς πάντοτε, διότι αὐτὰ θὰ φέρουν τὸν θεῖον φωτισμὸν εἰς τὴν ψυχήν σου.

Ε'. Τοῦ Ἁγίου Μάρκου.

ΑΔΕΛΦΕ, γίνωσκε ὅτι οἱ προσευχῆς καὶ ταπεινοφροσύνης ἐπιμελούμενοι, οὐ πίπτουσιν, οἱ δὲ τούτων ἀμελήσαντες, ὑπὸ κενοδοξίας καὶ μερίμνης βιοτικῆς κλαπέντες, εὐχερῶς πίπτουσιν.
2. Ὅθεν καὶ ὁ διάβολος πάντα τὰ βιοτικὰ ἐννοεῖν ἡμᾶς καὶ πράττειν οὐκ ἀποτρέπει, μόνον ἵνα προσευχῆς καὶ ταπεινοφροσύνης ἀποπλανήσῃ· οἶδε γὰρ ὅτι τὰ ἐκτὸς τῶν δύο τούτων γινόμενα, κἂν καλὰ τυγχάνῃ, ὀψέποτε ἀφαιρεθήσεται ὑπ' αὐτοῦ.
3. Προσευχὴν δὲ λέγομεν, οὐ μόνον τὴν διὰ σαρκὸς ἐπιτελουμένην, ἀλλὰ καὶ δι' ἐννοίας ἀπερισπάστου τῷ Θεῷ προσφερομένην.
4. Ἐὰν γὰρ ἓν ἐξ αὐτῶν ἀχαίρως περισπασθῇ, οὐδὲ τὸ ἕτερον κατὰ μόνας παρίσταται τῷ Θεῷ, ἀλλὰ τῷ ἰδίῳ θελήματι.
5. Ὅθεν οὐ μόνον οἱ ἀμελοῦντες προσευχῆς, ἀλλὰ καὶ οἱ τῇ διανοίᾳ μὴ προσέχοντες, ἐπηρεάζονται.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, γνώριζε, ὅτι ὅσοι φροντίζουν νὰ ἐκτελοῦν μετὰ προθυμίας τὴν προσευχὴν καὶ νὰ καλλιεργοῦν τὴν ταπεινοφροσύνην, δὲν πίπτουν.
Αὐτοὶ ὅμως, ποὺ ἀδιαφοροῦν δι' αὐτά, καταλαμβάνονται σιγά—σιγά, χωρὶς καὶ οἱ ἴδιοι νὰ τὸ ἀντιληφθοῦν, ἀπὸ τὴν κενοδοξίαν καὶ

ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γάρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται» (Ματθ. ϛ' 6—7).

τὴν βιοτικὴν μέριμναν, ὁπόταν εὐκόλως πλέον πίπτουν εἰς διάφορα ἁμαρτήματα.

2. Δι' αὐτὸ καὶ ὁ διάβολος δὲν μᾶς ἀποτρέπει ἀπὸ τοῦ νὰ σκεπτώμεθα ὅλα τὰ βιοτικὰ καὶ νὰ ἀσχολούμεθα μὲ αὐτά, μόνον καὶ μόνον διὰ νὰ μᾶς ἀποπλανήσῃ ἀπὸ τὴν προσευχὴν καὶ τὴν ταπεινοφροσύνην· διότι γνωρίζει πολὺ καλά, ὅτι ὅσα γίνονται, χωρὶς προσευχὴν καὶ ταπεινοφροσύνην, ἔστω καὶ ἐὰν εἶναι καλὰ ἀπὸ ἠθικῆς ἀπόψεως, κάποτε θὰ δυνηθῇ νὰ τὰ ἀφαιρέσῃ ἀπὸ τὸν ἄνθρωπον, ποὺ τὰ ἐπετέλεσε χωρὶς προσευχὴν καὶ ταπεινοφροσύνην.

3. Ὅταν δὲ λέγωμεν προσευχήν, δὲν ἐννοοῦμεν μόνον ἐκείνην, ποὺ γίνεται μὲ τὴν ἀνάλογον σωματικὴν στάσιν, κατὰ τὰς ὡρισμένας ὥρας, ἀλλὰ καὶ τὴν συνεχῆ πρὸς τὸν Θεὸν ἀνάτασιν τῆς ψυχῆς, ποὺ προσφέρεται ἀπὸ ἀπερίσπαστον νοῦν.

4. Σωματικὴ δὲ στάσις καὶ ἀνάτασις τῆς ψυχῆς πρέπει νὰ συνυπάρχουν, διότι ἐὰν ἓν ἐκ τῶν δύο περισπασθῇ, τότε καὶ τὸ ἄλλο δὲν δύναται, μόνον του, νὰ παρίσταται ἐνώπιον τοῦ Θεοῦ, ὁπόταν ὁ ἄνθρωπος κατευθύνεται πλέον ἀπὸ τὸ προσωπικόν του θέλημα.

5. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἐνοχλοῦνται ἀπὸ τὸν διάβολον, ὄχι μόνον ὅσοι ἀμελοῦν τὴν προσευχήν των, ἀλλὰ καὶ ἐκεῖνοι, ποὺ δὲν προσέχουν τὰς κινήσεις τῆς διανοίας των.

ϛ'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΟΠΡΟΣΕΥΧΟΜΕΝΟΣ νηφόντως καίει τοὺς δαίμονας, ὁ δὲ μετεωριζόμενος ἐμπαιχθήσεται ὑπ' αὐτῶν.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ προσεύχεται μὲ νηφαλιότητα καίει τοὺς δαίμονας· ἐκεῖνος ὅμως, τοῦ ὁποίου ἡ σκέψις, ἐνῷ προσεύχεται, περιπλανᾶται ἀσκόπως εἰς μάταια πράγματα, θὰ γίνῃ περίγελως τῶν δαιμόνων.



Ὑπόθεσις Ι΄

Τίς ἡ τῆς προσευχῆς δύναμις, καὶ ὅτι διὰ τῆς προσευχῆς πᾶν ἀγαθὸν ἐκ τοῦ Θεοῦ δίδοται, καὶ Θεῷ ἑνοῦται ὁ ἄνθρωπος.

Ποία εἶναι ἡ δύναμις τῆς προσευχῆς· διὰ τῆς προσευχῆς δίδεται εἰς τὸν ἄνθρωπον ὑπὸ τοῦ Θεοῦ πᾶν ἀγαθόν· διὰ τῆς προσευχῆς ἑνοῦται ὁ ἄνθρωπος μετὰ τοῦ Θεοῦ.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος.

ΔΥΟ τινὲς κληρικοὶ τῆς κατὰ τὸν μέγαν Ἰωάννην Ἐκκλησίας σκυτοτομικὴν μετιόντες τέχνην, ἐν γειτόνων ἀλλήλοις ἔμενον· ὧν ὁ μὲν γυναικὶ συνεζευγμένος καὶ τέκνα ἔχων, πατέρα καὶ μητέρα συνοικοῦντας αὐτῷ, οὓς πάντας, ἐκ τῶν χειρῶν ἔτρεφε τῶν ἰδίων, ὅμως τῶν συνάξεων οὐκ ἠμέλει.

2. Θάτερος δέ, καίτοι μόνος ὢν τὴν τέχνην τε ἀκριβέστερος καὶ τὴν ἐργασίαν ἐπιμελέστερος, οὐδὲ ἑαυτῷ πορίζειν μόνῳ τὰ πρὸς τὴν χρείαν δυνατὸς ἦν. Τῷ οὖν ὁμοτέχνῳ αὐτοῦ διαφθονούμενος, καὶ μηκέτι ἀντιφέρειν δυνάμενος τὴν ὠδῖνα τῆς βασκανίας, ἐντυχὼν αὐτῷ κατὰ μόνας· ὁρκίζω σε κατὰ τοῦ Θεοῦ, ἔφη, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ, ἀλλὰ φανερόν μοι τοῦτο θέσθαι, πόθεν αὐτὸς μὲν πλουτῶν διατελεῖς, καὶ ταῦτα γε ὅσα εἰς τὴν ἐργασίαν ῥάθυμος ὤν, ἐμοὶ δὲ ἐπιμελεῖ ὄντι, καὶ φιλοπόνῳ, τοὐναντίον συμβαίνει καὶ εἰς ἐσχάτην περιέστηκα πενίαν;

3. Ὁ δὲ βουλόμενος αὐτὸν ἐπιμελέστερον θέσθαι περὶ τὰς συνάξεις ὀλιγώρως ἔχοντα, κἀμὲ πρότερον, εἶπεν, ἀδελφέ, πολλὴ στένωσις εἶχεν· ἀφ' οὗ δὲ σχολάζειν πρὸς τὰς συνάξεις ἐμαυτὸν ἔπεισα, ἔστιν ἑαυτῷ πορίζειν ὅτε καὶ χρυσίον εὑρίσκω κατὰ τὴν ὁδὸν ἀπιών. ὅθεν δὴ καὶ ἐπισυνῆκταί μοι πᾶσα, ἣν ὁρᾷς, εὐπορία· ἀλλ' εἴ τι ἐμοὶ πείθει, ἕπου καὶ αὐτὸς ἀπιόντι μοι, καὶ παραμυθίαν ἐντεῦθεν ἕξεις οὐ τὴν τυχοῦσαν.

4. Πείθεται τοῖς αὐτοῦ λόγοις, καὶ καθ' ἑκάστην σύναξιν φοιτῶν σὺν αὐτῷ, ᾔσθετο, μετ' οὐ πολύ, εὐλογίας παρὰ Θεοῦ γινομένης εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῷ ἀγαθῷ συμβούλῳ τὴν χάριν ἀνωμολόγει.

5. Ὁ δὲ εὐθὺς τὴν σκηνὴν διάρας, λέγει τῷ ὁμοτέχνῳ, ὡς οὐδέποτε χρυσίον αὐτῷ κατὰ τὴν ὁδὸν εὑρεθείη, ἀλλὰ βουλόμενος, φησί, διαναστῆσαί σε πρὸς τὰς θείας ἀφικνεῖσθαι συνάξεις, τὴν τοῦ χρυσίου εὕρεσιν ἐπλασάμην.

6. Τοῦτο εἰς ὦτα τῷ μακαρίῳ Ἰωάννῃ ἐλθόν, τῆς τε ἀγαθῆς προθέσεως αὐτὸν ἀποδέχεται, καὶ τῆς τοῦ Πρεσβυτέρου χειροτονίας καταξιοῖ.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ Ἀλεξάνδρειαν, κατὰ τοὺς χρόνους τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος, ἔζων δύο κληρικοί[1]. Οὗτοι ἤσκουν τὸ ἐπάγγελμα τῆς ἐπεξεργασίας δερμάτων καὶ ἦσαν γείτονες. Ἐξ αὐτῶν ὁ ἕνας ἦτο ἔγγαμος, εἶχε παιδιά, συνετήρει καὶ τοὺς γονεῖς του, οἱ ὁποῖοι διέμενον εἰς τὴν αὐτὴν οἰκίαν. Ὅλους αὐτοὺς τοὺς συνετήρη διὰ τῆς προσωπικῆς του χειρωνακτικῆς ἐργασίας· ὡς τόσον ἦτο καὶ τακτικώτατος, εἰς τὰς συνάξεις, εἰς τὰς ἀκολουθίας καὶ εἰς τὰς προσευχάς.

2. Ὁ ἄλλος, καίτοι ἦτο μόνος καὶ ἐγνώριζε καλύτερα τὴν τέχνην καὶ εἰργάζετο μετὰ μεγαλυτέρας φροντίδος, ἐν τούτοις δὲν ἠδύνατο οὔτε τὸν ἑαυτόν του νὰ συντηρήσῃ. Βλέπων λοιπὸν τὴν ἐπάρκειαν τοῦ ὁμοτέχνου του καὶ ζηλοτυπῶν δι' αὐτήν, μὴ δυνάμενος δὲ νὰ ὑποφέρῃ καὶ τὸν φθόνον, τὸν ὁποῖον ᾐσθάνετο, τὸν συνήντησε κάποτε ἰδιαιτέρως καὶ τοῦ εἶπε:

—Σὲ ὁρκίζω εἰς τὸ ὄνομα τοῦ Θεοῦ, νὰ μοῦ εἴπῃς, χωρὶς νὰ μοῦ ἀποκρύψῃς τὸ μυστικόν, πῶς τὰ καταφέρνεις νὰ ἐξοικονομῇς τόσον πλουσίως τὴν ζωήν σου, ἐνῷ εἶναι γνωστόν, ὅτι δὲν εἶσαι ἄριστος τεχνίτης, ἐνῷ ἐγώ, ποὺ γνωρίζω καλύτερα τὴν τέχνην καὶ ἐργάζομαι περισσότερον, ὑποφέρω καὶ κινδυνεύω ἀπὸ πεῖναν;

3. Ὁ ἄλλος, ἐπιθυμῶν νὰ τὸν καταστήσῃ φιλακόλουθον, διότι ἦτο ἀμελὴς εἰς τὰς συνάξεις τῆς ἀκολουθίας, εἶπε πρὸς αὐτόν:

—Καὶ ἐγὼ προηγουμένως, ἀδελφέ μου, ὑπέφερα πάρα πολὺ ἀπὸ οἰκονομικὴν στενοχωρίαν· ἀπὸ τῆς στιγμῆς, ὅμως, ποὺ ἀπεφάσισα νὰ παρευρίσκωμαι τακτικῶς καὶ ἀνελλιπῶς εἰς τὰς ἀκολουθίας, ἠδυνήθην νὰ ἐπιτύχω μίαν οἰκονομικὴν ἄνεσιν· συμβαίνει μάλιστα πολλάκις, ἀπερχόμενος διὰ τὴν ἀκολουθίαν, νὰ εὑρίσκω, εἰς τὸν δρόμον, χρήματα μὲ τὰ ὁποῖα ἐπιτυγχάνω αὐτὴν τὴν εὐπορίαν, ποὺ βλέπεις. Ἐὰν λοιπὸν θέλῃς νὰ μὲ ἀκούσῃς, ἀκολούθησέ με νὰ πηγαίνωμεν μαζὶ εἰς τὰς ἀκολουθίας καὶ νὰ εἶσαι βέβαιος, ὅτι θὰ εὕρῃς μεγάλην ἀνακούφισιν.

4. Ὁ ὁμότεχνος, ποὺ δὲν ἠδύνατο νὰ ἱκανοποιηθῇ ἐκ τῆς ἐργασίας του, δίδει ἐμπιστοσύνην εἰς τοὺς λόγους του, καὶ καθημερινῶς πλέον ἐσύχναζεν εἰς τὴν ἀκολουθίαν μαζὶ μὲ αὐτόν. Ἐξ αὐτοῦ ἤρχισε νὰ δοκιμάζῃ μεγάλην ἐσωτερικὴν εὐχαρίστησιν, ἀλλὰ καὶ διεπίστωσε τοὺς ὑλικοὺς πλέον καρποὺς ἐκ τῆς εὐλογίας τοῦ Θεοῦ εἰς τὸ σπίτι του. Συγκεκινημένος δὲ καὶ εὐγνώμων ηὐχαρίστει τὸν καλὸν ὁμότεχνόν του, διὰ τὰς πολυτίμους συμβουλάς του.

---

1) Κληρικοὶ νοοῦνται ἐνταῦθα, κατὰ τὴν τότε συνήθειαν, οὐχὶ μόνον οἱ κεχειροτονημένοι εἰς ἱερατικόν τινα βαθμόν, ἀλλὰ καὶ οἱ ἀναγνῶσται καὶ ψάλται καὶ ἐφορκισταὶ καὶ θυρωροὶ καὶ ἅπαν τὸ κατώτερον ὑπηρετικὸν προσωπικὸν τὸ ὑπηρετοῦν εἰς τὰς ἀνάγκας τῆς Ἐκκλησίας, ἕως καὶ αὐτῶν τῶν φροντιστῶν τῶν ἐκκλησιαστικῶν κτημάτων.

5. Τότε καὶ ἐκεῖνος ἐθεώρησε κατάλληλον τὴν εὐκαιρίαν νὰ ἀφήσῃ τὴν σκηνοθεσίαν καὶ νὰ ἀποκαλύψῃ τὴν ἀλήθειαν.

—Ἀδελφέ μου—τοῦ εἶπε—ποτὲ δὲν ηὗρα εἰς τὸν δρόμον χρήματα· τὸ εἶπα αὐτό, διὰ νὰ διεγείρω τὸν ζῆλον σου, νὰ ἔρχεσαι εἰς τὰς ἀκολουθίας καὶ τὰς συνάξεις.

6. Αὐτὸ τὸ τέχνασμα τῆς εὐσεβείας τὸ ἐπληροφορήθη ὁ μακάριος Ἰωάννης καὶ ἐξετίμησε τὴν καλὴν πρόθεσιν τοῦ κληρικοῦ· δι᾽ αὐτὸ καὶ τὸν ἀξιώνει τῆς εἰς Πρεσβύτερον χειροτονίας.

Β'. Ἐν τῷ Γεροντικῷ.

ΜΟΝΑΖΩΝ τις ἦν μὴ ἐργαζόμενος τὸ σύνολον, ἀλλὰ ἀδιαλείπτως προσευχόμενος· καθ' ἑσπέραν δὲ εἰσῄει εἰς τὸ κελλίον αὐτοῦ καὶ εὕρισκε τὸν ἄρτον αὐτοῦ καὶ ἤσθιεν.

2. Ἐν μιᾷ οὖν παρέβαλεν ἀδελφός τις ἔχων σεβέννια, καὶ ἐποίησεν αὐτὸν ἐργάσασθαι· ἑσπέρας δὲ γενομένης, εἰσῆλθε κατὰ τὴν συνήθειαν φαγεῖν, καὶ οὐδὲν εὗρεν· ἐκοιμήθη οὖν λυπούμενος καὶ ἀπεκαλύφθη αὐτῷ, ὅτι· ὅτε μετ' ἐμοῦ ἐσχόλαζες, ἔτρεφόν σε· ὅτε δὲ ἤρξω ἐργάζεσθαι, ἐκ τοῦ ἐργοχείρου σου ζήτησον τὴν τροφήν σου.

3. Ἦν τις Γέρων ποτὲ εἰς τὸ Σινᾶ ὄρος, καὶ ὡς ἐξήρχετο ἐκεῖθεν, συνήντησεν αὐτῷ ἀδελφός, καὶ στενάξας εἶπε τῷ Γέροντι· Πάτερ, θλιβόμεθα διὰ τὴν ἀβροχίαν. Ὁ δὲ λέγει αὐτῷ· διατὶ οὐκ εὔχεσθε καὶ παρακαλεῖτε τὸν Θεόν, ἵνα βρέξῃ; Ἔφη ὁ ἀδελφός· καὶ εὐχόμεθα καὶ λιτανεύομεν, καὶ οὐ βρέχει. Καὶ λέγει ὁ Γέρων· πάντως οὐκ εὔχεσθε ἐκτενῶς· θέλεις δὲ γνῶναι ὅτι οὕτως ἐστί; στῶμεν εἰς προσευχήν.

4. Καὶ ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανόν, ηὔξατο, καὶ εὐθέως κατέβη ἡ βροχή. Ἰδὼν δὲ ὁ ἀδελφὸς ἐφοβήθη, καὶ πεσὼν προσεκύνησεν αὐτῷ, ὁ δὲ Γέρων ἔφυγε παραχρῆμα ἐκεῖθεν.

5. Ἀδελφοὶ παρέβαλον τῷ Ἀββᾷ Ἀντωνίῳ, καὶ ἠρώτησαν αὐτῷ ῥῆμα τοῦ Λευϊτικοῦ· ἐξῆλθεν οὖν ὁ Γέρων εἰς τὴν ἔρημον, καὶ ἠκολούθησεν αὐτὸν ὁ Ἀββᾶς Ἀμμωνᾶς κρυφῇ, εἰδὼς τὴν συνήθειαν αὐτοῦ.

6. Καὶ μακρύνας οὐ πολὺ ὁ Γέρων στὰς εἰς προσευχήν, ἔκραξε λέγων· ὁ Θεὸς ἀπόστειλόν μοι τὸν Μωϋσῆν, καὶ διδάξει με τὸ ῥῆμα τοῦτο, καὶ ἦλθεν αὐτῷ φωνὴ λαλοῦσα μετ' αὐτοῦ. Εἶπεν οὖν ὁ Ἀββᾶς Ἀμμωνᾶς, ὅτι τὴν μὲν φωνὴν ἤκουσα τὴν λαλοῦσαν μετ' αὐτοῦ, τὴν δὲ δύναμιν τοῦ λόγου οὐκ ἔμαθον.

7. Διηγήσατο ὁ Ἀββᾶς Δουλᾶς, ὁ μαθητὴς τοῦ Ἀββᾶ Βησσαρίωνος, ὅτι ἦλθον εἰς τὸ κελλίον αὐτοῦ καὶ εὗρον αὐτὸν ἑστῶτα εἰς εὐχήν, καὶ αἱ χεῖρες αὐτοῦ ἐκτεταμέναι εἰς τὸν οὐρανόν, ἔμεινε δὲ ἐπὶ δεκατέσσαρας ἡμέρας τοῦτο ποιῶν· καὶ μετὰ τοῦτο ἐφώνησέ με καὶ εἶπέ μοι· ἀκολούθει μοι.

8. Καὶ ἐξελθόντες, ἐπορεύθημεν εἰς τὴν ἔρημον, καὶ διψήσας, εἶπον· Ἀββᾶ, διψῶ. Καὶ λαβὼν τὸ μηλωτάριόν μου, ἀπῆλθεν ὡσεὶ λίθου βολήν, καὶ ποιήσας εὐχήν, ἤνεγκέ μοι αὐτὸ μεστὸν ὕδατος.

9. Καὶ ὁδεύσαντες, ἤλθομεν εἰς τὴν Λυκὼ πρὸς τὸν Ἀββᾶν Ἰωάννην, καὶ ἀσπασάμενοι αὐτόν, ἐποιήσαμεν εὐχήν· εἶτα ἐκάθισαν λαλεῖν περὶ τῆς θεωρίας ἣν εἶδεν ἐν τῇ προσευχῇ ὁ Ἀββᾶς Βησσαρίων, καὶ εἶπεν ὅτι· ἀπόφασις ἐξῆλθεν, ἵνα καθαιρεθῶσι τὰ ἱερά. Ἐγένετο δὲ οὕτω, καὶ καθῃρέθησαν.

10. Παρέβαλεν ὁ Ἀββᾶς Λὼτ τῷ Ἀββᾷ Ἰωσήφ, καὶ λέγει αὐτῷ· Ἀββᾶ, κατὰ δύναμίν μου ποιῶ τὴν μικράν μου σύναξιν, καὶ τὴν μικράν μου νηστείαν καὶ τὴν εὐχήν, καὶ τὴν μελέτην καὶ τὴν ἡσυχίαν· καί, τὸ κατὰ δύναμίν μου, καθαρεύω τοῖς λογισμοῖς· τί οὖν ἔχω ποιῆσαι λοιπόν;

11. Ἀναστὰς οὖν ὁ Γέρων, ἥπλωσε τὰς χεῖρας εἰς τὸν οὐρανόν, καὶ γεγόνασιν οἱ δάκτυλοι αὐτοῦ ὡς δέκα λαμπάδες πυρός· καὶ λέγει αὐτῷ· εἰ θέλεις, γενοῦ ὅλος ὡς πῦρ.

12. Ἦλθέ ποτε ὁ Ἀββᾶς Μωϋσῆς ἀντλῆσαι ὕδωρ, καὶ εὗρε τὸν Ἀββᾶν Ζαχαρίαν εὐχόμενον ἐπὶ τοῦ λάκκου, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καθήμενον ἐπάνω αὐτοῦ.

13. Ἔλεγεν ὁ Ἀββᾶς Ἰάκωβος, ὅτι τις τῶν Γερόντων εἶπεν· ὡς ὅτε ἤμην νεώτερος ἐν τῇ ἐρήμῳ μένων, εἶχον πλησίον παῖδα ἰδίᾳ σχολάζοντα, καὶ ἐπισκοπὴν ποιούμενος· εἶδον αὐτὸν εὐχόμενον, καὶ ἀξιοῦντα τὸν Θεόν, ἵνα εἰρηνεύσῃ μετὰ τῶν θηρίων, καὶ μετὰ τὴν εὐχήν, οὔσης πλησίον ὑαίνης, καὶ θηλαζούσης τὰ ἑαυτῆς παιδία, ὑπέθηκεν ὁ παῖς ἑαυτόν, καὶ ἤρξατο θηλάζειν μετ' ἐκείνων.

14. Πάλιν ἔφη, ὅτι· ἄλλοτε εἶδον αὐτὸν εὐχόμενον, καὶ ἀξιοῦντα τὸν Κύριον καὶ λέγοντα· δός μοι χαρίσματα, Δέσποτα, τῷ πυρὶ φιλιάσαι· καὶ ποιήσας πυρὰν ἐν μέσῳ ταύτης γόνατα ἔκλινε προσευχόμενος.

15. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην, λέγων· πῶς σωθῶ; Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· εἰ βούλει εὐαρεστῆσαι τῷ Θεῷ, ἔκστηθι κόσμου, ἀπόστηθι τῆς γῆς, ἄφες τὴν κτίσιν, καὶ πρὸς τὸν Κτίστην μετάβηθι, καὶ διὰ προσευχῆς καὶ πένθους σύναψον σεαυτὸν τῷ Θεῷ, καὶ εὑρήσεις καὶ ἐν τῷ νῦν αἰῶνι, καὶ ἐν τῷ μέλλοντι ἀνάπαυσιν.

16. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Τιθόη, ὅτι εἰ μὴ ταχέως κατέφερε τὰς χεῖρας αὐτοῦ, ὅτε ἵστατο εἰς προσευχήν, ἡρπάζετο ὁ νοῦς αὐτοῦ ἄνω· εἰ οὖν συνέβη ἀδελφοὺς συνεύχεσθαι αὐτῷ, ἐσπούδαζε ταχέως καταφέρειν τὰς χεῖρας, ἵνα μὴ ἁρπαγῇ ὁ νοῦς αὐτοῦ καὶ χρονίσῃ.

17. Ἔλεγον οἱ Γέροντες ὅτι ἔσοπτρόν ἐστι τοῦ Μοναχοῦ ἡ εὐχή.

18. Ἐγένετό ποτε τὸν Ἀββᾶν Παμβὼ ὁδεύειν μετὰ ἀδελφῶν εἰς τὰ μέρη τῆς Αἰγύπτου, καὶ ἰδὼν κοσμικοὺς καθημένους λέγει αὐτοῖς· ἀναστάντες, ἀσπάσασθε τοὺς Μοναχούς, ἵνα εὐλογηθῆτε, συνεχῶς γὰρ τῷ Θεῷ λαλοῦσι, καὶ τὰ στόματα αὐτῶν ἅγιά εἰσιν.

19. Ἀπῆλθεν ἀδελφός τις εἰς τὸ κελλίον τοῦ Ἀββᾶ Ἀρσενίου εἰς Σκῆτιν, καὶ προσχὼν διὰ τῆς θυρίδος θεωρεῖ τὸν Γέροντα ἑστῶτα εἰς προσευχὴν ὅλον ὡς πῦρ, πάντως δὲ καὶ ὁ ἀδελφὸς ἄξιος ἦν τοῦ ἰδεῖν.

20. Εἶτα κρούσαντος αὐτοῦ, ἐξῆλθεν ὁ Γέρων, καὶ ἰδὼν τὸν ἀδελφὸν ἔκθαμβον λέγει αὐτῷ· ἔχεις πολλὴν ὥραν κρούων; μὴ τίποτε εἶδες; Ὁ δὲ ἔφη· οὐχί, καὶ λαλήσας αὐτῷ ἀπέλυσεν αὐτόν.

21. Γέρων τις εἰς τὰ κάτω μέρη τῆς Αἰγύπτου καθήμενος, ἔλεγεν ἐν ἀφελότητι, ὅτι ὁ Μελχισεδὲκ υἱός ἐστι τοῦ Θεοῦ.

22. Καὶ ἀνηγγέλη τῷ μακαρίῳ Κυρίλλῳ τῷ Ἀρχιεπισκόπῳ Ἀλεξανδρείας περὶ αὐτοῦ· καὶ ἔπεμψεν ἐπ' αὐτόν· εἰδὼς δὲ ὅτι σημειοφόρος ἐστὶν ὁ Γέρων καὶ εἴ τι αἰτεῖ τῷ Θεῷ, ἀποκαλύπτει αὐτῷ, καὶ ὅτι ἐν ἀφελότητι λέγει τὸν λόγον,

ἐχρήσατο τοιαύτῃ σοφίᾳ λέγων· Ἀββᾶ, παρακαλῶ σε, ἐπειδὴ ὁ λογισμὸς λέγει μοι, ὅτι ὁ Μελχισεδὲκ υἱὸς τοῦ Θεοῦ ἐστι, ἄλλος δὲ πάλιν λογισμὸς λέγει μοι, ὅτι οὔ, ἀλλ' ἄνθρωπός ἐστιν Ἀρχιερεὺς τοῦ Θεοῦ, καὶ διστάζων περὶ τούτου, ἀπέστειλα πρὸς σὲ ἵνα δεηθῇς τοῦ Θεοῦ, ὅπως σοι ἀποκαλύψῃ περὶ τούτου.

23. Ὁ δὲ Γέρων, τῇ εἰς Θεὸν αὐτοῦ παρρησίᾳ θαρρῶν, εἶπεν· ἔνδος μοι τρεῖς ἡμέρας, κἀγὼ ἐρωτῶ τὸν Θεὸν περὶ τούτου, καὶ ἀναγγελῶ σοι τίς ἐστιν. Ἀπελθὼν οὖν ἐδέετο τοῦ Θεοῦ ὁ Γέρων ἀποκαλυφθῆναι αὐτῷ περὶ τοῦ ζητήματος τούτου. Καὶ δεξάμενος ἄνωθεν ἀποκάλυψιν, ἦλθε μετὰ τρεῖς ἡμέρας, καὶ εἶπεν αὐτῷ, ὅτι ἄνθρωπός ἐστιν ὁ Μελχισεδέκ.

24. Ὁ δὲ Ἀρχιεπίσκοπος ἠρώτησεν αὐτόν· πῶς οἶδας, Ἀββᾶ; Καὶ ἀπεκρίθη ὁ Γέρων· ὡς ἐδεόμην τοῦ Θεοῦ, ἀπεκάλυψέ μοι ὅλους τοὺς Πατριάρχας, καὶ παρήρχετο ἕκαστος ἐνώπιόν μου ἀπὸ τοῦ Ἀδὰμ ἕως Μελχισεδέκ· καὶ παριόντος ἐκείνου, λέγει μοι ὁ Ἄγγελος· οὗτός ἐστιν ὁ Μελχισεδέκ· θάρσει οὖν ὅτι οὕτως ἐστὶ τὸ ἀληθές. Ἔκτοτε δὲ δι' ἑαυτοῦ ἐκήρυττεν ὁ Γέρων ὅτι ἄνθρωπός ἐστιν ὁ Μελχισεδέκ.

25. Εἰσῆλθε ποτὲ ὁ μαθητὴς τοῦ Ἀββᾶ Σιλουανοῦ Ζαχαρίας καὶ εὗρεν αὐτὸν ἐν ἐκστάσει, καὶ αἱ χεῖρες αὐτοῦ εἰς τὸν οὐρανὸν ἡπλωμέναι καὶ κλείσας τὴν θύραν ἐξῆλθεν· εἰσελθὼν δὲ περὶ ὥραν ἕκτην καὶ ἐνάτην, εὗρεν αὐτὸν οὕτως.

26. Ἐλθὼν δὲ καὶ περὶ ὥραν δεκάτην, εὗρεν αὐτὸν ἡσυχάζοντα καὶ λέγει αὐτῷ· τί ἔχεις σήμερον, Πάτερ; Ὁ δὲ λέγει αὐτῷ· ἠσθένησα σήμερον, τέκνον· ἐκεῖνος δὲ πεσὼν καὶ κρατήσας τοὺς πόδας αὐτοῦ εἶπεν· οὐ μή σε ἐάσω, ἐὰν μὴ εἴπῃς τί εἶδες. Τότε λέγει αὐτῷ ὁ Γέρων· ἐγὼ εἰς τὸν οὐρανὸν ἡρπάγην, καὶ εἶδον τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἐκεῖ ἱστάμην ἕως ἄρτι, καὶ νῦν ἀπελύθην.

27. Ἔλεγον οἱ Γέροντες τῷ Ἀββᾷ Ἠλίᾳ εἰς Αἴγυπτον περὶ τοῦ Ἀββᾶ Ἀγάθωνος, ὅτι καλὸς ἀδελφός ἐστιν. Εἶπε δὲ αὐτοῖς ὁ Γέρων, ὅτι κατὰ τὴν γενεὰν αὐτοῦ καλός ἐστιν.

28 Οἱ δὲ λέγουσιν αὐτῷ· κατὰ δὲ τοὺς ἀρχαίους, τί; Καὶ ἀπεκρίθη αὐτοῖς, ὅτι εἶπον ὑμῖν, ὅτι κατὰ τὴν γενεὰν αὐτοῦ καλός ἐστιν, εἰς δὲ τῶν ἀρχαίων τὰ μέτρα οὐκ ἔφθασεν· ἐγὼ γὰρ ἑώρακα ἄνθρωπον ἐν Σκήτει, ὃς ἠδύνατο διὰ προσευχῆς τὸν ἥλιον στῆσαι ἐν τῷ οὐρανῷ, καθάπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ, οἱ δὲ ἀκούσαντες ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν.

29. Ἔλεγεν ὁ Ἀββᾶς Δουλᾶς, ὁ μαθητὴς τοῦ Ἀββᾶ Βησσαρίωνος, ὅτι ποτὲ ὑπαγόντων ἡμῶν εἴς τινα Γέροντα ἦλθεν ὁ ἥλιος εἰς τὸ δῦναι, καὶ στὰς εἰς προσευχὴν ὁ Γέρων εἶπε· δέομαί σου, Κύριε, στήτω ὁ ἥλιος ἕως οὗ φθάσω εἰς τὸν δοῦλόν σου, καὶ ἐγένετο οὕτως.

30 Ὁ αὐτὸς εἶπεν ὅτι ἄλλοτε πάλιν ὁδευόντων ἡμῶν εἰς ὄχθην τῆς θαλάσσης, ἐδίψησα, καὶ εἶπον τῷ Γέροντι· Ἀββᾶ, διψῶ πάνυ· καὶ ποιήσας εὐχὴν ὁ Γέρων λέγει μοι· πίε ἐκ τῆς θαλάσσης· καὶ ἐγλυκάνθη τὸ ὕδωρ καὶ ἔπιον, ἤντλησα δὲ ἐξ αὐτοῦ εἰς τὸ ἀγγεῖον.

31. Καὶ ἰδὼν ὁ Γέρων λέγει μοι· διατί ἤντλησας; Καὶ εἶπον αὐτῷ· συγχώρησόν μοι, μήποτε παρεκεῖ διψήσω. Ἔφη δὲ ὁ Γέρων· ὁ ὧδε Θεὸς καὶ ἐν παντὶ Θεός ἐστιν.

32. Ἄλλοτε χρείας αὐτῷ γενομένης, ἐποίησεν εὐχὴν καὶ διέβη τὸν χρυσοῤῥόαν πεζῇ καὶ ἀπῆλθεν εἰς τὸ πέραν· ἐμοῦ δέ, φησι, βαλόντος αὐτῷ μετάνοιαν, καὶ εἰπόντος πῶς ᾐσθάνου τοὺς πόδας σου ἐν τῷ περιπατεῖν σε εἰς τὸ ὕδωρ; ἀπεκρίθη ὁ Γέρων· ἕως τῶν ἀστραγγάλων ᾐσθανόμην τοῦ ὕδατος, τὸ δὲ λοιπὸν ἦν στερεόν.

33. Ἀπιὼν ποτε ὁ Ἀββᾶς Ἀμμωνᾶς πρὸς τὸν Ἀββᾶν Ἀντώνιον, ἐπλα-

νήθη τὴν ὁδόν· ηὔξατο δὲ τῷ Θεῷ λέγων· Κύριε ὁ Θεός μου, μὴ ἀπολέσῃς τὸ πλάσμα σου, καὶ εὐθὺς ὤφθη αὐτῷ χεὶρ ἀνθρώπου κρεμαμένη ἀπὸ τοῦ οὐρανοῦ, δεικνύουσα αὐτῷ τὴν ὁδόν, ἕως ἦλθε καὶ ἔστη ἔξωθεν τοῦ σπηλαίου τοῦ Ἀββᾶ Ἀντωνίου.

34. Παρερχόμενός ποτε ὁ Ἀββᾶς Μίλης διά τινος τόπου, εἶδέ τινα κρατούμενον ὡς φόνον ποιήσαντα, καὶ προσεγγίσας ὁ Γέρων ἐπηρώτησε τὸν ἀδελφόν, καὶ μαθὼν ὅτι συκοφαντεῖται, λέγει πρὸς τοὺς κατέχοντας αὐτόν· ποῦ ἐστιν ὁ φονευθείς; Καὶ ὑπέδειξαν αὐτῷ τὸν ἄνθρωπον· παρήγγειλεν οὖν πᾶσι προσεύξασθαι.

35. Ἐκπετάσαντος δὲ αὐτοῦ χεῖρας πρὸς τὸν Θεὸν ἀνέστη ὁ νεκρός. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων ἐπὶ πάντων· εἰπὲ ἡμῖν τίς ἐστιν ὁ φονεύσας σε; Ὁ δὲ ἀποκριθείς, εἶπεν· εἰσελθὼν εἰς τὴν Ἐκκλησίαν, δέδωκα χρήματα τῷ Πρεσβυτέρῳ· ὁ δὲ ἀναστάς, ἔσφαξέ με, καὶ ἀπενέγκας ἔῤῥιψεν εἰς τὸ κελλίον τοῦ Ἀββᾶ τούτου· ἀλλὰ παρακαλῶ ὑμᾶς, ληφθῆναι τὰ πράγματά μου καὶ δοθῆναι τοῖς τέκνοις μου.

36. Εἶπε δὲ πάλιν πρὸς αὐτὸν ὁ Γέρων· ἄπελθε λοιπὸν καὶ κοιμῶ, ἕως ἂν ἐλθὼν ὁ Κύριος ἐγείρῃ σε.

37. Διηγήσατο ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος καὶ εἶπε· καθημένου μου ποτὲ ἐν Σκήτει ἦλθον δύο νεώτεροι ἀπὸ ξένης, καὶ ὁ μὲν εἷς εἶχε γένειον, ὁ δὲ ἕτερος ἀρχὴν ἔβαλε γενείου. Καὶ προσελθόντες εἶπον· Ἀββᾶ, ποῦ ἐστιν ἡ κέλλα τοῦ Ἀββᾶ Μακαρίου; Ἔφη δὲ αὐτοῖς· τί θέλετε αὐτόν; Οἱ δὲ λέγουσιν· ἀκούοντες περὶ αὐτοῦ, ἤλθομεν ἰδεῖν αὐτόν. Καὶ λέγω αὐτοῖς· ἐγώ εἰμι. Καὶ ἔβαλον μετάνοιαν λέγοντες· ὧδε θέλομεν μεῖναι.

38. Ἐγὼ δὲ βλέπων αὐτοὺς τρυφεροὺς καὶ ὡς ἀπὸ πλούτου, εἶπον αὐτοῖς· οὐ δύνασθε καθίσαι ὧδε. Ἀπεκρίθη ὁ μείζων καὶ ἐὰν μὴ δυνάμεθα καθίσαι ὧδε, ὑπάγομεν ἀλλαχοῦ. Ἐγὼ δὲ λέγω πρὸς ἐμαυτόν· διατὶ διώκω αὐτοὺς καὶ σκανδαλίζονται, ὁ κόπος ποιεῖ αὐτοὺς δι' ἑαυτῶν φυγεῖν.

39. Εἶπον οὖν αὐτοῖς· εἰ δύνασθε, δεῦτε ποιήσατε ἑαυτοῖς κελλίον. Καὶ λέγουσι· δεῖξον ἡμῖν τόπον καὶ ποιοῦμεν. Ἔδωκα δὲ αὐτοῖς πέλεκυν καὶ ἀναβολίδιον μεστὸν ψωμίων καὶ ἅλας, καὶ ἔδειξα αὐτοῖς πέτραν σκληράν. Καὶ εἶπον· λατομήσατε ὧδε, καὶ φέρετε ξύλα ἐκ τοῦ ἕλους καὶ στεγάσαντες καθίσατε.

40. Ἠρώτησαν δὲ ἐκεῖνοι, τί ἐργάζονται ὧδε; Καὶ λέγω αὐτοῖς· τὴν σειράν. Καὶ λαμβάνω βαΐα ἐκ τοῦ ἕλους, καὶ δεικνύω αὐτοῖς τὴν ἀρχὴν τῆς σειρᾶς, καὶ πῶς ῥάπτειν δεῖ. Καὶ εἶπον· ποιεῖτε σπυρίδας καὶ παρέχετε τοῖς φύλαξι, καὶ φέρουσιν ὑμῖν ψωμία.

41. Λοιπὸν οὖν ἐγὼ ἀνεχώρησα παραδοὺς αὐτοῖς τὸν κανόνα τοῦ καθίσματος, ἐκεῖνοι δὲ μεθ' ὑπομονῆς πάντα ἐποίησαν ὅσα εἶπον αὐτοῖς, καὶ οὐ παρέβαλόν μοι ἐπὶ τρία ἔτη. Καὶ ἔλεγόν μοι οἱ λογισμοί, τίς ἄρα ἐστὶν ἡ ἐργασία αὐτῶν, ὅτι οὐκ ἦλθον ἐρωτῆσαι λογισμόν; Οἱ ἀπὸ μήκοθεν ἔρχονται πρός με, καὶ οὗτοι οἱ ἐγγὺς οὐκ ἦλθον; Οὐδὲ πρὸς ἄλλον τινὰ ἀπήρχοντο, εἰμὴ μόνον εἰς τὴν Ἐκκλησίαν σιωπῶντες λαβεῖν τὴν προσφοράν.

42. Νηστεύσας οὖν ἑβδομάδα, ηὐξάμην τῷ Θεῷ, ἵνα δείξῃ μοι τὴν ἐργασίαν αὐτῶν καὶ μετὰ τὴν ἑβδομάδα ἀναστὰς ἀπῆλθον πρὸς αὐτοὺς ἰδεῖν πῶς κάθηνται. Καὶ κρούσαντός μου, ἀνέῳξαν καὶ ἠσπάσαντό με σιωπῶντες, καὶ ποιήσας εὐχὴν ἐκάθισα· νεύσας δὲ ὁ μείζων τῷ μικροτέρῳ ἐξελθεῖν, ἐκάθισε πλέκειν τὴν σειράν, λαλήσας μηδέν.

43. Καὶ τῇ ὥρᾳ τῆς ἐνάτης ἔκρουσε, καὶ ἦλθεν ὁ νεώτερος καὶ ἐποίησε μικρὸν ἕψημα, καὶ νεύσαντος αὐτῷ τοῦ μειζοτέρου, παρέθηκε τράπεζαν, καὶ ἔθηκεν εἰς αὐτὴν τρεῖς παξαμάτας καὶ ἔστη σιωπῶν. Ἐγὼ δὲ εἶπα· ἐγείρεσθε φάγωμεν. Καὶ ἀναστάντες ἐφάγομεν, καὶ ἤνεγκαν τὸ βαυκάλιον καὶ ἐπίομεν.

44. Ὡς δὲ ἐγένετο ἑσπέρα, λέγει μοι ὁ εἷς· ὑπάγεις; Ἐγὼ δὲ εἶπον· οὐχί,

ἀλλ' ὧδε κοιμῶμαι. Καὶ ἔθηκάν μοι ψιάθιον παραμέρος, καὶ ἦραν τὰς ζώνας αὐτῶν καὶ τοὺς ἀναλάβους, καὶ ἔθηκαν ἑαυτοὺς ὁμοῦ εἰς τὸ ψιάθιον· ἐγὼ δὲ ηὐξάμην τῷ Θεῷ, ἵνα ἀποκαλύψῃ μοι τὴν ἐργασίαν αὐτῶν.

45. Καὶ ὡς ἐνόμιζον ὅτι κοιμῶμαι, ἐγείρονται, καὶ ἐκτείνουσι τὰς χεῖρας εἰς τὸν οὐρανόν, καὶ εἶδον τοὺς δαίμονας ἐρχομένους ὥσπερ μυίας εἰς τὸ στόμα τοῦ μικροτέρου ἀδελφοῦ, καὶ εἰς τοὺς ὀφθαλμούς. Εἶδον δὲ καὶ Ἄγγελον κατέχοντα ῥομφαίαν πυρὸς καὶ διώκοντα τοὺς δαίμονας, τῷ δὲ μειζοτέρῳ οὐκ ἠδύναντο προσεγγίσαι.

46. Περὶ δὲ τὴν πρωΐαν, ἔθηκαν ἑαυτούς, κἀγὼ ἐποίησα ἐμαυτόν, ὅτι διϋπνίσθην. Καὶ εἶπέ μοι ὁ μείζων· θέλεις βάλωμεν τοὺς δώδεκα ψαλμούς; Ἐγὼ δὲ ἔφην, ναί. Ἤρξατο οὖν ὁ μικρότερος ψάλλων πέντε ψαλμοὺς ἀπὸ ἓξ στίχων, καὶ ἓν ἀλληλούϊα· καὶ κατὰ στίχον, λαμπὰς πυρὸς ἐκ τοῦ στόματος αὐτοῦ ἀνέβαινεν εἰς τὸν οὐρανόν. Ὡσαύτως καὶ ὁ μείζων, ὅτε ἔψαλλεν, ὡς σχοινίον πυρὸς ἐξήρχετο, καὶ ἔφθανεν ἕως τοῦ οὐρανοῦ. Κἀγὼ εἶπον μικρὸν ἀπὸ στήθους.

47. Καὶ ἐξελθὼν εἶπον· εὔξασθε ὑπὲρ ἐμοῦ· οἱ δὲ ἔβαλον μετάνοιαν σιωπῶντες. Καὶ μετὰ μικρὸν ἐκοιμήθη ὁ μειζότερος ἀδελφός, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐκοιμήθη καὶ ὁ μικρότερος.

Ἑρμηνεία

13. Εἰς τὸν πρᾶον ἄνθρωπον ταιριάζει ἡ ἐνασχόλησις μὲ τὰ ζητήματα τῆς πίστεως, διότι ὁ πρᾶος ἄνθρωπος δὲν ἐνοχλεῖ τὴν μακροθυμίαν τοῦ Θεοῦ, καὶ δὲν ἐλέγχεται ὑπὸ τῆς συνειδήσεως ἐξ ἀφορμῆς συνεχῶν παραβάσεων.

Γ'. Τοῦ Ἁγίου Διαδόχου.

ΤΟΥ μὲν ἑνὸς Ἁγίου Πνεύματος χαρίσματα ἥ τε σοφία, καὶ ἡ γνῶσις, ὥς καὶ πάντα τὰ θεῖα χαρίσματα, ἰδίαν δὲ ὥσπερ ἕκαστον τὴν ἐνέργειαν ἔχει· διόπερ ἄλλῳ μὲν δίδοσθαι σοφίαν, ἄλλῳ δὲ γνῶσιν κατὰ τὸ αὐτὸ Πνεῦμα ὁ Ἀπόστολος διαμαρτυρεῖ· ἡ μὲν γὰρ γνῶσις, πείρᾳ συνάπτει τὸν ἄνθρωπον τῷ Θεῷ, εἰς λόγους πραγμάτων τὴν ψυχὴν μὴ κινοῦσα, διὸ καί τινες τῶν τὸν μονήρη βίον φιλοσοφούντων, φωτίζονται μὲν ὑπ' αὐτῆς ἐν αἰσθήσει, εἰς λόγους δὲ θείους οὐκ ἔρχονται.

2. Ἡ δὲ σοφία, εἴπερ μετ' αὐτῆς ἐν φόβῳ δοθῇ τινι, (σπάνιον δὲ τοῦτο), αὐτὰς τὰς ἐνεργείας φανεροῖ τῆς γνώσεως, ἐπειδὴ ἡ μὲν τῇ ἐνεργείᾳ, ἡ δὲ τῷ λόγῳ φωτίζειν εἴωθεν, ἀλλὰ τὴν μὲν γνῶσιν εὐχὴ φέρει καὶ ἡσυχία πολλὴ ἐν ἀμεριμνίᾳ παντελεῖ, τὴν δὲ σοφίαν ἀκενόδοξος μελέτη τῶν λογίων τοῦ Θεοῦ, καὶ πρῶτον πάντων ἡ Χάρις τοῦ διδόντος Θεοῦ.

3. Ὁ πνευματικὸς λόγος, ἀκενόδοξον ἀεὶ τὴν ψυχὴν διατηρεῖ, αἰσθήσει γὰρ φωτὸς ὅλα αὐτῆς τὰ μέλη εὐεργετῶν, ποιεῖ αὐτὴν οὐ χρείαν ἔχειν τῆς ἐξ ἀνθρώπων τιμῆς, διόπερ καὶ ἀφάνταστον ἀεὶ φυλάττει τὴν διάνοιαν, ὥς ἀλλοιῶν αὐτὴν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ.

4. Ὁ δὲ τῆς τοῦ κόσμου σοφίας λόγος, εἰς φιλοδοξίαν ἀεὶ προσκαλεῖται τὸν ἄνθρωπον· ἐπειδὴ γὰρ πείρᾳ αἰσθήσεως εὐεργετεῖν οὐ δύναται, ἔπαίνων φιλίαν τοῖς ἑαυτοῦ χαρίζεται, ὥς πλάσμα ὢν κενοδόξων ἀνθρώπων. Τὴν τοίνυν τοῦ θείου λόγου διάθεσιν ἀπλανῶς ἐπιγνωσόμεθα, εἴπερ ἀμερίμνῳ σιωπῇ τὰς τοῦ λέγειν ὥρας ἀναλίσκομεν ἐν θερμῇ μνήμῃ τοῦ Θεοῦ.

Ἑρμηνεία

ΚΑΙ ἡ σοφία καὶ ἡ γνῶσις, ὅπως καὶ ὅλα τὰ ἄλλα θεῖα χαρίσματα, προέρχονται ἀπὸ τὸ ἴδιον, τὸ ἓν Ἅγιον Πνεῦμα· ἕ-

καστον ὅμως ἐξ αὐτῶν εἶναι, κατά τινα τρόπον, αὐτόνομον καὶ ἔχει ξεχωριστὴν ἐνέργειαν ἐπὶ τῆς ψυχῆς. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον εἰς ἄλλον μὲν ἔχει δοθῆ σοφία, εἰς ἄλλον δὲ γνῶσις, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ αὐτοῦ Ἁγίου Πνεύματος, ὅπως ἐξηγεῖ ὁ θεῖος Παῦλος (Α' Κορ. ιβ' 4—11). Ἡ γνῶσις λοιπὸν συνδέει τὸν ἄνθρωπον μὲ τὸν Θεὸν διὰ τῆς ἐσωτερικῆς ἐμπειρίας, χωρὶς νὰ κινῇ τὴν ψυχὴν εἰς τὴν ἀναζήτησιν τῶν αἰτιῶν τῶν διαφόρων πραγμάτων καὶ νὰ ἐξοπλίζῃ αὐτὴν μὲ τὴν ἐκφραστικὴν δύναμιν τοῦ λόγου· ὡς ἐκ τούτου καὶ μερικοὶ ἐκ τῶν φιλοσόφων τῆς ἐρήμου (τῶν Ἀσκητῶν) φωτίζονται μὲν ἀπὸ τὴν ἔλλαμψιν τῆς Θείας γνώσεως, τῆς ὁποίας τὴν ἐπενέργειαν αἰσθάνονται ἐσωτερικῶς, χωρὶς ὅμως νὰ ἐνασχολοῦνται μὲ θείας καὶ ὑψηλὰς πνευματικὰς διδασκαλίας.

2. Τὸ ἕτερον πάλιν χάρισμα τοῦ Ἁγίου Πνεύματος, ἡ σοφία, ἐφ' ὅσον δοθῆ εἰς κάποιον μαζὶ μὲ τὴν ἐσωτερικὴν γνῶσιν (ἂν καὶ εἶναι σπάνιον τὸ τοιοῦτον), συνοδευομένη καὶ ὑπὸ τοῦ φόβου (τοῦ Θεοῦ) ἀποκαλύπτει αὐτὰς ταύτας τὰς ἐνεργείας τῆς γνώσεως, ἐπειδή, ἐκ φύσεως, ἡ μὲν γνῶσις μὲ τὴν δύναμιν τῆς ἐνεργείας, ἡ δὲ σοφία μὲ τὴν δύναμιν τοῦ λόγου φωτίζουν τὴν ψυχήν. Τὴν γνῶσιν φέρει εἰς τὴν ψυχὴν ἡ δύναμις τῆς προσευχῆς, ἡ πολλὴ ἡσυχία καὶ ἡ παντελὴς ἀμεριμνησία· τὴν σοφίαν πάλιν φέρει ἡ ἀπηλλαγμένη ἀπὸ τὴν κενοδοξίαν μελέτη τῶν λογίων τοῦ Θεοῦ καὶ πρὸ παντὸς ἡ Χάρις Αὐτοῦ προσφέροντος δωρεὰν τὸ χάρισμα τῆς σοφίας Του.

3. Ὁ πνευματικὸς λόγος προστατεύει τὴν ψυχὴν ἀπὸ τὸ πάθος τῆς κενοδοξίας, διότι πλουτίζει ὅλα τὰ μέλη αὐτῆς μὲ τὴν ἐσωτερικὴν αἴσθησιν τοῦ Θείου φωτός, καὶ τὴν καθιστᾷ τόσον εὐτυχῆ, ὥστε νὰ μὴ ἔχῃ ἀνάγκην ἀπὸ τὴν τιμὴν τῶν ἀνθρώπων· ἐξ αἰτίας δὲ αὐτοῦ τοῦ ἐσωτερικοῦ φωτὸς ὁ πνευματικὸς λόγος διαφυλάσσει πάντοτε καὶ τὴν διάνοιαν ἀπὸ τὰς ἐπικινδύνους πλάνας τῆς φαντασίας, διότι τὴν μεταμορφώνει, ὥστε νὰ εἶναι διαρκῶς προσανατολισμένη πρὸς τὴν ἀγάπην τοῦ Θεοῦ.

4. Ἐξ ἀντιθέτου, ὁ λόγος ὁ στηριζόμενος εἰς τὴν κοσμικὴν σοφίαν προκαλεῖ τὸν ἄνθρωπον, ὥστε νὰ ἀγαπᾷ πάντοτε τὴν ματαίαν δόξαν τοῦ παρόντος κόσμου· διότι χαρίζει εἰς τοὺς θαυμαστάς του τὴν φιλίαν τῶν ἐπαίνων, ἐπειδὴ δὲν ἔχει τὴν δύναμιν νὰ εὐεργετήσῃ τὴν ψυχὴν μὲ τὴν ἐσωτερικὴν αἴσθησιν τῆς μυσταγωγικῆς ἐμπειρίας, ἐφ' ὅσον εἶναι δημιούργημα κενοδόξων ἀνθρώπων.

Θὰ διακρίνωμεν λοιπὸν ἀσφαλῶς τὴν μυστικὴν παρουσίαν τοῦ Θείου λόγου εἰς τὴν ψυχήν μας, ἐφ' ὅσον διαθέτομεν τὰς ὥρας τῶν φιλοσοφικῶν συζητήσεων εἰς θερμὴν μνήμην τοῦ Θεοῦ, διὰ σιωπῆς, ἀπηλλαγμένης πάσης κοσμικῆς φροντίδος καὶ σκέψεως (1).

1) Ἡ ἄποψις αὐτὴ ὑπενθυμίζει ἀνάλογον γνώμην τοῦ Γρηγορίου τοῦ Θεολόγου, καθ' ἣν «τὸ θεῖον σιγῇ βιοῦται».

Δ'. Τοῦ 'Αββᾶ Ἰσαάκ.

ΠΑΡΑΦΥΛΑΤΤΟΥ μὴ ἀναγνῶναι τὰ δόγματα τῶν αἱρετικῶν, τοῦτο γάρ ἐστι τὸ ἐρεθίζον, ὡς ἐπὶ τὸ πλεῖστον, κατὰ σοῦ τὸ πνεῦμα τῆς βλασφημίας.

2. Ἐκεῖνός ἐστιν ἀξίως ὀνομαζόμενος συνετός, ὁ ἐν ἀληθείᾳ συνείς, ὅτι τῆς ζωῆς ταύτης ὅρος ἐστί, καὶ σπεύδων ποιῆσαι ὅρον ταῖς πλημμελείαις αὐτοῦ· ποία γὰρ γνῶσις ἢ σύνεσις μείζων ταύτης, τοῦ σοφίσασθαί τινα ἐξελθεῖν ἐκ ταύτης τῆς ζωῆς ἐν ἀφθαρσίᾳ, μὴ ἔχοντα μέλος μεμιασμένον ἐκ τῆς ὀσμῆς τῶν ἐπιθυμιῶν τοῦ κόσμου, μηδὲ ῥύπον ψυχῆς ἐκ τῆς γλυκύτητος αὐτοῦ;

3. Ἄνθρωπος δὲ λεπτύνων τὰ νοήματα αὐτοῦ εἰσελθεῖν εἰς τὰ μυστήρια ὅλων τῶν φύσεων, καὶ πλουτῶν ἐν ἐφευρέσει καὶ κατανοήσει τῶν φαινομένων, τὴν δὲ ψυχὴν ἔχων κεκαλυμμένην τῷ ῥύπῳ τῆς ἁμαρτίας, καὶ μὴ κτησάμενος μαρτυρίαν τινὰ ἐν ἑαυτῷ τοῦ συνειδότος, ἐλπίδι καὶ γεύσει τῶν μελλόντων, ἀλλ' ἐκ τῆς τοῦ κόσμου ἐλπίδος, καὶ τῶν ἐν αὐτῷ γνώσεων δοκῶν φθάσαι καλῶς εἰς τὸν λιμένα τῆς ἐν τελειότητι πεποιθήσεως, ὁ τοιοῦτος πάντων ἀνθρώπων ἐστὶν ἀφρονέστερος, καὶ παρὰ τῶν ὁμοίων ἀνθρώπων συνετὸς ὀνομάζεται.

Ἐρώτησις, τοῦ αὐτοῦ.

4. Τίς ἐστιν ὁ πεφωτισμένος ἐν τοῖς νοήμασιν αὐτοῦ;

Ἀπόκρισις

5. Ὅστις ἔφθασεν εὑρεῖν τὴν πικρίαν τὴν κεκρυμμένην ἐν τῇ γλυκύτητι τοῦ κόσμου καὶ ἐκώλυσε τὸ στόμα αὐτοῦ τοῦ μὴ πιεῖν ἐκ τούτου τοῦ ποτηρίου, καὶ ἀεὶ ἐρευνᾷ περὶ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ, καὶ οὐ παύεται ἐκ τοῦ δρόμου, ἕως ἂν ἐκ τοῦ κόσμου τούτου λυθῇ, καὶ κλείει τὰς θύρας τῶν αἰσθήσεων αὐτοῦ, ἵνα μήποτε δι' αὐτῶν εἰσέλθῃ ἐν αὐτῷ ὁ πόθος τοῦ βίου τούτου, καὶ κλέψῃ τοὺς θησαυροὺς αὐτοῦ.

Ἑρμηνεία

ΠΡΟΣΕΧΕ νὰ μὴ διαβάζῃς τὰ δόγματα τῶν αἱρετικῶν, διότι αὐτὸ παρακινεῖ τὸ πνεῦμα τῆς βλασφημίας νὰ σὲ ἐνοχλῇ.

2. Ὁ πραγματικῶς συνετὸς καὶ μυαλωμένος ἄνθρωπος εἶναι ἐκεῖνος, ποὺ ἀντελήφθη καλῶς, ὅτι ὑπάρχει τέρμα τῆς παρούσης ζωῆς καὶ σπεύδει νὰ θέσῃ καὶ αὐτὸς τέρμα εἰς τὰ σφάλματα καὶ ἐλαττώματά του. Διότι ποία γνῶσις ἢ σύνεσις εἶναι μεγαλυτέρα ἀπὸ αὐτήν, τὸ νὰ σοφισθῇ δηλαδὴ κανεὶς νὰ ἐξέλθῃ τῆς παρούσης ζωῆς πρὸς τὴν αἰωνιότητα, χωρὶς νὰ ἔχῃ φθαρῇ ἀπὸ τὴν ἁμαρτίαν, χωρὶς νὰ ἔχῃ μιανθῇ κανένα μέλος του ἀπὸ τὴν ὀσμὴν τῶν ἐπιθυμιῶν τοῦ κόσμου αὐτοῦ καὶ χωρὶς νὰ ἔχῃ ρυπανθῇ ἡ ψυχή του ἀπὸ τὴν φαινομένην καὶ ἐξωτερικὴν αὐτοῦ γλυκύτητα;

3. Ἄνθρωπος, ποὺ ἔχει ἐκλεπτύνει τὰ διανοήματά του, καὶ κατώρθωσε νὰ κατανοήσῃ ὅλα τὰ μυστήρια τῆς φύσεως, ἐπέτυχε δὲ πολλὰς ἐφευρέσεις καὶ ἡρμήνευσεν ἐπιτυχῶς τὰ διάφορα φαινόμενα, ἐφ' ὅσον ἐξακολουθεῖ νὰ ἔχῃ τὴν ψυχήν του σκεπασμένην ἀπὸ τὸν ρύπον τῆς ἁμαρτίας καὶ δὲν τὸν ἐπληροφόρησεν ἡ συνείδησίς του δι' ἀγαθόν τι, ὁ ἄνθρωπος αὐτός, ποὺ ἐπιδιώκει νὰ κατακτήσῃ τὴν τελειότητα

μὲ τὰς γνώσεις του καὶ τὴν ἐλπίδα τοῦ κόσμου, εἶναι ἀπ᾿ ὅλους ὁ πλέον ἀπερίσκεπτος, διότι οὔτε ποτὲ ἐγεύθη, οὔτε ἐλπίζει εἰς τὰ μέλλοντα ἀγαθά· ὁ τοιοῦτος μόνον ἀπὸ τοὺς ὁμοίους του δύναται νὰ χαρακτηρισθῇ ὡς συνετός.

Ἐρώτησις τοῦ αὐτοῦ

4. Ποῖος εἶναι αὐτός, ποὺ ἔχει φωτισθῆ εἰς τὰς σκέψεις του καὶ τοὺς σκοπούς του;

Ἀπόκρισις

5. Ἐκεῖνος ποὺ ἀνεκάλυψε τὴν πικρίαν, ἡ ὁποία κρύπτεται εἰς τὴν γλυκύτητα τοῦ κόσμου καὶ ἠμπόδισε τὸ στόμα του ὥστε νὰ μὴ πίῃ ἀπὸ τὸ ποτήρι αὐτό· ἐκεῖνος ποὺ πάντοτε φροντίζει διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του καὶ δὲν σταματᾷ τὸν δρόμον τῆς ἀσκήσεως καὶ τῆς ἀρετῆς μέχρις ὅτου φύγῃ ἀπὸ τὸν κόσμον αὐτόν, αὐτός—τέλος—ποὺ κλείει τὰς θύρας τῶν αἰσθήσεών του, διὰ νὰ μὴ εἰσέλθῃ ποτέ, δι᾿ αὐτῶν, ὁ πόθος τοῦ παρόντος βίου καὶ κλέψῃ τοὺς θησαυρούς του.

Ε΄. Τοῦ Ἁγίου Ἐφραίμ.

ΑΔΕΛΦΕ, οὐκ ἐν πολυμαθίᾳ γραμμάτων ἐστὶν ἡ σοφία, ἀλλὰ καθὼς γέγραπται: ἀρχὴ σοφίας φόβος Κυρίου· τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς· πίστις γὰρ τίκτει διάνοιαν ἀγαθήν, διάνοια δὲ ἀγαθὴ ποταμὸς ὕδατος ζῶντος, καὶ ὁ κτησάμενος αὐτήν, ἐμπλησθήσεται τῶν ὑδάτων αὐτῆς.

2. Οὐκ ἔστι σοφία, οὐκ ἔστι φρόνησις ἔνθα φόβος Κυρίου οὐχ ὑπάρχει· πλησμονὴ γὰρ σοφίας, τὸ φοβεῖσθαι τὸν Κύριον, Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ἡ σοφία δὲν εὑρίσκεται εἰς τὰς πολλὰς γνώσεις καὶ τὰ πολλὰ γράμματα, ἀλλ᾿ ὅπως λέγει ἡ Ἁγία Γραφή· «ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις, τὸ γὰρ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς» (Παρ. θ΄ 10). Εἶναι ὀρθὸν αὐτό, διότι ἡ πίστις εἰς τὸν Θεὸν γεννᾷ ἀγαθὴν διάνοιαν, ἡ δὲ ἀγαθὴ διάνοια εἶναι ποταμὸς ὕδατος ζῶντος, καὶ αὐτὸς ποὺ τὴν ἀπέκτησε, θὰ γεμίσῃ ἀπὸ τὰ εὐεργετικὰ καὶ ζωογόνα αὐτῆς ὕδατα.

2. Δὲν δύναται νὰ ὑπάρξῃ πραγματικὴ σοφία, οὔτε φρόνησις, ἐκεῖ ποὺ δὲν ὑπάρχει φόβος Κυρίου· διότι ὁ πλοῦτος τῆς σοφίας εἶναι νὰ σέβεσαι τὸν Κύριον, εἰς τὸν ὁποῖον ἀνήκει πάντοτε ἡ δόξα. Ἀμήν.

+ Ματαιότης ματαιοτήτων τὰ πάντα ματαιότης ∴

ὙΠΟΘΕϹΙϹ ΙΘʹ

Ὅτι κατὰ τῶν πιστῶν οὐδὲν οἱ δαίμονες δύνανται, διὸ δεῖ καταφρονεῖν αὐτῶν καὶ μὴ δειλιᾶν μηδὲ προσέχειν ὅλως αὐτοῖς, εἴ τι ἂν καὶ ποιῶσι· πῶς τε τὴν ὀπτασίαν τῶν πονηρῶν καὶ τῶν ἀγαθῶν διακρίνει τις, πολλάκις γὰρ καὶ φαντασίας δεικνύουσι πρὸς πλάνην τῶν ἁπλουστέρων, καὶ τὴν ψυχὴν παρακαλοῦσι· τίς τε ἡ θεία, καὶ τίς ἡ δαιμονιώδης.

Τίποτε δὲν ἠμποροῦν νὰ κάμουν οἱ δαίμονες ἐναντίον τῶν πιστῶν· δι' αὐτὸ πρέπει νὰ τοὺς καταφρονῶμεν, νὰ μὴ δειλιάζωμεν ἐξ αἰτίας των, καὶ νὰ μὴ τοὺς δίδωμεν καμμίαν σημασίαν, ὅ,τι καὶ ἂν κάμουν. Πῶς πρέπει νὰ διακρίνῃ ὁ ἄνθρωπος μίαν ὀπτασίαν, ἐὰν δηλαδὴ προέρχεται ἀπὸ τοὺς δαίμονας ἢ ἀπὸ τοὺς Ἀγγέλους, διότι πολλὰς φορὰς οἱ δαίμονες δεικνύουν καὶ φαντασίας διὰ νὰ πλανήσουν τοὺς ἁπλουστέρους καὶ παρηγοροῦν τὴν ψυχήν. Ποία εἶναι ἡ θεία καὶ ποία ἡ σατανικὴ ὀπτασία.

Αʹ. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου.

ΕΛΕΓΕΝ ὁ Ἅγιος Ἀντώνιος πρὸς τοὺς ἑαυτοῦ μαθητάς, ὅτι οὐ δεῖ φοβεῖσθαι τοὺς δαίμονας, κἂν ἐπέρχεσθαι δοκῶσι, κἂν θάνατον ἀπειλῶσιν, ἀσθενεῖς γάρ εἰσι, καὶ οὐδὲν δύνανται εἰμὴ μόνον ἀπειλεῖν· ἐπιδημήσαντος γὰρ τοῦ Κυρίου, πέπτωκεν ὁ ἐχθρὸς καὶ ἠσθένησαν αἱ δυνάμεις αὐτοῦ.

2. Διὰ τοῦτο γὰρ ὡς ἀσθενήσας καὶ μηδὲν δυνάμενος, μόνον ὡς τύραννος καὶ πεσὼν οὐκ ἠρεμεῖ, ἀλλὰ κἂν λόγοις ἀπειλῇ, καὶ τοῦτο ἕκαστος ὑμῶν οὕτω λογιζέσθω, καὶ δύναται καταφρονεῖν τῶν δαιμόνων.

3. Εἰ μὲν οὖν τοιούτοις σώμασιν ἦσαν ἐνδυθέντες, ὥσπερ ἐσμὲν ἡμεῖς, δυνατὸν ἦν αὐτοῖς λέγειν, ὅτι κρυπτομένους μὲν τοὺς ἀνθρώπους οὐχ εὑρίσκομεν, εὑρόντες δὲ ἐβλάπτομεν ἄν· ἠδυνάμεθα δὲ καὶ ἡμεῖς λανθάνειν αὐτοὺς κρυπτόμενοι, κλείοντες κατ' αὐτῶν τὰς θύρας.

4. Οἱ δέ, οὐκ εἰσὶν οὕτως, ἀλλὰ κεκλεισμένων τῶν θυρῶν εἰσελθεῖν δύνανται καὶ ἐν τῷ παντὶ ἀέρι τυγχάνουσιν αὐτοί τε καὶ ὁ τούτων πρῶτος διάβολος. Εἰσὶ δὲ καὶ κακοθελεῖς, καὶ εἰς τὸ βλάπτειν ἕτοιμοι, καὶ ὡς εἶπεν ὁ Σωτὴρ ἐξ ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν ὁ τῆς κακίας πατὴρ διάβολος.

5. Ζῶμεν δὲν νῦν ἡμεῖς καὶ μᾶλλον κατ' αὐτῶν πολιτευόμεθα· δειλοὶ γάρ εἰσι μηδὲν ἰσχύοντες, ὅτι οὔτε τόπος αὐτοὺς εἰς τὸ ἐπιβουλεύειν κωλύει, οὔτε ὡς φίλους ἡμᾶς ὁρῶσιν, ἵνα φείσωνται, οὔτε φιλάγαθοί εἰσιν ἵνα διορθώσωνται.

6. Ἀλλὰ μᾶλλον καὶ μᾶλλον εἰσὶ πονηροί, καὶ οὐδὲν αὐτοῖς ἄλλο ἐστὶ περισπούδαστον, ὡς τὸ βλάπτειν τοὺς φιλαρέτους καὶ θεοσεβοῦντας· διὰ δὲ τὸ μὴ δύνασθαί τι ποιεῖν, διὰ τοῦτο οὐδὲν ποιοῦσιν, ἢ μόνον ἀπειλοῦσιν· εἰ γὰρ ἠδύναντο, οὐκ ἂν ἔμελον, ἀλλ' εὐθὺς ἐνήργουν τὸ κακόν, ἑτοίμην ἔχοντες εἰς τοῦτο τὴν προαίρεσιν, καὶ μάλιστα καθ' ἡμῶν.

7. Ἰδοὺ γὰρ καὶ νῦν συνελθόντες κατ' αὐτῶν λαλοῦμεν, καὶ οἴδασιν ὅτι προκοπτόντων ἡμῶν ἀσθενοῦσιν αὐτοί· εἰ εἶχον ἐξουσίαν τοίνυν, οὐδένα ἂν ἀφῆκαν ἡμῶν τῶν Χριστιανῶν ζῆν, βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια· ἐπειδὴ δὲ οὐ δύνανται, διὰ τοῦτο μᾶλλον ἑαυτοὺς τιτρώσκουσιν, ὅτι οὐδὲν δύνανται ποιεῖν, ὧν ἀπειλοῦσι.

8. Κἀκεῖνο δὲ λογίζεσθαι χρὴ πρὸς τὸ μὴ φοβεῖσθαι αὐτούς, ὅτι εἰ δυνατὸν ἦν αὐτοῖς, οὐκ ἐπήρχοντο μετὰ τῶν ὄχλων τοῖς καθ' ἡσυχίαν οὖσιν, οὐδὲ φαντασίαν ἐποίουν, οὐδὲ μετασχηματιζόμενοι ἐμεθόδευον, ἀλλ' ἤρκει ἕναν μόνον ἐλθεῖν καὶ ποιῆσαι τοῦτο, ὅπερ δύναται καὶ βούλεται, καὶ μάλιστα ὅτι πᾶς ὁ ἐξουσίαν ἔχων, οὐ μετὰ φαντασίας ἀναιρεῖ, οὐδὲ τοῖς ὄχλοις ἐκφοβεῖ, ἀλλ' εὐθέως ὡς βούλεται τῇ ἐξουσίᾳ κατακέχρηται.

9. Οἱ δὲ δαίμονες μηδὲν δυνάμενοι παίζουσιν ὡς ἐπὶ σκηνῆς, ἀλλάττοντες τὰς μορφάς, καὶ τοὺς παῖδας ἐκφοβοῦντες τῇ τῶν ὄχλων φαντασίᾳ καὶ τοῖς σχηματισμοῖς, ἐξ οὗ μᾶλλον καταφρονητέοι ὡς ἀσθενεῖς δείκνυνται.

10. Ὁ γοῦν ἀληθινὸς Ἄγγελος ὁ ἀποσταλεὶς παρὰ Κυρίου κατὰ τῶν Ἀσσυρίων, οὐ χρείαν εἶχεν ὅπλων, οὐ φαντασίας ἔξωθεν, οὐκ ὄχλου, οὐ κτύπων, οὐ κρότων, ἀλλ' ἠρέμα τῇ ἐξουσίᾳ ἐκέχρητο, καὶ ἀνεῖλεν εὐθὺς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. Οἱ δὲ μηδὲν δυνάμενοι, οἷοι εἰσὶν οἱ δαίμονες, οὗτοι κἂν ταῖς φαντασίαις πειράζουσιν ἐκφοβεῖν.

11. Καὶ κατὰ τοῦ Ἰὼβ δὲ οὐκ ἦν ὁ διάβολος ὁ ἰσχύων, ἀλλ' ὁ Θεὸς ὁ παραδοὺς αὐτῷ πρὸς πεῖραν τὸν Ἰώβ, ἀμέλει μὴ δυνάμενος ποιῆσαι, ᾔτησε καὶ λαβὼν πεποίηκεν· εἰ γὰρ μὴ ἔλαβεν, οὐκ ἂν ἴσχυσεν· ὅπου γε οὐδὲ κατὰ τῶν κτηνῶν αὐτοῦ ἠδυνήθη ἄν, εἰ μὴ συγχωρήσας ἦν ὁ Θεός.

12. Ἀλλ' οὐδὲ κατὰ χοίρων ἔχει τὴν ἐξουσίαν, πολλῷ μᾶλλον κατὰ ἀνθρώπων τῶν κατ' εἰκόνα Θεοῦ γεγονότων· παρεκάλουν γὰρ τὸν Κύριον, ὡς ἐν τῷ Εὐαγγελίῳ γέγραπται, λέγοντες· ἐπίτρεψον ἡμῖν ἀπελθεῖν κἂν εἰς τοὺς χοίρους· εἰ δὲ μὴ κατὰ χοίρων ἔχουσιν ἐξουσίαν, πολλῷ μᾶλλον κατὰ ἀνθρώπων τῶν κατ' εἰκόνα Θεοῦ γεγονότων.

13. Τὸν Θεὸν ἄρα δεῖ φοβεῖσθαι. τούτων δὲ καταφρονεῖν· ἀλλὰ καὶ μᾶλλον, ὅσῳ περ ἂν ταῦτα ποιῶσιν, ἐπιτείνωμεν ἡμῶν τὴν ἄσκησιν. Μέγα γὰρ ὅπλον ἐστὶ κατ' αὐτῶν βίος ὀρθὸς καὶ ἡ πρὸς τὸν Θεὸν πίστις· φοβοῦνται γοῦν τῶν Ἀσκητῶν τὴν νηστείαν, τὴν ἀγρυπνίαν, τὴν εὐχήν, τὸ πρᾶον, τὸ ἥσυχον, τὸ ἀφιλάργυρον, τὸ ἀκενόδοξον, τὴν ταπεινοφροσύνην, τὸ φιλόπτωχον, τὰς ἐλεημοσύνας, τὸ ἀόργητον, καὶ προηγουμένως τὴν εἰς Χριστὸν εὐσέβειαν.

14. Διὰ τοῦτο γὰρ καὶ πάντα ποιοῦσιν, ἵνα μὴ ἔχωσι τοὺς πατοῦντας αὐτούς· ἴσασι γὰρ τὴν κατ' αὐτῶν δοθεῖσαν Χάριν τοῖς πιστοῖς παρὰ τοῦ Σωτῆρος λέγοντος αὐτοῖς· «Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ».

15. Εἴποτε οὖν ἐπέλθωσιν ὑμῖν νυκτός, σφραγίζετε ἑαυτούς, καὶ τὸν οἶκον, καὶ εὔχεσθε, καὶ ὄψεσθε τούτους γινομένους ἀφανεῖς· δειλοὶ γάρ εἰσι καὶ πάνυ φοβοῦνται τὸ σημεῖον τοῦ Κυριακοῦ Σταυροῦ, ἐπειδήπερ ἀποδυσάμενος ἐν αὐτῷ τούτους παρεδειγμάτισεν ὁ Σωτήρ· ἂν δὲ ἀναιδέστερον ἐνστήκωσιν ἐξορχούμεμενοι, καὶ ποικιλλόμενοι ταῖς φαντασίαις, μὴ δειλιάσητε, μηδὲ πτήξητε, οὐδὲν γάρ εἰσιν, ἀλλὰ ταχέως ἀφανίζονται.

16. Πολλάκις δὲ ψάλλειν μετ' ᾠδῆς προσποιοῦνται μὴ φαινόμενοι, καὶ μνημονεύουσι τῶν ἀπὸ τῶν Γραφῶν λέξεων, καὶ κοιμωμένους ἡμᾶς ἐγείρουσιν εἰς προσευχήν, καὶ σχεδὸν μήτε κοιμᾶσθαι ἡμᾶς συγχωροῦσιν· ἀλλ' οὐ χρὴ προσέχειν αὐτοῖς κἂν συμβουλεύωσι μηδόλως ἐσθίειν, κἂν κατηγορεῖν καὶ ὀνειδίζειν προσποιοῦνται, ἐν οἷς ποτε συνέγνωσαν ἡμῖν. Οὐδὲ γὰρ δι' εὐλάβειαν, ἢ ἀλήθειαν τοῦτο ποιοῦσιν, ἀλλ' ἵνα τοὺς ἀκεραίους εἰς ἀπόγνωσιν φέρωσι, καὶ ἀνωφελῆ τὴν ἄσκησιν εἴπωσι, ναυτιάσαι τε ποιήσωσι τοὺς ἀνθρώπους, ὡς φορτικοῦ καὶ βα-

ρυτάτου ὄντος τοῦ μονήρους βίου, καὶ ἐμποδίσωσι τοὺς κατ' αὐτῶν πολιτευομένους.

17. Διὰ τοῦτο ὁ Κύριος, καίτοι ἀληθῆ λέγοντας τοὺς δαίμονας, ἀληθῆ γὰρ ἔλεγον, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, ὅμως ἐφίμου, καὶ λαλεῖν ἐκώλυε, μήποτε μετὰ τῆς ἀληθείας καὶ τὴν ἰδίαν κακίαν ἐπισπείρωσι καὶ ἵνα καὶ ἡμᾶς συνετίσῃ μηδέποτε τοῖς τοιούτοις προσέχειν· καὶ γὰρ ἀπρεπὲς ἔχοντας ἡμᾶς τὰς Γραφάς, καὶ τὴν παρὰ τοῦ Σωτῆρος ἔλευσιν, διδάσκεσθαι ὑπὸ τοῦ διαβόλου, τοῦ μὴ τηρήσαντος τὴν ἰδίαν τάξιν, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων φρονήσαντος. Διὰ τοῦτο καὶ λαλοῦντα τοῦτον τὰς τῶν Γραφῶν λέξεις, κωλύει λέγων· «τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;».

18. Πάντα γὰρ ποιοῦσι καὶ λαλοῦσι, καὶ θορυβοῦσι, καὶ πράττουσι καὶ ὑποκρίνονται, πρὸς ἀπάτην τῶν ἀκεραίων, κτύπους ποιοῦσι, καὶ κροτοῦσι, καὶ γελῶσιν ἀφρόνως, καὶ συρίττουσιν· ἐὰν δὲ μηδεὶς αὐτοῖς προσέχῃ, λοιπὸν κλαίουσιν ὡς ἡττηθέντες.

19. Ὁ μὲν οὖν Κύριος ἐφίμου τοὺς δαίμονας, ἡμεῖς δὲ μαθόντες ἀπὸ τῶν Ἁγίων, πρέπει κατ' ἐκείνους ποιεῖν, καὶ μιμεῖσθαι τὴν ἀνδρείαν αὐτῶν, καὶ γὰρ κἀκεῖνοι ταῦτα βλέποντες ἔλεγον· «ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν»· καὶ πάλιν, «ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ ἐγενήθην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων».

20. Οὐκοῦν καὶ ἡμεῖς μήτε ἀκούωμεν αὐτῶν, ὡς ἀλλοτρίων ὄντων ἡμῶν, μήτε ὑπακούωμεν αὐτῶν, κἂν εἰς προσευχὴν ἐγείρωσι καὶ λαλῶσι περὶ νηστείας· τῇ προθέσει δὲ τῆς ἀσκήσεως ἡμῶν προσέχωμεν, καὶ μὴ παρ' ἐκείνων ἀπατώμεθα πάντα πραττόντων μετὰ δόλου, μηδὲ ὡς καλοῖς αὐτοῖς προσέχωμεν, καὶ γὰρ τήν τε τῶν φαύλων καὶ τῶν ἀγαθῶν παρουσίαν εὐχερὲς καὶ δυνατόν ἐστι, τοῦ Θεοῦ διδόντος, διαγνῶναι.

21. Ὅτι ἡ μὲν τῶν Ἁγίων ὀπτασία οὐκ ἔστι τεταραγμένη· «οὐ κεκράξεται γάρ, φησιν, οὐδὲ κραυγάσει, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ» Ἡσύχως δὲ καὶ πράως γίνεται οὕτως, ὡς εὐθὺς χαρὰν καὶ ἀγαλλίασιν γίνεσθαι καὶ θάρσος τῇ ψυχῇ· ἔστι γὰρ μετ' αὐτῶν ὁ Κύριος, ὅς ἐστιν ἡμῶν μὲν χαρά τοῦ δὲ Θεοῦ Πατρὸς ἡ δύναμις· οἵ τε λογισμοὶ αὐτῆς ἀτάραχοι καὶ ἀκύμαντοι διαμένουσιν, ὥστε αὐγαζομένην αὐτήν, δι' ἑαυτῆς τοὺς φαινομένους θεωρεῖν, καὶ γὰρ πόθος τῶν θείων καὶ τῶν μελλόντων αὐτῇ ἐπεισέρχεται, καὶ θελήσει πάντως συναφθεῖσα τούτοις, εἰ ἀπήρχετο μετ' αὐτῶν.

22. Ἐὰν δὲ καὶ ἄνθρωποί τινες φοβηθῶσι τὴν τῶν καλῶν ὀπτασίαν, ἀφαιροῦσιν οἱ φαινόμενοι τὸν φόβον πάραυτα τῇ ἀγάπῃ, ὡς ἐποίησε Γαβριὴλ τῷ Ζαχαρίᾳ καὶ ὁ φανεὶς Ἄγγελος ἐν τῷ θείῳ μνημείῳ ταῖς γυναξί, καὶ ὁ τοῖς ποιμέσι, λέγων ἐν τῷ Εὐαγγελίῳ· μὴ φοβεῖσθε· ἔστι γὰρ ὁ φόβος ἐκείνων, οὐ κατὰ δειλίαν ψυχῆς, ἀλλὰ κατ' ἐπίγνωσιν τῆς τῶν κρειττόνων παρουσίας.

23. Τοιαύτη μὲν ἡ τῶν Ἁγίων ὀπτασία· ἡ δὲ τῶν φαύλων ἐπιδρομὴ μετὰ κτύπου, καὶ ἤχου, καὶ κραυγῆς, οἷα ἂν γένοιτο νεωτέρων ἀπαιδεύτων, καὶ ληστῶν κινήματα, ἐξ ὧν εὐθὺς γίνεται δειλία, ψυχῆς τάραχος, καὶ ἀταξία, λογισμῶν κατήφεια, μῖσος πρὸς τοὺς Ἀσκητάς, ἀκηδία, λύπη τῶν οἰκείων, καὶ φόβος θανάτου, καὶ λοιπῶν ἐπιθυμία κακῶν, καὶ ὀλιγωρία πρὸς τὴν ἀρετήν, καὶ τοῦ ἤθους ἀκαταστασία.

24. Ὅταν τοίνυν θεωρήσαντές τινας φοβηθῆτε, ἂν μὲν ὁ φόβος εὐθὺς ἀφαιρεθῇ, καὶ ἀντ' ἐκείνου γένηται χαρὰ ἀνεκλάλητος καὶ εὐθυμία, καὶ θάρσος, καὶ ἀνάκτησις, καὶ τῶν λογισμῶν ἀταραξία, καὶ τὰ ἄλλα ὅσα προεῖπον, ἀνδρεία τε καὶ ἀγάπη εἰς τὸν Θεόν, θαρσεῖτε καὶ εὔχεσθε· ἡ γὰρ χαρά, καὶ ἡ κατάστασις τῆς ψυχῆς δείκνυσι τῶν παρόντων τὴν ἁγιότητα. Οὕτως Ἀβραὰμ ἰδὼν ἠγαλλιάσατο, καὶ γενομένης τῆς φωνῆς παρὰ τῆς Θεοτόκου Μαρίας, ἐσκίρτησεν ἐν ἀγαλ-

λιάσει τὸ βρέφος, καὶ τὰ λοιπὰ ἅπερ ἔφην.

25. Ἂν ἐπιμένῃ δέ τινων ἡ ψυχὴ δειλιῶσα, παρουσία ἐχθρῶν ἐστιν, οὐ γὰρ ἀφαιροῦνται τὴν δειλίαν ἀπὸ τῶν τοιούτων οἱ δαίμονες, ὥσπερ οἱ Ἅγιοι ποιοῦσιν, ἀλλὰ μᾶλλον ὅταν ἴδωσι δειλιῶντας, αὐξάνουσι τὰς φαντασίας, ἵνα μειζόνως αὐτοὺς καταπτήξωσι, καὶ λοιπὸν ἐπιβάντες, προσπαίξωσι λέγοντες, πεσόντες προσκυνήσατε.

26. Τοὺς μὲν Ἕλληνας οὕτως ἠπάτησαν, καὶ ἐνομίσθησαν παρ' αὐτοῖς θεοί, ἡμᾶς δὲ οὐκ ἀφῆκεν ὁ Κύριος ἀπατηθῆναι παρὰ τοῦ διαβόλου ἐπιτιμήσας αὐτῷ ἡνίκα τὰς τοιαύτας φαντασίας καὶ πρὸς Ἐκεῖνον ἐποίει, ἵνα καὶ Αὐτὸν ὡς ᾤετο καταπτήξῃ, εἰπών· «ὕπαγε ὀπίσω μου, σατανᾶ, γέγραπται γὰρ Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ Αὐτῷ μόνῳ λατρεύσεις»· ὃ γὰρ εἴρηκεν ὁ Κύριος, τοῦτο ὑπὲρ ἡμῶν πεποίηκεν, ἵνα ἀκούοντες οἱ δαίμονες τὰς τοιαύτας φωνάς, ἀνατρέπονται διὰ τὸν Κύριον τὸν ἐν αὐταῖς αὐτοῖς ἐπιτιμήσαντα.

27. Ἔκρουσέ ποτέ τις ἐν τῇ κέλλῃ τὴν ἐμὴν θύραν, καὶ ἐξελθών, εἶδον τινὰ μακρὸν καὶ ὑψηλὸν φαινόμενον, εἶτα πυθομένῳ μοι· τίς εἶ; ἔφη· ἐγώ εἰμι ὁ σατανᾶς, εἶτα εἰπόντος ἐμοῦ· τί οὖν ἐνταῦθα πάρει; ἔλεγεν ἐκεῖνος· τί μέμφονταί με μάτην οἱ Μοναχοί; καὶ οἱ ἄλλοι πάντες Χριστιανοί; τί με καταρῶνται καθ' ὥραν;

28. Ἐμοῦ δὲ εἰπόντος· τί γὰρ αὐτοῖς ἐνοχλεῖς; ἔφη· οὐκ εἰμὶ ἐγώ, ἀλλ' αὐτοὶ ταράσσουσιν ἑαυτούς, ἐγὼ γὰρ ἀσθενὴς γέγονα, οὐκ ἀνέγνωσαν ὅτι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες; οὐκέτι τόπον ἔχω οὐ βέλος, οὐ πόλιν, πανταχοῦ Χριστιανοὶ γεγόνασι, καὶ ἡ ἔρημος δὲ πεπλήρωται Μοναχῶν. Λοιπὸν ἑαυτοὺς τηρείτωσαν, καὶ μὴ μάτην ἐμὲ καταράσθωσαν.

29. Τότε θαυμάσας ἐγὼ τοῦ Χριστοῦ τὴν Χάριν, εἶπον αὐτῷ· ἀεὶ ψεύστης ὤν, καὶ μὴ θέλων νῦν εἴρηκας τὴν ἀλήθειαν· ὁ γὰρ Χριστὸς ἐλθὼν ἀσθενῆ σε πεποίηκε, καὶ καταβαλὼν ἐγύμνωσεν. Ἀκούσας δὲ ἐκεῖνος τὸ τοῦ Σωτῆρος ὄνομα, καὶ μὴ φέρων τὴν ἐκ τούτου καῦσιν, γέγονεν ἀφανής.

30. Εἰ τοίνυν καὶ αὐτὸς ὁ διάβολος ὁμολογεῖ μηδὲν δύνασθαι, ὀφείλομεν παντελῶς καταφρονεῖν αὐτοῦ τε καὶ τῶν δαιμόνων αὐτοῦ. Μὴ οὖν καταπίπτωμεν τῇ διανοίᾳ, μηδὲ λογιζώμεθα ἐν τῇ ψυχῇ δειλίας, μηδὲ ἀναπλάττωμεν ἑαυτοῖς φόβους λέγοντες, μὴ ὁ δαίμων ἐλθὼν ἀνατρέψῃ με, μὴ διαβαστάξας καταβάλῃ, ἢ ἐξαίφνης ἐπιστὰς ἐπιταράξῃ.

31. Μηδόλως ἐνθυμώμεθα τοιαῦτα, μηδὲ λυπώμεθα ὡς ἀπολλύμενοι, θαῤῥῶμεν δὲ μᾶλλον καὶ χαίρωμεν ὡς σῳζόμενοι, καὶ λογιζώμεθα τῇ ψυχῇ, ὅτι ὁ Κύριος μεθ' ἡμῶν ἐστιν, ὁ τροπώσας καὶ καταργήσας αὐτούς, καὶ ἐνθυμώμεθα ἀεί, ὅτι ὄντος τοῦ Κυρίου μεθ' ἡμῶν, οὐδὲν ἡμῖν οἱ ἐχθροὶ ποιῆσαι δύνανται.

32. Ἐλθόντες οὖν, εἰ ἐν τοῖς τοιούτοις εὕρωσιν ἠσφαλισμένην τὴν ψυχὴν καὶ λογιζομένην περὶ τῶν μελλόντων ἀγαθῶν, ἀποστρέφονται κατῃσχυμμένοι· εἰ δὲ δειλιῶντας εὕρωσι καὶ ταραττομένους, καὶ φόβους ἐν ἑαυτοῖς ἀναπλάττοντας, καὶ αὐτοὶ αὐξάνουσι τὰς δειλίας ἐν ταῖς φαντασίας καὶ ταῖς ἀπειλαῖς, καὶ ὅπερ ἐφ' ἑαυτοῖς λογιζόμεθα, τοῦτο μετὰ προσθήκης ἐκεῖνοι ποιοῦσιν.

33. Ἡμεῖς οὖν, εἰ θέλομεν καταφρονεῖν τοῦ ἐχθροῦ, ὡς πολλάκις εἶπον, λογιζώμεθα τὰ τοῦ Κυρίου, καὶ χαιρέτω ἀεὶ ἡ ψυχὴ ἐν τῇ ἐλπίδι, καὶ ὀψόμεθα ὡς καπνὸν τὰ τῶν δαιμόνων παίγνια, καὶ μᾶλλον φεύγοντας αὐτοὺς ἢ διώκοντας· εἰσὶ γὰρ οὗτοι λίαν, καθὰ προεῖπον, δειλοί, προσδοκῶντες ἀεὶ τὸ ἡτοιμασμένον αὐτοῖς πῦρ.

34. Καὶ τοῦτο δὲ πρὸς ἀφοβίαν ἔχετε παρ' ἑαυτοῖς τὸ τεκμήριον· ὅταν τις φαντασία γένηται, μὴ προκαταπιπτέτω τις ἐν δειλίᾳ, ἀλλ' ὁποία ἐὰν ᾖ, θαῤῥῶν ἐρωτάτω πρῶτον· τίς εἶ σύ; καὶ πόθεν; κἂν μὲν ᾖ Ἁγίων ὀπτασία, πληροφοροῦσί σε, καὶ τὸν φόβον σου εἰς χαρὰν μεταβάλλουσιν· ἐὰν δὲ διαβολική τις ᾖ, ἐξασθενεῖ βλέπουσα ἐῤῥωμένην τὴν διάνοιαν.

35. Ἀταραξίας γὰρ τεκμήριον τὸ ὅλως πυνθάνεσθαι τίς εἶ, καὶ πόθεν; Οὕτως ὁ μὲν Ἰησοῦς τοῦ Ναυῆ ἐρωτήσας ἔμαθεν, ὁ δὲ ἐχθρὸς οὐκ ἔλαθεν ἐρωτήσαντα τὸν Δανιήλ.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Ἀντώνιος ἔλεγε πρὸς τοὺς μαθητάς του:
—Τέκνα μου, δὲν πρέπει νὰ φοβῆσθε τοὺς δαίμονας, καὶ ἐὰν ἀκόμη φαίνωνται ὡς νὰ ἐπιτίθενται, καὶ ἐὰν μᾶς ἀπειλοῦν μὲ θάνατον· διότι εἶναι ἀσθενεῖς καὶ τίποτε δὲν ἠμποροῦν νὰ κατορθώσουν, παρὰ μόνον νὰ ἀπειλοῦν. Μετὰ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Κυρίου κατέρρευσε πλέον ὁ ἐχθρὸς καὶ ἐξησθένησαν αἱ δυνάμεις του.

2. Ἐξ αἰτίας λοιπὸν αὐτοῦ τοῦ μεγάλου θαύματος, τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος, ὁ διάβολος ἐξεμηδενίσθη καὶ παραμένει ἀσθενὴς μὴ δυνάμενος νὰ ἐνεργήσῃ τίποτε. Ἐν τούτοις, ἐπειδὴ εἶναι τύραννος, παρ' ὅλον ὅτι κατέπεσε, δὲν ἡσυχάζει, ἀλλ', ἔστω καὶ μὲ λόγους ἀκόμη, ἐξακολουθεῖ νὰ ἀπειλῇ. Αὐτὸ ἂς σκέπτεται ἕκαστος ἀπὸ σᾶς καὶ τοιουτοτρόπως θὰ ἠμπορῇ νὰ καταφρονῇ τοὺς δαίμονας.

3. Ἐὰν οἱ δαίμονες εἶχον σώματα, ὅπως ἡμεῖς οἱ ἄνθρωποι, θὰ ἦτο δυνατὸν νὰ λέγουν· «ὅταν κρύπτωνται οἱ ἄνθρωποι, δὲν τοὺς εὑρίσκομεν· ἐφ' ὅσον ὅμως τοὺς ἀνακαλύψωμεν, τότε θὰ ἠμποροῦμεν νὰ τοὺς βλάψωμεν». Καὶ ἡμεῖς οἱ ἄνθρωποι θὰ ἠδυνάμεθα νὰ διαφύγωμεν τὴν προσοχήν των κρυπτόμενοι, κλείοντες τὰς θύρας τῶν οἰκιῶν μας.

4. Οἱ δαίμονες ὅμως δὲν εἶναι κατεσκευασμένοι, ὅπως οἱ ἄνθρωποι, ἀπὸ ὑλικὰ σώματα· ἐπειδὴ εἶναι ἄϋλα ὄντα, ἠμποροῦν νὰ εἰσέρχωνται εἰς τὰς οἰκίας μας, καὶ ὅταν ἀκόμη εἶναι κλεισταὶ αἱ θύραι· ἀλλὰ καὶ εἰς τὸν ἀέρα ὑπάρχουν καὶ κινοῦνται καὶ αὐτοὶ καὶ ὁ ἀρχηγός των ὁ διάβολος. Θέλουν δὲ τὸ κακὸν καὶ εἶναι ἕτοιμοι νὰ βλάπτουν· ὅπως δὲ εἶπεν ὁ Σωτήρ, ὁ τῆς κακίας πατὴρ διάβολος ἐξ ἀρχῆς εἶναι ἀνθρωποκτόνος, «ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς» (Ἰωάν. η' 44).

5. Μὲ τὴν δύναμιν ὅμως καὶ τὴν Χάριν τοῦ Σωτῆρος, ἡμεῖς τώρα ζῶμεν ἐλεύθεροι καὶ μάλιστα, διὰ τῆς ἐναρέτου πολιτείας ἡμῶν, τοὺς πολεμοῦμεν. Διότι εἶναι δειλοὶ καὶ δὲν ἠμποροῦν τίποτε νὰ κάμουν, ἐπειδὴ οὔτε τόπος τοὺς ἐμποδίζει εἰς τὸ νὰ μᾶς ἐπιβουλεύωνται (ἐφ' ὅσον εἶναι ἄϋλα ὄντα), οὔτε ὡς φίλους μᾶς βλέπουν διὰ νὰ μᾶς λυπηθοῦν, οὔτε ἀγαποῦν τὸ ἀγαθὸν διὰ νὰ διορθωθοῦν.

6. Ἀπ' ἐναντίας εἶναι πολὺ πονηροὶ καὶ τὸ μόνον, διὰ τὸ ὁποῖον ἐνδιαφέρονται, εἶναι τὸ πῶς θὰ βλάψουν τοὺς φίλους τῆς ἀρετῆς καὶ τοὺς σεβομένους τὸν Θεὸν ἀνθρώπους. Ἐπειδὴ δὲ ἀκριβῶς δὲν ἠμποροῦν τίποτε νὰ κάμουν, δι' αὐτὸ δὲν κάμνουν τίποτε, παρὰ μόνον ἀπειλοῦν. Διότι ἐὰν ἠμποροῦσαν, δὲν θὰ ἐδίσταζαν, ἀλλ' ἀμέσως θὰ διέπραττον τὸ κακόν, ἐφ' ὅσον ἡ προαίρεσίς των εἶναι πρὸς τὸ κακὸν καὶ μάλιστα ἐναντίον ἡμῶν.

7. Αὐτὰ ποὺ σᾶς λέγω, ἀποδεικνύονται καὶ ἀπὸ τὴν παροῦσαν

σύναξιν ἡμῶν· διότι νά! ἡμεῖς συνεκεντρώθημεν τώρα καὶ καταφερόμεθα ἐναντίον τῶν δαιμόνων· γνωρίζουν δὲ πολὺ καλά, ὅτι ἐφ' ὅσον ἡμεῖς προκόπτομεν εἰς τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν, αὐτοὶ ἐξασθενοῦν. Ἐὰν λοιπὸν εἶχον τὴν δύναμιν, κανένα ἀπὸ ἡμᾶς τοὺς Χριστιανοὺς δὲν θὰ ἄφηναν νὰ ζήσῃ, διότι ἐκεῖνο τὸ ὁποῖον ἀπεχθάνεται ὁ ἁμαρτωλός, καὶ ἑπομένως καὶ ὁ διάβολος, εἶναι ἡ θεοσέβεια. Ἐπειδὴ δὲ δὲν ἠμποροῦν νὰ μᾶς κάμουν τίποτε, δι' αὐτὸ ἀφρίζουν ἀπὸ τὸ κακόν τους, διότι τίποτε δὲν ἠμποροῦν νὰ κάμουν ἀπὸ ὅσα ἀπειλοῦν.


8. Ἀκόμη καὶ αὐτὸ πρέπει νὰ σκεφθῶμεν, διὰ νὰ μὴ φοβούμεθα τοὺς δαίμονας· ἐὰν εἶχον τὴν δύναμιν νὰ μᾶς κακοποιήσουν, δὲν θὰ ἤρχοντο ἐναντίον τῶν Ἡσυχαστῶν τῆς ἐρήμου μετὰ πλήθους, οὔτε θὰ ἐσκηνοθετοῦσαν φαντασίας, οὔτε θὰ μετεσχηματίζοντο διὰ νὰ ἀποπλανήσουν· θὰ ἦτο ἀρκετὸν νὰ ἔλθῃ ἕνας καὶ μόνος, διὰ νὰ ἐνεργήσῃ αὐτό, ποὺ ἠμπορεῖ καὶ θέλει. Καὶ πράγματι· διότι αὐτὸς ποὺ ἔχει ἐξουσίαν δὲν καταστρέφει μὲ τὴν φαντασίαν, οὔτε δι' ἀπατηλῶν τεχνασμάτων, οὔτε φοβίζει μὲ τὸ πλῆθος, ἀλλ' ἀμέσως χρησιμοποιεῖ ἐξ ὁλοκλήρου τὴν ἐξουσίαν του, ὅπως θέλει.

9. Οἱ δαίμονες ὅμως, ἐπειδὴ δὲν ἠμποροῦν νὰ κάμουν τίποτε, παίζουν ὡς ἠθοποιοὶ ἐπάνω εἰς τὴν σκηνήν, ἀλλάζοντες μορφὰς καὶ φοβερίζοντες, ὅπως οἱ μεγάλοι τὰ παιδιά, μὲ τὴν φαντασίαν τοῦ πλήθους καὶ τοὺς διαφόρους μετασχηματισμούς των· ἀπὸ ὅλα αὐτὰ ἀποδεικνύονται μᾶλλον ἀξιοκαταφρόνητοι καὶ ἀδύνατοι.

10. Ὁ πραγματικὸς Ἄγγελος, ποὺ ἀπεστάλη ἀπὸ τὸν Κύριον ἐναντίον τῶν Ἀσσυρίων, δὲν εἶχεν ἀνάγκην ἀπὸ ὅπλα, οὔτε ἀπὸ ἐξωτερικὴν φαντασίαν, οὔτε ἀπὸ πλήθη, οὔτε ἀπὸ κτύπους καὶ κρότους, ἀλλὰ ἥσυχα καὶ ἀθόρυβα ἐχρησιμοποίησε τὴν δύναμίν του καὶ ἐφόνευσεν ἀμέσως ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας (Δ' Βασιλ. ιθ' 35 καὶ Ἡσ. λζ' 36). Οἱ δαίμονες ὅμως, οἱ ὁποῖοι δὲν ἔχουν τὴν δύναμιν νὰ κάμουν κανένα κακόν, προσπαθοῦν, τοὐλάχιστον, μὲ τὴν φαντασίαν νὰ ἐκφοβίζουν τοὺς ἀνθρώπους.

11. Καὶ κατ' αὐτοῦ ἀκόμη τοῦ Ἰώβ, ποὺ τόσον ἐβασανίσθη, δὲν ἦτο ὁ διάβολος ποὺ ἐπροξένησε τόσας συμφοράς· ὁ Θεὸς παρέδωσε τὸν Ἰὼβ εἰς τὸν διάβολον, διὰ νὰ ἀποδειχθῇ ἐμπράκτως ἡ ἀρετή του καὶ τὸ μεγαλεῖον τῆς ὑπομονῆς του. Ἐπειδὴ τίποτε ἀπολύτως δὲν ἠδύνατο νὰ ἐπιτύχῃ ὁ διάβολος ἐναντίον τοῦ Ἰώβ, δι' αὐτὸ ἐζήτησεν ἀπὸ τὸν Θεὸν τὴν ἄδειαν τοῦ πειρασμοῦ καὶ ἀφοῦ τὴν ἔλαβε, τότε μόνον προεκάλεσε τὰς κατὰ τοῦ δικαίου θλίψεις καὶ συμφοράς. Ὄχι μόνον ἐναντίον τοῦ Ἰώβ, ἀλλὰ οὐδὲ ἐναντίον τῶν κτηνῶν του δὲν ἠδύνατο νὰ ἐπιτύχῃ τίποτε, ἐὰν δὲν τοῦ ἐπέτρεπεν ὁ Θεός (Ἰώβ, κεφ. α' καὶ β').

12. Ἀλλὰ οὔτε ἐναντίον τῶν χοίρων δὲν ἔχει ἐξουσίαν ὁ διάβολος νὰ κάμῃ κακόν, πολλῷ δὲ μᾶλλον δὲν ἔχει τοιαύτην ἐξουσίαν ἐναντίον τῶν ἀνθρώπων, ποὺ ἔχουν πλασθῆ κατ' εἰκόνα Θεοῦ. Ὅπως ἀναγινώσκομεν εἰς τὸ Ἱερὸν Εὐαγγέλιον, οἱ δαίμονες παρεκάλουν τὸν


Ὁ ΔΙΚΑΙΟϹ ἸΩΒ ΚΑΤΑΚΕΙΜΕΝΟϹ
ἘΠΙ ΤΗϹ ΚΟΠΡΟΥ
Ὁ ΔΙΚΑΙΟϹ
ἸΩΒ
Ράλλης Κοψίδης 65

Σωτῆρα λέγοντες· ἐπίτρεψέ μας τοὐλάχιστον φεύγοντες ἀπὸ τὸν ἄνθρωπον αὐτόν, νὰ εἰσέλθωμεν «εἰς τὴν ἀγέλην τῶν χοίρων» (Ματθ. η' 31).

Ἐὰν λοιπὸν δὲν ἔχουν ἐξουσίαν νὰ κάμουν κακὸν εἰς τοὺς χοίρους, πολὺ περισσότερον δὲν ἔχουν τοιαύτην ἐξουσίαν ἐναντίον τῶν ἀνθρώπων, ποὺ ἔχουν γίνει κατ' εἰκόνα Θεοῦ.

13. Ἄρα τὸν Θεὸν μόνον πρέπει νὰ φοβούμεθα, τοὺς δαίμονας δὲ νὰ καταφρονῶμεν. Ὅσον δὲ προσπαθοῦν νὰ μᾶς ἐκφοβίσουν, τόσον περισσότερον καὶ ἡμεῖς πρέπει νὰ ἐπιτείνωμεν τὴν ἄσκησιν. Διότι μέγα ὅπλον ἐναντίον τοῦ διαβόλου εἶναι ὁ ὀρθὸς βίος καὶ ἡ πίστις πρὸς τὸν Θεόν. Πολὺ φοβοῦνται τὴν νηστείαν τῶν Ἀσκητῶν, τὴν ἀγρυπνίαν, τὴν συνεχῆ εὐχήν, τὴν πραότητα, τὸ φιλήσυχον, τὴν ἀφιλαργυρίαν, τὴν ἀποστροφὴν τῆς κενοδοξίας, τὴν ταπεινοφροσύνην, τὴν ἀγάπην πρὸς τοὺς πτωχούς, τὰς ἐλεημοσύνας, τὸ εἰρηνικὸν καὶ ἀόργητον, καὶ ὑπεράνω ὅλων τὴν εἰς Χριστὸν εὐσέβειαν.

14. Δι' αὐτὸ καὶ κάμνουν τὰ πάντα, διὰ νὰ ἐξουδετερώσουν αὐτοὺς ποὺ τοὺς καταπατοῦν, διότι γνωρίζουν πάρα πολὺ καλὰ τὴν Χάριν ποὺ ἐδόθη παρὰ τοῦ Σωτῆρος εἰς τοὺς πιστούς. Τὴν Χάριν αὐτὴν μετέδωσεν ὁ Σωτὴρ μὲ τοὺς ἑξῆς λόγους· «ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ» (Λουκ. ι' 19).

15. Ἐὰν λοιπὸν σᾶς ἐπιτεθοῦν τὴν νύκτα, μὴ φοβηθῆτε· σφραγισθῆτε μὲ τὸ σημεῖον τοῦ Σταυροῦ, σταυρώσατε καὶ τὸν οἶκον ποὺ διαμένετε καὶ εἴπατε τὴν εὐχήν. Τότε θὰ ἴδῆτε νὰ ἐξαφανίζωνται, διότι εἶναι δειλοὶ καὶ φοβοῦνται πάρα πολὺ τὸ σημεῖον τοῦ Σταυροῦ τοῦ Κυρίου, ἐπειδὴ βεβαίως ἐπάνω εἰς τὴν Σταυρὸν ὁ Κύριος τελείως τοὺς ἐξεμηδένισεν.

Ἐὰν ὅμως, παρὰ ταῦτα, ἐξακολουθοῦν μετ' ἀναιδείας νὰ παραμένουν χορεύοντες καὶ σχηματίζοντες διαφόρους φανταστικὰς σκηνάς, πρὸς ἐκφοβισμόν, νὰ μὴ δειλιάσετε, οὔτε νὰ τρομάξετε· τίποτε δὲν εἶναι καὶ γρήγορα ἐξαφανίζονται.

16. Πολλάκις πάλιν, πρὸς ἀποπλάνησιν, προσποιοῦνται ὅτι ψάλλουν χωρὶς νὰ φαίνωνται, ἀναφέρουν λέξεις ἀπὸ τὰς Ἁγίας Γραφάς, καὶ ὅταν κοιμώμεθα, μᾶς ἐξυπνοῦν, διὰ νὰ προσευχηθῶμεν. Καί, σχεδόν, δὲν μᾶς ἀφήνουν νὰ κοιμηθῶμεν. Ἀλλὰ δὲν πρέπει νὰ τοὺς προσέχωμεν, ἔστω καὶ ἐὰν μᾶς συμβουλεύουν νὰ μὴ τρώγωμεν τελείως, ἔστω καὶ ἐὰν ἀκόμη προσποιοῦνται, ὅτι μᾶς ὀνειδίζουν καὶ μᾶς κατηγοροῦν, δι' ὅσα, κατὰ γνώμην καὶ συμβουλὴν τῶν δαιμόνων, ἐπράξαμεν. Καὶ τοῦτο, διότι δὲν τὸ κάμνουν αὐτὸ ἀπὸ εὐλάβειαν ἢ ἀπὸ ἀγάπην πρὸς τὴν ἀλήθειαν, ἀλλὰ διὰ νὰ ἀπογοητεύσουν καὶ αὐτοὺς τοὺς ἀκεραίους Ἀσκητάς, νὰ παρουσιάσουν ἀνωφελῆ τὴν ἄσκησιν, νὰ τοὺς ζαλίσουν καὶ νὰ τοὺς κάμουν νὰ πιστεύσουν ὅτι ὁ μοναχικὸς βίος εἶναι πράγματι βαρύτατος καὶ φορτικὸς καί, ὡς ἐκ τούτου, νὰ τοὺς ἐμποδίσουν νὰ ἀγωνίζωνται ἐναντίον των.

17. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅταν οἱ δαίμονες ἔλεγον πρὸς Αὐτόν· «οἶδά σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ» (Μαρκ. α΄ 23—25), ἂν καὶ ὡμολόγουν τὴν ἀλήθειαν, ἐν τούτοις ὅμως τοὺς ἐφίμωνε καὶ τοὺς ἠμπόδιζε νὰ ὁμιλοῦν, μὴ τύχῃ κάποτε καὶ σπείρουν κρυφίως, μαζὶ μὲ τὴν ἀλήθειαν, καὶ τὴν ἰδικήν των κακίαν, καὶ διὰ νὰ μᾶς καταστήσῃ προσεκτικοὺς νὰ μὴ προσέχωμεν ποτὲ εἰς τοὺς λόγους τοῦ διαβόλου. Καὶ πολὺ σωστά· διότι εἶναι ἀπρέπεια, ἐνῷ ἔχομεν τὰς Ἁγίας Γραφὰς καὶ μετὰ τὴν ἔλευσιν τοῦ Σωτῆρος, νὰ διδασκώμεθα ἀπὸ τὸν διάβολον, ὁ ὁποῖος δὲν ἐκράτησε τὴν θέσιν του, καὶ ἄλλα ἀντὶ ἄλλων καὶ ἔβαλεν εἰς τὸν νοῦν του καὶ ἔπραξε. Διὰ τοῦτο καὶ ὁ Θεὸς ἐμποδίζει τὸν διάβολον νὰ λαλῇ λέξεις τῆς Ἁγίας Γραφῆς, καθὼς καὶ ὁ Προφητάναξ Δαβὶδ λέγει· «εἰς δὲ τὸν ἁμαρτωλὸν εἶπεν ὁ Θεός, μὲ ποῖον δικαίωμα σὺ ἀναπτύσσεις τοὺς νόμους μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;» (Ψαλμ. μθ΄ 16).

18. Κάμνουν λοιπὸν ὅλα αὐτὰ καὶ λαλοῦν καὶ θορυβοῦν καὶ πράττουν καὶ ὑποκρίνονται, διὰ νὰ ἐξαπατήσουν τοὺς ἀκεραίους. Κτυποῦν καὶ κροτοῦν, καὶ γελοῦν ἀνοήτως καὶ σφυρίζουν· ἐὰν δὲ δὲν τοὺς δώσῃ κανεὶς σημασίαν, τότε κλαίουν ὡς νικημένοι.

19. Ὁ μὲν Κύριος λοιπὸν ἐφίμωνε τοὺς δαίμονας· ἡμεῖς δέ, διδασκόμενοι ἀπὸ τοὺς Ἁγίους, πρέπει νὰ ἐνεργῶμεν σύμφωνα μὲ ἐκείνους, καὶ νὰ μιμούμεθα τὴν ἀνδρείαν των· διότι καὶ ἐκεῖνοι, βλέποντες τὰς ἐκδηλώσεις καὶ ἐνεργείας τῶν δαιμόνων, ἔλεγον· «ὅταν ὁ ἁμαρτωλὸς ἔλαβε θέσιν ἐναντίον μου, τότε ἐγὼ ἔγινα κουφός» «καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν» (Ψαλμ. λη΄ 2—3). Καὶ πάλιν· «ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων» (Ψαλμ. λζ΄ 14—15).

20. Καὶ ἡμεῖς λοιπὸν οὔτε νὰ ἀκούωμεν τοὺς δαίμονας, διότι εἶναι τελείως ξένοι ἀπὸ ἡμᾶς, οὔτε καὶ νὰ ὑπακούωμεν εἰς αὐτούς, ἔστω καὶ ἐὰν μᾶς σηκώνουν εἰς προσευχήν, καὶ μᾶς ὁμιλοῦν περὶ νηστείας· ἂς προσέχωμεν μόνον νὰ παραμένῃ σταθερὰ ἡ πρόθεσίς μας δι᾿ ἄσκησιν, καὶ ἂς μὴ ἐξαρτώμεθα ἀπὸ τοὺς δαίμονας, οἱ ὁποῖοι ὅλα τὰ κάμνουν δολίως, καὶ οὔτε νὰ τοὺς δίδωμεν σημασίαν, ὡς νὰ ἦσαν καλοί. Εἶναι δὲ εὔκολον, ὅταν ὁ Θεὸς μᾶς δώσῃ φώτισιν, νὰ διακρίνωμεν τὴν παρουσίαν τῶν καλῶν Ἀγγέλων καὶ τῶν πονηρῶν δαιμόνων.

21. Διότι ἡ ὀπτασία τῶν Ἁγίων δὲν παρουσιάζει οὐδεμίαν ταραχήν, ὅπως δὲ ἀναφέρει τὸ ρητόν «δὲν θὰ κραυγάσῃ, οὔτε τὴν φωνὴν αὐτοῦ θὰ ὑψώσῃ, οὔτε θὰ ἀκουσθῇ ἔξω ἡ φωνὴ αὐτοῦ» (Ἡσ. μβ΄ 2)· ἐμφανίζεται δὲ μὲ ἡσυχίαν καὶ πραότητα, ὥστε ἀμέσως νὰ παρουσιασθῇ εἰς τὴν ψυχὴν χαρά, ἀγαλλίασις καὶ θάρρος. Συμβαίνει δὲ αὐτό, διότι μαζὶ μὲ τοὺς Ἁγίους εὑρίσκεται ὁ Κύριος, ὁ ὁποῖος εἶναι ἡ χαρά μας, ἀλλὰ καὶ ἡ δύναμις τοῦ Θεοῦ Πατρός· καὶ οἱ λογισμοὶ τῆς ψυχῆς, κατὰ τὰς ὀπτασίας αὐτάς, παραμένουσιν ἀτάραχοι καὶ δὲν διαταράσσονται, ὅπως τὰ κύματα τρικυμισμένης θαλάσσης. Κατὰ τὰς καλὰς

καὶ ἀπὸ Θεοῦ ὀπτασίας ἡ ψυχὴ θεωροῦσα τοὺς ἐμφανιζομένους Ἀγγέλους ἢ καὶ Ἁγίους αὐτοκαταυγάζεται, διότι εἰσέρχεται εἰς αὐτὴν ὁ πόθος τῶν θείων καὶ μελλόντων ἀγαθῶν καὶ ὁπωσδήποτε θέλει νὰ γίνῃ ἕνα μὲ τὰ ἐμφανιζόμενα πρόσωπα, ἀναχωροῦσα, ἐὰν ὑπῆρχε τρόπος, μαζὶ μὲ αὐτά.

22. Ἐὰν δὲ συμβῇ, ὥστε μερικοὶ ἄνθρωποι νὰ φοβηθοῦν ἀπὸ τὴν ὀπτασίαν τῶν καλῶν Ἀγγέλων, οἱ ἐμφανιζόμενοι ἀφαιροῦν ἀμέσως, μὲ τὴν δύναμιν τῆς ἀγάπης, τὸν τοιοῦτον φόβον ἀπὸ τὴν ψυχήν, ὅπως ἔκαμεν ὁ Ἀρχάγγελος Γαβριὴλ εἰς τὸν Ζαχαρίαν (Λουκ. α΄ 13) καὶ ὁ ἐμφανισθεὶς εἰς τὰς Μυροφόρους ἐπὶ τὸ Μνημεῖον τῆς Ἀναστάσεως Ἄγγελος (Ματθ. κη΄ 5), καὶ ὁ Ἄγγελος, ποὺ εἶπεν εἰς τοὺς ποιμένας, κατὰ τὴν Γέννησιν τοῦ Σωτῆρος «μὴ φοβῆσθε» (Λουκ. β΄ 10). Διότι ὁ φόβος, ποὺ ἐνδεχομένως προκαλοῦν αἱ ὀπτασίαι τῶν καλῶν, δὲν ὀφείλεται εἰς ψυχικὴν δειλίαν, ἀλλ᾽ εἰς ἐπίγνωσιν τῆς παρουσίας ὑψηλῶν καταστάσεων.

23. Αὐτὰ εἶναι τὰ χαρακτηριστικὰ γνωρίσματα τῆς ὀπτασίας τῶν Ἁγίων. Τελείως διαφορετικὴ εἶναι ἡ ἐπιδρομὴ τῶν φαύλων καὶ πονηρῶν πνευμάτων· συνοδεύεται ἀπὸ τρομακτικοὺς κτύπους, περιέργους ἤχους καὶ κραυγάς, ποὺ ἐνθυμίζουν ἄτακτα κινήματα ληστῶν ἢ νέων ποὺ δὲν ἔχουν ἀκόμη ἐκπαιδευθῇ. Αὐτὰ δὲ ὅλα τὰ συμπτώματα προκαλοῦν εἰς τὸν ἄνθρωπον δειλίαν, ψυχικὴν ταραχήν, ἀταξίαν, μελαγχολικὰς σκέψεις καὶ κατάπτωσιν λογισμῶν, μῖσος πρὸς τοὺς Ἀσκητάς, ἀποστροφὴν πρὸς τὰ πνευματικὰ καθήκοντα, λύπην, ἐνθύμησιν τῶν συγγενῶν καὶ φόβον θανάτου, ἐπιθυμίαν διαφόρων κακῶν πράξεων, ἀδιαφορίαν πρὸς τὴν ἀρετὴν καί, τέλος, ἀκαταστασίαν εἰς τὴν καθημερινὴν τακτικήν.

24. Ὅταν λοιπὸν ἰδῆτε διαφόρους ὀπτασίας καὶ φοβηθῆτε, προσέξατε· ἂν μὲν ὁ φόβος ἀμέσως ἀφαιρεθῇ ἀπὸ τὴν ψυχήν, καὶ ἀντ᾽ ἐκείνου καταλάβῃ τὴν ψυχὴν ἀνεκλάλητος χαρὰ καὶ εὐθυμία, καὶ θάρρος, καὶ ἀνάκτησις ψυχικῶν δυνάμεων, καὶ ἀταραξία λογισμῶν, καὶ τὰ ἄλλα ὅλα ὅσα προεῖπον, καὶ ἀνδρεία καὶ ἀγάπη πρὸς τὸν Θεόν, τότε λάβετε θάρρος καὶ εὐχαριστήσατε τὸν Θεόν, διότι ἡ χαρὰ καὶ ἡ ἐν γένει κατάστασις τῆς ψυχῆς φανερώνουν τὴν τελειότητα τῶν παρόντων ποὺ συνθέτουν τὴν ὀπτασίαν. Τοιουτοτρόπως ὁ Ἀβραάμ, μόλις εἶδε θείαν ὀπτασίαν, ἐδοκίμασε μίαν ἐσωτερικὴν εὐχαρίστησιν (Γεν. ιη΄ καὶ ἀλλαχοῦ)· ὅταν δὲ ἡ Θεοτόκος Μαρία ὡμίλησε πρὸς τὴν Ἐλισάβετ, ἐσκίρτησε τὸ ἀγέννητον εἰσέτι βρέφος εἰς τοὺς μητρικοὺς κόλπους «ἐν ἀγαλλιάσει» (Λουκ. α΄ 44). Ἐξ αὐτῶν τῶν ὀλίγων ἐπιβεβαιοῦνται τὰ ὅσα ἀνωτέρω εἶπον.

25. Τελείως ἀντίθετα εἶναι τὰ ἀποτελέσματα τῆς δαιμονικῆς ὀπτασίας καὶ αἱ ἐκδηλώσεις τοῦ πονηροῦ. Ἂν δηλαδὴ ἡ ψυχὴ μερικῶν ἀνθρώπων ἐξακολουθῇ νὰ φοβῆται ἀπ᾽ ὅσα βλέπει ἢ αἰσθάνεται, εἶναι ἔνδειξις παρουσίας ἐχθρῶν· διότι οἱ δαίμονες δὲν ἀφαιροῦν τὴν δειλίαν

ἀπὸ τοὺς τοιούτους ἀνθρώπους, ὅπως κάμνουν οἱ Ἅγιοι. Ἀπ' ἐναντίας μάλιστα, ὅταν ἴδουν, ὅτι μερικοὶ δειλιάζουν, αὐξάνουν τὰς φαντασίας, διὰ νὰ τοὺς τρομάξουν περισσότερον. Ἀφοῦ δὲ γίνουν κύριοι τῆς ψυχῆς, διὰ τῆς φαντασίας, τότε πλέον προσεμπαίζουν τὸν ἄνθρωπον λέγοντες πρὸς τοὺς δεσμώτας των· «πέσατε τώρα νὰ μᾶς προσκυνήσετε».

26. Κατ' αὐτὸν τὸν τρόπον ἐξηπάτησαν τοὺς ἀρχαίους Ἕλληνας καὶ ἐνομίσθησαν ἀπ' αὐτοὺς ὡς θεοί· ἡμεῖς δὲν ἐπέτρεψεν ὁ Κύριος νὰ ἀπατηθῶμεν ὑπὸ τοῦ διαβόλου, διότι τὸν ἐξώρκισεν εἰς τὴν ἔρημον, ὅταν ἐπεχείρησε καὶ τὸν ἴδιον τὸν Κύριον νὰ παρασύρῃ μὲ τοιαύτας φαντασίας καὶ νὰ τὸν τρομάξῃ, ὅπως ἐνόμιζε. Διότι μὲ τὸ νὰ εἴπῃ ὁ Κύριος «ὕπαγε ὀπίσω μου, σατανᾶ, διότι εἶναι γραμμένον εἰς τὴν Ἁγίαν Γραφήν· Κύριον τὸν Θεόν σου νὰ προσκυνήσῃς καὶ Αὐτὸν μόνον νὰ λατρεύσῃς» (Ματθ. δ' 10), ἡμᾶς ἐβοήθησε καὶ κατωχύρωσεν, ἐπειδὴ τοῦ λοιποῦ οἱ δαίμονες, ἀκούοντες τὰς φωνὰς αὐτάς, θὰ ἀνετρέποντο μὲ τὴν δύναμιν τοῦ Κυρίου, ποὺ τοὺς ἐπετίμησε καὶ τοὺς ἐξώρκισε μὲ τοὺς λόγους αὐτούς. Αὐτὸ λοιπὸν ποὺ εἶπε τότε ὁ Κύριος, δι' ἡμᾶς τὸ ἔκαμε.

27. Ἀκούσατε τώρα τὶ συνέβη καὶ εἰς ἐμὲ προσωπικῶς: κάποτε ἐκτύπησε κάποιος τὴν θύραν τοῦ κελλίου μου. Ἐβγῆκα καὶ ἤνοιξα. Ἀμέσως τότε εἶδον ἐνώπιόν μου ἕνα μακρὸν καὶ ὑψηλὸν κατὰ τὸ ἐξωτερικὸν φαινόμενον. Τοῦ λέγω:

—Ποῖος εἶσαι;

Καὶ μοῦ ἀπαντᾷ:

—Ἐγὼ εἶμαι ὁ σατανᾶς.

—Τί ζητεῖς ἐδῶ;—τὸν ἐρωτῶ.

—Διατί—μοῦ ἀπαντᾷ—μὲ μέμφονται ἀδίκως οἱ Μοναχοὶ καὶ ὅλοι οἱ ἄλλοι Χριστιανοί; Διατί μὲ καταρῶνται κάθε ὥραν;

28. Τοῦ εἶπον τότε ἐγώ:

—Διατί καὶ σὺ τοὺς ἐνοχλεῖς;

—Δὲν τοὺς ἐνοχλῶ ἐγώ—μοῦ ἀπαντᾷ—μόνοι των ταράσσονται. Ἐγὼ πλέον τελείως ἐξησθένησα. Δὲν ἐδιάβασαν αὐτὸ ποὺ ἀναφέρει ἡ Ἁγία Γραφή· «τοῦ ἐχθροῦ ἐτελείωσαν πλέον τὰ σπαθιὰ καὶ τὰς πόλεις κατεκρήμνισες;» (Ψαλμ. θ' 7). Δὲν ἔχω πλέον τόπον, δὲν ἔχω βέλος, οὔτε πόλιν. Παντοῦ εὑρίσκονται Χριστιανοὶ καὶ ἡ ἔρημος ἀκόμη ἐγέμισεν ἀπὸ Μοναχούς. Λοιπὸν ἂς περιφρουροῦν τοὺς ἑαυτούς των καὶ ἂς μὴ μὲ καταρῶνται ἄδικα.

29. Τότε ἐγώ, ποὺ ἤκουον κατάπληκτος τοὺς λόγους τοῦ διαβόλου, ἐθαύμασα τὴν Χάριν τοῦ Χριστοῦ καὶ τοῦ εἶπον πάλιν:

—Πάντοτε εἶσαι ψεύστης· τώρα ὅμως εἶπες τὴν ἀλήθειαν, χωρὶς νὰ τὸ θέλῃς· διότι ὁ Χριστὸς μετὰ τὸν θεῖον ἐρχομόν Του εἰς τὸν κόσμον σὲ ἐξησθένησε καὶ σὲ ἀπεγύμνωσεν, ἀφοῦ σὲ κατετρόπωσε.

Μόλις ἤκουσεν ὁ διάβολος τὸ ὄνομα τοῦ Σωτῆρος Χριστοῦ, ἐ-

πειδὴ καὶ ὑπ' αὐτοῦ ἀκόμη μόνου κατεκαίετο, ἐξηφανίσθη ἀμέσως.

30. Ἐφ' ὅσον λοιπὸν καὶ ὁ ἴδιος ὁ διάβολος ὁμολογεῖ, ὅτι τίποτε δὲν ἠμπορεῖ νὰ κατορθώσῃ, ἡμεῖς ὀφείλομεν νὰ καταφρονήσωμεν τελείως αὐτὸν καὶ τοὺς δαίμονάς του. Ἂς μὴ χάνωμεν λοιπὸν τὸ ἠθικόν μας, ἂς μὴ δειλιάζῃ ἡ ψυχή μας, καὶ ἂς μὴ δημιουργῶμεν φανταστικοὺς φόβους λέγοντες· «μὴ τυχὸν ἔλθῃ ὁ δαίμων καὶ μὲ ἀνατρέψῃ, μὴ τυχὸν μὲ ἁρπάξῃ καὶ μὲ καταβάλῃ, ἢ ἐμφανισθῇ τελείως ἔξαφνα καὶ μὲ συνταράξῃ».

31. Μὲ τὰς τοιαύτας σκέψεις καθόλου νὰ μὴ ἀσχολούμεθα, οὔτε νὰ λυπούμεθα ὡς νὰ εἴμεθα χαμένοι· ἀπεναντίας, νὰ ἔχωμεν θάρρος καὶ νὰ χαίρωμεν ὡς διασῳζόμενοι ἀπὸ προφανῆ κίνδυνον. Ἡ ψυχή μας ἂς ἑδραιώνεται μὲ τὴν σκέψιν, ὅτι κοντά μας εἶναι ὁ Κύριος, ποὺ τοὺς κατετρόπωσε καὶ κατήργησε τὴν ἐξουσίαν των. Ἂς μὴ λησμονῶμεν ποτέ, ὅτι ἐφ' ὅσον ὁ Κύριός μας εἶναι μαζί μας, τίποτε δὲν ἠμποροῦν νὰ μᾶς κάμουν οἱ ἐχθροί μας.

32. Ἐὰν λοιπὸν ἔλθουν καὶ εὕρουν τὴν ψυχήν μας ἀσφαλισμένην μὲ αὐτὰ καὶ νὰ σκέπτεται τὰ μέλλοντα ἀγαθά, φεύγουν καταντροπιασμένοι. Ἐὰν ὅμως, ἀντιθέτως, μᾶς εὕρουν νὰ δειλιάζωμεν, νὰ ταρασσώμεθα καὶ νὰ ἐπηρεαζώμεθα ἀπὸ φανταστικοὺς φόβους, τότε καὶ οἱ ἴδιοι αὐξάνουν τὰ φόβητρα μὲ τὰς φαντασίας καὶ τὰς ἀπειλὰς καὶ αὐτό, ποὺ ἡμεῖς δειλά—δειλὰ σκεπτόμεθα, ἐκεῖνοι μετὰ προσθήκης τὸ πραγματοποιοῦν, εἰς βάρος μας.

33. Ἡμεῖς λοιπόν, ἐὰν θέλωμεν νὰ καταφρονῶμεν τὸν ἐχθρόν, ἂς σκεπτώμεθα πάντοτε τὰ τοῦ Κυρίου, καὶ ἂς χαίρῃ πάντοτε ἡ ψυχή μας μὲ τὴν δύναμιν τῆς ἐλπίδος. Τότε θὰ ἴδωμεν τὰ παιγνίδια τῶν δαιμόνων νὰ χάνωνται ἀπ' ἐμπρός μας ὅπως ὁ καπνὸς καὶ οἱ ἴδιοι μὲ σπουδὴν νὰ φεύγουν μᾶλλον παρὰ νὰ καταδιώκουν· διότι, ὅπως σᾶς εἶπον, οἱ δαίμονες εἶναι πάρα πολὺ δειλοί, ἀναμένοντες πάντοτε τὸ πῦρ τῆς κολάσεως, ποὺ ἔχει ἑτοιμασθῇ δι' αὐτούς.

34. Αὐτὸ δὲ τὸ γνώρισμα νὰ ἔχετε, διὰ νὰ μὴ φοβῆσθε· ὅταν παρουσιασθῇ ἐνώπιόν σας κάποια φανταστικὴ εἰκόνα ἢ ὀπτασία, νὰ μὴ καταπέσῃ ἀμέσως καὶ ἐκ τῶν προτέρων τὸ ἠθικόν σας ἀπὸ δειλίαν, ἀλλὰ ὅποια καὶ ἂν εἶναι ἡ ὀπτασία αὐτή, ἂς ἐρωτήσητε πρῶτον μὲ θάρρος· «ποιὸς εἶσαι σύ; καὶ ἀπὸ ποῦ ἔρχεσαι;» Καὶ ἐὰν μὲν ἡ ὀπτασία αὐτὴ εἶναι θεϊκὴ καὶ προέρχεται ἀπὸ Ἁγίους, πληροφορεῖται ἡ ψυχή σου καὶ αὐτοὶ μεταβάλλουν τὸν φόβον σου εἰς χαράν. Ἐὰν πάλιν εἶναι διαβολικὴ ἡ ὀπτασία αὐτή, τότε ἐξασθενεῖ, διότι ὁ διάβολος βλέπει, ὅτι ἡ διάνοιά σου ἔχει θάρρος.

35. Εἶναι ἀπόδειξις ἀταραξίας τὸ νὰ ζητῇ κανεὶς μὲ θάρρος πληροφορίας περὶ τοῦ ποῖος εἶναι ὁ ἐν τῇ ὀπτασίᾳ φαινόμενος καὶ ἀπὸ ποῦ προέρχεται. Οὕτω πως βλέπομεν, ὅτι ὁ Ἰησοῦς τοῦ Ναυῆ ἔμαθε μόλις ἠρώτησεν (Ἰησ. Ναυῆ ε' 13—15), καὶ ὁ διάβολος δὲν διέφυγε τὴν προσοχὴν τοῦ Δανιήλ, ὅταν τὸν ἠρώτησε ποῖος εἶναι.

Β΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου.

ΤΩ ΑΓΙΩ Παχωμίῳ συνήθειαν ἔχοντι, ἐπέκεινα τῆς κέλλης περὶ τὰ ἐρημικώτερα ἀπιέναι εἰς προσευχήν, καὶ μετὰ τὸ προσεύξασθαι πάλιν ἐπανέρχεσθαι, πολλάκις ὑποστρέφοντι αὐτῷ, ὡσανεὶ ἐμπαίζοντες οἱ πονηροὶ δαίμονες, προέφθανον παρακελευόμενοι ἀλλήλοις, ὡς ἐπ' ἄρχοντος, καὶ λέγοντες· δότε τόπον τῷ ἀνθρώπῳ τοῦ Θεοῦ.

2. Ὁ δὲ Παχώμιος, τῇ πίστει καὶ τῇ ἐλπίδι τῇ εἰς Χριστὸν πεποιθώς, κατεγέλα αὐτῶν, ὡς ἀγρίων κυνῶν ὑλακὴν τὰ τούτων ἡγούμενος παίγνια. Ὁρῶντες δὲ τὸ γενναῖον τοῦ ἀνδρὸς καὶ ἀκατάπληκτον, συναθροίζονται πάλιν ἐπ' αὐτὸν ἐν ταράχῳ πολλῷ, καὶ τοῦ οἰκήματος ἐπιλαβόμενοι, σείειν τοῦτο ἐφάνταζον, ὡς νομίζειν τὸν Ἅγιον ἐκ θεμελίων τὸν τόπον σαλεύεσθαι.

3. Αὐτὸς δὲ ἀτρέμας ὑπάρχων, τὴν πνευματικὴν πάλιν ἐκρούετο νευράν, καὶ μετὰ φωνῆς ἔψαλλε λέγων, ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, καὶ τὰ ἑξῆς, καὶ ταῦτα αὐτοῦ λέγοντος, ὡσεὶ καπνὸς ἐκεῖνοι ἐξέλιπον, καὶ γέγονεν ἡσυχία πολλή, καὶ μετ' ὀλίγον καθάπερ κύνες ἐλαυνόμενοι ὑποχωροῦσι, καὶ πάλιν ἀναιδῶς ἐπέρχονται, οὕτω καὶ οὗτοι ἑτέρως αὐτὸν ἀπατᾶν ἐπεχείρουν.

4. Γενόμενοι γὰρ ὁμοθυμαδὸν πολλοί, καὶ σχοινία βαστάσαντες παχέα, φύλλον δένδρου μετ' ἀσφαλείας ἐδέσμουν, εἶτα στάντες ἑκατέρωθεν ἀλλήλοις προέτρεπον σύρειν τὸ φύλλον, ὡσανεὶ λίθον παμμεγέθη· τοῦτο δὲ ἐποίουν, ἐκλύειν πρὸς γέλωτα τὴν καρδίαν οἰόμενοι τοῦ Ἁγίου, ὅπως κἂν ἐν τούτῳ κατακαυχήσωνται αὐτοῦ. Ὁ δὲ Παχώμιος, βλέπων τὴν ἀναίδειαν αὐτῶν, ἐστέναξε κατ' αὐτῶν πρὸς Κύριον, καὶ παραχρῆμα ἄφαντος αὐτῶν ἡ φάλαγξ γέγονε.

5. Πάλιν δὲ ὁρῶν ἐπὶ πλεῖον αὐτοὺς προσβάλλοντας καὶ ἀνενδότως πολεμοῦντας ᾐτεῖτο τὸν Κύριον ἀποστῆναι τὸν ὕπνον ἀπ' αὐτοῦ, πρὸς τὸ αὐτὸν νύκτωρ τε, καὶ μεθ' ἡμέραν, ὅσον τὸ ἐπ' αὐτόν, ἄϋπνον διαμένοντα, δυνηθῆναι τροπώσασθαι τοὺς ὑπεναντίους, κατὰ τὸ γεγραμμένον· «καὶ οὐκ ἀποστραφήσομαι, ἕως ἂν ἐκλίπωσιν, ἐκθλίψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου».

6. Καὶ ἄλλοτε δὲ πάλιν ὕστερον, σχολάζοντι τῷ Ἁγίῳ, πρόσεισιν ὁ δαίμων, καὶ στὰς ἐξεναντίας αὐτοῦ, χαίροις, ἔφη, Παχώμιε, ἐγώ εἰμι ὁ Χριστός, καὶ ἦλθον πρὸς σέ, τὸν ἐμὸν φίλον. Αὐτὸς δὲ τῇ διακρίσει τοῦ Ἁγίου Πνεύματος τὰς τοῦ πονηροῦ εἰδὼς μηχανάς, διελογίζετο καθ' ἑαυτὸν λέγων· ἡ ἐπιστασία τῆς τοῦ Χριστοῦ ἁγιότητος, πλήρης ὑπάρχει χαρᾶς καὶ φόβου παντὸς ἐλευθέρα, παραυτίκα τῶν ἀνθρωπίνων λογισμῶν ἀφανιζομένων ἁπάντων τῇ θεωρίᾳ τοῦ φαινομένου, ἐγὼ δὲ νῦν, θορύβου τε μεστός εἰμι καὶ διαλογίζομαι.

7. Παραχρῆμα οὖν ἀναστάς, καὶ τῇ εἰς Χριστὸν πίστει θαῤῥήσας, ἀναλαβὼν ἐξέτεινε τοῦ κρατῆσαι αὐτόν, καὶ ἐμφυσήσας τῷ πνεύματι ἔλεγεν· ἄπελθε ἀπ' ἐμοῦ, διάβολε, ἐπικατάρατος σὺ καὶ ἡ ὅρασίς σου, καὶ ἡ τέχνη τῶν βουλευμάτων σου.

8. Γενόμενος δὲ ὡσεὶ κονιορτός, ἐπλήρωσεν ἀηδίας τὸ οἴκημα, καὶ αὐτὸν τὸν ἀέρα συνέχεε, κράζων πρὸς αὐτὸν φωνῇ μεγάλῃ, ἄρτι ἂν σε ἐκέρδησα πρὸς τοῖς ἐμοῖς ποσὶ καταῤῥάξας, ἀλλ' ἡ δύναμις τοῦ Χριστοῦ μεγάλη ἐστί, καὶ παίζομαι ὑφ' ὑμῶν καθ' ἑκάστην, ἀλλ' οὐ παύσομαι πολεμῶν· δεῖ γάρ με τὸ ἐμὸν ἔργον ἐπιτελεῖν.

9. Ὁ δὲ Παχώμιος, ἰσχυροποιηθεὶς τῷ πνεύματι, ἀνθωμολογεῖτο τῷ Θεῷ εὐχαριστῶν ἐπὶ ταῖς ἐξαισίαις Αὐτοῦ δωρεαῖς

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Παχώμιος εἶχε συνήθειαν νὰ ἀναχωρῇ μακρυὰ ἀπὸ τὸ κελλί του, εἰς ἐρημικωτέραν περιοχήν, διὰ νὰ προσευχη-

θῇ, καὶ μετὰ τὴν προσευχὴν νὰ ἐπανέρχεται πάλιν. Κατὰ τὴν ἐπιστροφήν του λοιπὸν οἱ πονηροὶ δαίμονες, ὡς νὰ τὸν ἐνέπαιζον, τὸν προϋπαντοῦσαν καὶ ὡς νὰ ἐπρόκειτο περὶ ἄρχοντος, ἔλεγον ὁ ἕνας πρὸς τὸν ἄλλον· «Κάμετε τόπον νὰ περάσῃ ὁ ἄνθρωπος τοῦ Θεοῦ».

2. Ὁ Παχώμιος ὅμως, στηριγμένος εἰς τὴν πίστιν καὶ τὴν ἐλπίδα τοῦ Χριστοῦ, ἐκαυτηρίαζε τοὺς δαίμονας καὶ ἐθεώρει τὰ παιγνίδιά των ὡς γαυγίσματα ἀγρίων σκύλων. Βλέποντες οἱ δαίμονες τὴν γενναιότητα τοῦ Ἁγίου ἀνδρὸς καὶ ὅτι δὲν κατώρθωναν νὰ τὸν κατατρομάξουν, συναθροίζονται πάλιν ἐναντίον του, προκαλοῦντες μεγάλην ταραχήν· κρατοῦντες δὲ τὸ κελλί του μὲ τὰς χεῖρας των, ἐδημιουργοῦσαν τὴν φανταστικὴν ἐντύπωσιν, ὅτι τὸ σείουν, ὥστε ὁ Ἅγιος νὰ νομίζῃ, ὅτι ὁ τόπος σαλεύεται ἐκ θεμελίων.

3. Καὶ κατὰ τὴν ἐπίθεσιν αὐτὴν ὁ Ἅγιος παρέμεινεν ἀτρόμητος καὶ τανύων πάλιν τὸ πνευματικὸν τόξον ἔψαλλε μεγαλοφώνως· «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα» (Ψαλμ. με' 2). Ἐνῷ δὲ ἀπήγγελλε τὸν ψαλμὸν αὐτόν, ἐκεῖνοι ἐχάθησαν ὡς καπνὸς καὶ ἐπῆλθε πολλὴ ἡσυχία. Δὲν παρῃτήθησαν ὅμως οἱ δαίμονες τῶν προσπαθειῶν των· μετ' ὀλίγον ἀρχίζει νέα ἐπίθεσις, ὅπως κάμνουν τὰ σκυλιά, ποὺ διωκόμενα ὑποχωροῦν, ἀλλὰ καὶ πάλιν ἐπιτίθενται μὲ ἀναίδειαν, τοιουτοτρόπως ἐνήργουν καὶ αὐτοὶ ἐναντίον τοῦ Ἁγίου ἐπιχειροῦντες νὰ τὸν ἐξαπατήσουν κατ' ἄλλον τρόπον.

4. Τί κάμουν λοιπόν; Συνεκεντρώθησαν πολλοὶ δαίμονες εἰς ἕνα μέρος, ἐπῆραν χονδρὰ σχοινιὰ καὶ ἔδεσαν καλὰ ἕνα φύλλον δένδρου· μετά, ἀφοῦ ἐσχημάτισαν δύο ζυγοὺς ἀπέναντι ἀλλήλων, προέτρεπον ὁ ἕνας τὸν ἄλλον νὰ σύρουν τὸ φύλλον, σὰν νὰ ἐπρόκειτο νὰ τραβήξουν τεράστιον βράχον. Αὐτὸ δὲ τὸ ἔκαμαν, νομίζοντες, ὅτι θὰ ἐγελοῦσεν ὁ Ἅγιος καὶ τοιουτοτρόπως θὰ εἶχον κάτι νὰ καυχηθοῦν ἐναντίον του. Ὁ μακάριος Παχώμιος ὅμως, βλέπων τὴν ἀναίδειαν τῶν δαιμόνων, ἀνεστέναξε πρὸς τὸν Κύριον ἐναντίον των· κατόπιν αὐτοῦ ἐξηφανίσθη ἀμέσως ἡ φάλαγξ τῶν δαιμόνων.

5. Βλέπων πάλιν ὁ Ἅγιος Παχώμιος τοὺς δαίμονας νὰ τὸν πολεμοῦν μετὰ περισσοτέρας σφοδρότητος καὶ νὰ τοῦ ἐπιτίθενται ἀδιακόπως, ἐζήτει ἀπὸ τὸν Κύριον νὰ τοῦ πάρῃ τὸν ὕπνον, ὥστε νὰ παραμένῃ, ὅσον τὸ δυνατόν, ἄϋπνος καὶ οὕτω νὰ δύναται, νύκτα καὶ ἡμέραν, νὰ κατατροπώνῃ τοὺς ἀντιθέτους, συμφώνως πρὸς τὸ ῥητὸν τῆς Ἁγίας Γραφῆς· «δὲν θὰ στραφῶ πρὸς τὰ ὀπίσω, παρὰ μόνον ἐφ' ὅσον ἐξαφανισθοῦν τελείως, θὰ τοὺς λειώσω καὶ δὲν θὰ ἠμποροῦν νὰ σταθοῦν καὶ θὰ πέσουν νικημένοι εἰς τοὺς πόδας μου» (Ψαλμ. ιζ' 38—39).

6. Μίαν ἄλλην φοράν, ἐνῷ ἀνεπαύετο ὀλίγον ὁ Ἅγιος, ἦλθε πλησίον του ὁ δαίμων καὶ ἀφοῦ ἐστάθη ἀπέναντί του, τοῦ εἶπε· «Χαῖρε, Παχώμιε· ἐγὼ εἶμαι ὁ Χριστὸς καὶ ἦλθον πρὸς σὲ τὸν φίλον μου». Ὁ Ἅγιος Παχώμιος ὅμως, μὲ τὴν δύναμιν τοῦ διακριτικοῦ φωτισμοῦ

τοῦ Ἁγίου Πνεύματος, ἀφοῦ ἀντελήφθη τὰς μηχανὰς τοῦ πονηροῦ, ἐσκέπτετο καὶ ἔλεγε καθ' ἑαυτόν· «Ἡ μυστικὴ καὶ ὑπὲρ φύσιν παρουσία τοῦ Χριστοῦ, ἡ πλήρης ἁγιότητος, γεμίζει τὴν ψυχὴν ἀπὸ χαρὰν καὶ τὴν ἀπελευθερώνει ἀπὸ κάθε φόβον· συγχρόνως δὲ μὲ τὴν ὑπερφυσικὴν θεωρίαν τοῦ φαινομένου ἐξαφανίζονται ὅλοι οἱ ἀνθρώπινοι λογισμοί. Ἐγὼ ὅμως τώρα, ἀντιθέτως πρὸς ὅσα ἔπρεπε νὰ μοῦ συμβοῦν, ἐὰν ἡ ὀπτασία θὰ εἶχε θεϊκὸν χαρακτῆρα, ἔχω θορυβηθῆ καὶ ἡ διάνοιά μου εἶναι γεμάτη ἀπὸ ἀνθρωπίνας σκέψεις».

7. Ἀμέσως λοιπὸν ἐσηκώθη ἀπὸ τὴν θέσιν του καὶ ἀναθαρρήσας μὲ τὴν δύναμιν τῆς πίστεως τοῦ Χριστοῦ ἐκινήθη διὰ νὰ συλλάβῃ μὲ τὰς χεῖρας του τὸν ἐμφανισθέντα· φυσήσας δὲ κατὰ πρόσωπον αὐτοῦ ἔλεγε πρὸς αὐτόν:

—Φύγε ἀπὸ ἐμέ, διάβολε, ἐπικατάρατος νὰ εἶσαι σὺ καὶ τὸ ὅραμά σου καὶ τὰ σατανικά σου σχέδια.

8. Μόλις εἶπε τοὺς λόγους αὐτοὺς ὁ Ἅγιος, ἀμέσως ἔγινε σκόνη ὁ διάβολος, ποὺ ὑπεκρύπτετο εἰς τὴν ἐμφάνισιν τῆς ὀπτασίας, καὶ ἐγέμισε δυσοσμίαν τὸ κελλί, ἀλλὰ καὶ τὸν ἀέρα ἀκόμη. Συγχρόνως ἠκούσθη κραυγὴ τοῦ διαβόλου, ποὺ ἔλεγε· «Ἂν ἠμποροῦσα νὰ σὲ κερδίσω, θὰ ἐσπάραζες τώρα εἰς τοὺς πόδας μου· ἀλλὰ ἡ δύναμις τοῦ Χριστοῦ εἶναι μεγάλη καὶ οὕτω ἐμπαίζομαι ἀπὸ σᾶς καθημερινῶς. Ὡς τόσον δὲν θὰ σταματήσω νὰ σᾶς πολεμῶ, διότι πρέπει νὰ ἐπιτελῶ τὴν ἐργασίαν μου».

9. Ὁ Ἅγιος ὅμως Παχώμιος ἐνισχυθεὶς μὲ τὴν δύναμιν τοῦ Πνεύματος ηὐχαρίστει τὸν Θεὸν διὰ τὰς ἐξαιρετικάς Του δωρεάς.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΑΔΕΛΦΟΙ τινες παρέβαλον τῷ Ἀββᾷ Ἀντωνίῳ, ἀναγγεῖλαι αὐτῷ φαντασίας, ἃς ἔβλεπον, καὶ μαθεῖν παρ' αὐτοῦ εἰ ἀληθιναί εἰσιν, ἢ ἀπὸ δαιμόνων· εἶχον δὲ ὄνον καὶ ἀπέθανεν ἐν τῇ ὁδῷ.

2. Ὡς οὖν ἀπῆλθον πρὸς τὸν Γέροντα, προλαβὼν εἶπεν αὐτοῖς· πῶς ἀπέθανεν ὁ μικρὸς ὄνος ἐν τῇ ὁδῷ; Λέγουσιν αὐτῷ· πῶς οἶδας, Ἀββᾶ; Ὁ δὲ εἶπεν αὐτοῖς· οἱ δαίμονες ἔδειξάν μοι. Καὶ λέγουσιν αὐτῷ· ἡμεῖς διὰ τοῦτο ἤλθομεν ἐρωτῆσαί σε, ὅτι βλέπομεν φαντασίας, καὶ πολλάκις γίνονται ἀληθιναί, μήπως πλανώμεθα.

3. Καὶ ἐπληροφόρησεν αὐτοὺς ὁ Γέρων ἐκ τοῦ κατὰ τὸν ὄνον ὑποδείγματος, ὅτι ἀπὸ δαιμόνων εἰσίν.

4. Ἀδελφὸς ἐκάθητο ἡσυχάζων, καὶ ἤθελον αὐτὸν οἱ δαίμονες πλανῆσαι προφάσει Ἀγγέλων. Καὶ ἤγειραν αὐτὸν εἰς σύναξιν, καὶ φῶτα ἐδείκνυον αὐτῷ. Παρέβαλε δέ τινι Γέροντι καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, οἱ Ἄγγελοι ἔρχονται μετὰ φωτὸς καὶ ἐγείρουσί με εἰς τὴν σύναξιν. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· μὴ ἀκούσῃς αὐτῶν, δαίμονες γάρ εἰσιν, ἀλλ' ὅτε ἔρχονται ἐξυπνῆσαι σε, λέγε· ἐγὼ ὅτε θέλω ἐγείρομαι, ὑμῶν δὲ οὐκ ἀκούω.

5. Λαβὼν δὲ ὁ ἀδελφὸς τὴν παραγγελίαν τοῦ Γέροντος, ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ. Καὶ τῇ ἐπιούσῃ νυκτὶ πάλιν, κατὰ τὸ ἔθος, ἐλθόντες οἱ δαίμονες ἤγειρον αὐτόν. Ὁ δέ, καθὼς παρηγγέλθη, αὐτοῖς εἰπών, ὅτι ὅτε θέλω ἐγείρομαι, ὑμῶν

δὲ οὐκ ἀκούω, εἶπον αὐτῷ· ὁ κακόγηρος ἐκεῖνος ὁ ψεύστης ἐπλάνησέ σε, καὶ γὰρ ἦλθε πρὸς αὐτὸν ἀδελφὸς χρήσασθαι κέρμα, καὶ ἔχων ἐψεύσατο καὶ οὐκ ἔδωκεν· ἐκ τούτου μάθε ὅτι ψεύστης ἐστίν.

6. Ὀρθρίσας δὲ ὁ ἀδελφός, ἦλθε πρὸς τὸν Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ ταῦτα. Καὶ εἶπεν ὁ Γέρων· ὅτι μὲν εἶχον κέρμα, ὁμολογῶ, οὐκ ἔδωκα δὲ τῷ ζητοῦντι ἀδελφῷ, ὅτι ᾔδειν ὅτι εἰς ζημίαν ψυχῆς ἐρχόμεθα· ἐλογισάμην οὖν παραβῆναι μίαν ἐντολήν, καὶ μὴ δέκα. Σὺ δὲ τῶν δαιμόνων τῶν θελόντων σε πλανῆσαι μὴ ἀκούσῃς. Καὶ πολλὰ στηριχθεὶς ὁ ἀδελφὸς ὑπὸ τοῦ Γέροντος, ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ.

7. Δύο ἀδελφοὶ ἀνεχώρησαν εἰς τὴν ἐσωτέραν ἔρημον καὶ ἦσαν τὰς μὲν ἓξ ἡμέρας ἀπ' ἀλλήλων χωριζόμενοι, τῇ δὲ ἑβδόμῃ συνερχόμενοι ὁμοῦ, ἐπετέλουν τὰς εὐχάς, καὶ ἐγεύοντο, μηδὲν πλέον ἀλλήλοις διαλεγόμενοι.

8. Ἀπερχόμενοι οὖν οἱ δαίμονες πρὸς τὸν ἕνα αὐτῶν, ἠπάτουν αὐτὸν ἐν πολλοῖς, καὶ προεσήμαινον εἰσόδους ἀδελφῶν, καὶ τὰ γινόμενα ἐν πολλοῖς τόποις. Ταῦτα ὁρῶν, καὶ ἀκούων ὁμοίως γινόμενα, ἐπίστευεν αὐτοῖς, νομίζων Ἀγγέλους εἶναι τοὺς ταῦτα αὐτῷ προμηνύοντας, ἐκώλυσαν δὲ αὐτὸν ἀπέρχεσθαι καὶ πρὸς τὸν ἀδελφὸν τῇ τεταγμένῃ ἡμέρᾳ.

9. Ποτὲ οὖν ἀπῆλθεν ἐπισκέψασθαί τινα ἀδελφὸν ἐν Μοναστηρίῳ, καὶ ὑπέβαλέ τισι τῆς Μονῆς ὡς περὶ ἄλλου ἐρωτῶν· εἰ δυνατόν ἐστί τινα τὰ ἐν τῷ κόσμῳ γινώσκειν; Οἱ δὲ ἀκούσαντες, καὶ γνόντες, ὅτι αὐτός ἐστιν ὁ ἀπατώμενος, ἐπετίμησαν αὐτὸν εἰπόντες· εἰ τοιούτοις σχολάζεις, μηκέτι ἡμῖν παραβάλλῃς. Καὶ εὐθὺς μετενόησεν ἀπαρνησάμενος πάντα ἐκεῖνα.

10. Ὑποστρέψαντος δὲ αὐτοῦ εἰς τὸν ἴδιον τόπον, ἦλθον πάλιν οἱ δαίμονες, κατὰ τὸ σύνηθες, αὐτὸν ἀπατῆσαι. Ὁ δὲ ψεύστας ἀπεκάλει, καὶ ἐπετίμησεν αὐτοῖς· εὐθὺς δὲ μετεβλήθησαν εἰς ἄλογα ζῷα, καὶ ἀπειλήσαντες αὐτὸν ἀπῆλθον.

Γρηγόριος

8. Ἐὰν ὁ ἐτάζων Κριτὴς οὐχὶ τὰς καρδίας τῶν ἀνθρώπων, ἀλλὰ τὰ ἔργα ἐξήταζε, τοῦτο ἂν ὀρθῶς ὑπελάμβανες· καὶ γὰρ οἱ ἄδικοι μετὰ τέλους ἥμαρτον. Ἀλλὰ διὰ τοῦτο, διότι καὶ μετὰ τέλους ἔζησαν, ἐπεὶ ἤθελον εἰ ἦν δυνατόν, ἄνευ τέλους ζῆσαι, ἵνα δυνηθῶσι καὶ ἄνευ τέλους ἁμαρτάνειν· διὰ γὰρ τὸ μηδέποτε ἐν ὅσῳ ζῶσι τοῦ ἁμαρτάνειν ἀφίστασθαι, δείκνυσιν, ὅτι ἐν ἁμαρτίαις πάντοτε ζῆσαι ἐπιθυμοῦσι.

9. Μεγάλη οὖν ἡ δικαιοσύνη τοῦ Κρίνοντος φαίνεται, ταῖς αἰωνίοις καὶ ἀτελευτήτοις βασάνοις παραπέμψαντος τοὺς θελήσαντας ἐν τῇ ζωῇ αὐτῶν τῇ παρούσῃ μηδέποτε ἁμαρτάνειν παύσασθαι.

Πέτρος

10. Ἀλλ' οὐδεὶς δίκαιος τῇ ὠμότητι τρέφεται, καὶ δοῦλος δὲ ἁμαρτάνων παρὰ δικαίῳ δεσπότῃ, τούτου ἕνεκα μαστιγοῦται, ὅπως τῆς καχεξίας αὐτοῦ διορθώσηται· οἱ ἄδικοι δὲ τῷ τῆς γεέννης πυρὶ παραδοθέντες, ἐὰν πρὸς διόρθωσιν οὐκ ἔρχωνται, τίνος χάριν διηνεκῶς καταφλέγονται ;

Γρηγόριος

11. Ὁ παντοδύναμος Θεός, εὔσπλαγχνος ὑπάρχων, τῇ τῶν ἀθλίων βασάνῳ οὐ τρέφεται, δίκαιος δὲ ὢν τῆς τῶν ἀδίκων ἐκδικήσεως εἰς τὸν αἰῶνα οὐκ ἀφίσταται· οἱ δὲ ἄδικοι πάντες οἱ τῇ αἰωνίᾳ βασάνῳ παραδοθέντες τῇ ἰδίᾳ ἀνομίᾳ ἐτάζονται.

12. Τούτων δὲ φλεγομένων οἱ δίκαιοι πάντες ἐν τῷ Θεῷ ὄντες, ἐν ἑαυτοῖς μὲν θεωροῦσι τὴν Χάριν ἣν παρ' Αὐτοῦ λαμβάνουσιν, ἐν ἐκείνοις δὲ τὴν βάσανον, ἣν ἐξέφυγον αὐτοί, καὶ ἐκ τῆς ἐκείνων κολάσεως ἑαυτοὺς καὶ μᾶλλον χρεώστας τῆς θείας Χάριτος εἶναι εἰς τὸν αἰῶνα λογίζονται.

Πέτρος

13. Καὶ πῶς Ἅγιοι ὄντες, ὑπὲρ τῶν ἐχθρῶν αὐτῶν οὐκ εὔχονται, οὓς τότε καιομένους ὁρῶσιν ;

Γρηγόριος

14. Οἱ Ἅγιοι, Πέτρε, ἐν ἐκείνῳ τῷ καιρῷ εὔχονται ὑπὲρ τῶν ἐχθρῶν αὐτῶν, ἐν ᾧ δύνανται εἰς τὴν τῆς μετανοίας καρποφορίαν τὴν καρδίαν αὐτῶν ἐπιστρέψαι, καὶ διὰ τῆς μετανοίας σωθῆναι αὐτούς· τοῦτο γάρ ἐστι τὸ ὑπὲρ ἐχθρῶν εὔξασθαι, («προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς»), ὅπερ (ἑρμηνεύων) ὁ Ἀπόστολος λέγει, ἵνα «δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα».

15. Ὅτε δὲ λοιπὸν οὐδαμῶς δύνανται ἐκ τῶν τῆς ἀνομίας ἔργων πρὸς δικαιοσύνην αὐτοὺς ἐπιστρέψαι, πῶς ὑπὲρ αὐτῶν τότε προσεύξονται ; τὸ γὰρ ὑπὲρ αὐτῶν τότε προσεύξασθαι ὅμοιόν ἐστι τὸ νῦν ὑπὲρ τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ προσεύχεσθαι, τῶν τῇ αἰωνίᾳ βασάνῳ κατακριθέντων· διὸ οὐδὲ προσεύχονται νῦν οἱ ἅγιοι ἄνδρες ὑπὲρ ἀπίστων ἀνθρώπων καὶ ἀσεβῶν τελευτησάντων, οὕσπερ λοιπὸν τῇ ἀτελευτήτῳ κολάσει ἀφορισθέντας ἔγνωσαν, ἵνα μὴ τὸ τῆς εὐχῆς ἀξίωμα ἐνώπιον τοῦ Δικαίου Κριτοῦ ἐξυδαρωθῇ.

16. Εἰ οὖν ἔτι ζῶντες οἱ δίκαιοι τοῖς τελευτήσασιν ἀπίστοις οὐδαμῶς συμπαθοῦσι, καίτοι εἰδότες αὐτοὺς μήπω ἐν τῇ σαρκὶ αὐτῶν βασανιζομένους, πόσῳ γε μᾶλλον οὐ συμπαθήσουσι τοῖς ἀνόμοις, ὅταν τὴν βάσανον αὐτῶν θεωρῶσιν εἰς πέρας ἐλθοῦσαν, ἑαυτοὺς δὲ ἐκ παντὸς πάθους καὶ φθορᾶς ἐξελθόντας καὶ ὅλως τῇ Δικαιοσύνῃ προσκολληθέντας;

17. Τότε γὰρ τῷ θελήματι τῆς ἐξετάσεως τοῦ Δικαίου Κριτοῦ, διὰ τῶν λογισμῶν προσκολληθέντες, οὐδὲν παντάπασι τολμῶσι δυσωπῆσαι, ὅπερ τῇ ἔνδον Αὐτοῦ ἀκριβεστάτῃ βουλῇ οὐ συνᾴδει.

Πέτρος

18. Οὐκ ἔστι λοιπὸν ὅπερ ἀποκριθῆναι δύναμαι, ἀνεωγμένης σαφῶς τῆς ἀπολογίας· ζητῶ δὲ μαθεῖν, πῶς ἡ ψυχὴ ἀθάνατος οὖσα, ἐν τῷ αἰωνίῳ πυρὶ ἀποθνήσκειν λέγεται;

Γρηγόριος

19. Ἐπειδὴ κατὰ δύο τρόπους ἡ ζωὴ λέγεται, ἀκόλουθόν ἐστι καὶ τὸν θάνατον ἐν δυσὶ νοηθῆναι τρόποις· ἕτερον μέν ἐστιν, ὅπερ ἐν Θεῷ ζῶμεν, ἤγουν μακαρίως, ἕτερον δὲ ἐν τούτῳ, ὥσπερ ἐκτίσθημεν καὶ γεγόναμεν, ἤτοι οὐσιωδῶς. Ἡ ψυχὴ οὖν, καὶ θνητή ἐστι καὶ ἀθάνατος· θνητὴ μέν, ὅταν τὸ μακαρίως ζῆν ἀποβάλῃ· ἀθάνατος δέ, τὸ πνευματικῶς ζῆν.

20. Ἤγουν τὴν φυσικὴν ἑαυτῆς ζωὴν ἀπολέσαι οὐδέποτε δύναται, οὐδὲ ὅταν ἐν κατακρίσει εἰς τὸν αἰώνιον γένηται θάνατον· ἐν ἐκείνῳ γὰρ γενομένῃ, οὐ τὸ ζῆν ἁπλῶς, ἀλλὰ τὸ μακαρίως ζῆν ἀπόλλυσιν, ἐξ οὗ νοεῖν δίδοται ὅτι καὶ θάνατον ἀθάνατον, καὶ ἔκλειψιν ἀνέκλειπτον, καὶ τέλος ἀτελεύτητον ὑπομένει.

Ἑρμηνεία

Ο ΚΥΡΙΟΣ λέγει εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· «περιπατεῖτε ἕως τὸ φῶς ἔχετε» (Ἰωάν. ιβ΄ 35). Ἐπίσης διὰ τοῦ Προφήτου λέγει· «καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι» (Ἡσ. μθ΄ 8). Αὐτὸ τὸ ῥητὸν τοῦ Προφήτου ἑρμηνεύων ὁ Ἀπόστολος λέγει· «ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας» (Β΄ Κορ. ς΄ 2). Παράλληλον νόημα ἐκφράζει καὶ ὁ σοφὸς Σολομών, ὅταν λέγῃ· «πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου ποίησον, ὅτι οὐκ ἔστι ποίημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν Ἅδῃ, ὅπου σὺ πορεύῃ ἐκεῖ» (Ἐκκλ. θ΄ 10).

2. Ἀπὸ ὅλας αὐτὰς τὰς βιβλικὰς μαρτυρίας ἀποδεικνύεται ὁλοφάνερα, ὅτι μὲ τὴν ἠθικὴν κατάστασιν ποὺ θὰ ἐξέλθῃ ὁ ἄνθρωπος τοῦ παρόντος κόσμου, μὲ αὐτὴν θὰ ἐμφανισθῇ ἐνώπιον τοῦ ἀδεκάστου Δικαστηρίου, διὰ νὰ κριθῇ.

3. Ἐν τούτοις πρέπει νὰ γνωρίζῃ κανείς, ὅτι ἀπαλλάσσονται οἱ ἀποθανόντες ἀπὸ μερικὰ ἐλαφρὰ καὶ ἄνευ ἠθικῆς βαρύτητος ἁμαρτήματα, διὰ τῶν προσευχῶν, τῶν ἐλεημοσυνῶν, τῶν προσφορῶν καὶ τῆς Θείας Λειτουργίας, τὰ ὁποῖα ὑπὲρ αὐτῶν ἐπιτελοῦσιν οἱ ζῶντες. Ἡ ὑπὲρ αὐτῶν φιλάδελφος προσπάθεια τῶν ζώντων, ἐνισχυομένη καὶ ἀπὸ διαφόρους ἄλλας καλὰς πράξεις, ποὺ ἐτέλεσαν οὗτοι ἐν ὅσῳ ἔζων, δύναται νὰ ἀξιώσῃ συγχωρήσεως τὰς ψυχὰς τῶν τεθνεώτων ἀπὸ τὰ ἐλαφρὰ πταίσματα.

Π έ τ ρ ο ς

4. Ἐπιθυμῶ, σὲ παρακαλῶ, νὰ μάθω καὶ τοῦτο· αὐτοί, ποὺ ὁ-πωσδήποτε, λόγῳ τῶν ἁμαρτιῶν των, ἐρρίφθησαν εἰς τὸ πῦρ τῆς γε-έννης, πρέπει νὰ θεωρήσωμεν, ὅτι διαρκῶς θὰ καταφλέγωνται;

Γ ρ η γ ό ρ ι ο ς

5. Αὐτὸ εἶναι τελείως ἀληθὲς καὶ δὲν χωρεῖ ἐπ' αὐτοῦ οὐδεμία ἀμφιβολία. Διότι, ὅπως ἀκριβῶς δὲν θὰ τελειώσῃ ποτὲ ἡ χαρὰ τῶν δι-καίων καὶ καλῶν ἀνθρώπων, τοιουτοτρόπως δὲν θὰ ὑπάρξῃ καὶ τέλος τῆς τιμωρίας τῶν κακῶν καὶ πονηρῶν. Αὐτὸς δὲ οὗτος ὁ Κύριος, ὅστις εἶναι ἡ Ἀλήθεια, εἶπε περὶ αὐτῶν εἰς τὸ Ἱερὸν Εὐαγγέλιον Του· «ἀ-πελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώ-νιον» (Ματθ. κε' 46).

6. Ἐφ' ὅσον λοιπὸν αὐτό, ποὺ ὑπεσχέθη εἰς τοὺς καλοὺς καὶ ἐ-ναρέτους ἀνθρώπους, εἶναι ἀληθές, ἐξυπακούεται, ὅτι καὶ ἡ ἀπειλὴ πρὸς τοὺς κακοὺς καὶ πονηροὺς δὲν θὰ διαψευσθῇ· διότι καὶ εἰς τὰς δύο περιπτώσεις ὑφίσταται ὡς δικαία καὶ ἀληθὴς συνέπεια ἡ αἰωνιό-της. Ἐὰν δὲ κανεὶς ἔχῃ τὴν γνώμην καὶ λέγει, ὅτι ὁ Θεὸς εἶναι ἐκ φύ-σεως ἀγαθὸς καὶ φιλάνθρωπος, ὥστε νὰ μὴ πραγματοποιήσῃ τὴν ἀπει-λήν Του, ἂς γνωρίζῃ, ὅτι ἐφ' ὅσον λέγει, ὅτι ὁ Θεός, ὡς ἐλεήμων, θὰ συγχωρήσῃ τὰ πάντα, διακηρύσσει Αὐτὸν ψεύστην, ὡς πρὸς τὴν θείαν Αὐτοῦ Δικαιοσύνην, πρᾶγμα ποὺ εἶναι τελείως ἐπικίνδυνον καὶ νὰ τὸ σκεφθῇ κανείς.

Π έ τ ρ ο ς

7. Θέλω νὰ μάθω, πῶς εἶναι δίκαιον νὰ τιμωρηθῇ μὲ ἀτελεύτη-τον κόλασιν, τὸ πταῖσμα, ποὺ διέπραξε μὲν ὁ ἄνθρωπος, ἀλλ' ἐτελείωσε.

Γ ρ η γ ό ρ ι ο ς

8. Ἐὰν ὁ δικάζων τὸν ἄνθρωπον οὐράνιος Κριτὴς ἐλάμβανεν ὑπ' ὄψιν Του μόνον τὰς πράξεις, αὐτὰς καθ' ἑαυτάς, καὶ ὄχι κυρίως τὰς ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου διαθέσεις, ὀρθῶς θὰ ὑπέθετες τοῦτο. Οἱ ἄδικοι βεβαίως ἁμαρτάνουν καὶ τελειώνει κάποτε ἡ ἁμαρτία των, διό-τι καὶ ἡ ζωή των περιορίζεται μέσα εἰς τὰ στενὰ σύνορα τοῦ χρόνου· θὰ ἤθελαν ὅμως νὰ μὴ εἶχε τέλος ἡ ζωή των, διὰ νὰ ἁμαρτάνουν ἀτε-λείωτα. Ἀπὸ τὸ γεγονὸς δέ, ὅτι ποτὲ δὲν σταματοῦν, ἐν ὅσῳ ζοῦν, νὰ ἁμαρτάνουν, γίνεται φανερόν, ὅτι ἐπιθυμοῦν νὰ ζοῦν παντοτινὰ εἰς τὴν ἁμαρτίαν.

9. Ὡς ἐκ τούτου φανερώνεται, ὅτι ἡ Δικαιοσύνη τοῦ Θεοῦ εἶναι ἀκριβὴς καὶ ἀπόλυτος, ὅταν Οὗτος παρέπεμψεν εἰς τὴν ἀτελεύτητον κό-λασιν αὐτοὺς ποὺ οὔτε ἐσταμάτησαν, οὔτε ποτὲ ἠθέλησαν νὰ σταμα-τήσουν, κατὰ τὸ παρὸν στάδιον τῆς ζωῆς των, ἀπὸ τοῦ νὰ ἁμαρτάνουν.

Πέτρος

10. Κανεὶς ὅμως δίκαιος καὶ ἐνάρετος δὲν εὐχαριστεῖται ἀπὸ τὴν πρὸς τὸν συνάνθρωπόν του σκληρότητα· ἀλλὰ καὶ ὅταν ἕνας δοῦλος σφάλῃ ἀπέναντι δικαίου δεσπότου, δι' αὐτὸν καὶ μόνον τὸν λόγον μαστιγώνεται, διὰ νὰ διορθωθῇ. Πῶς ὅμως πρέπει νὰ ἐξηγήσωμεν τὴν περίπτωσιν τῆς αἰωνίου καὶ ἀτελευτήτου κολάσεως τῶν ἁμαρτωλῶν; Ἐφ' ὅσον δηλαδὴ οἱ ἁμαρτωλοὶ δὲν διορθώνονται, τότε πρὸς τί νὰ καταφλέγωνται διαρκῶς ἀπὸ τὸ πῦρ τῆς κολάσεως;

Γρηγόριος

11. Ὁ παντοδύναμος Θεὸς δὲν εὐχαριστεῖται ἀπὸ τὴν τιμωρίαν τῶν ἁμαρτωλῶν, διότι εἶναι φύσει εὔσπλαγχνος· ὡς δίκαιος ὅμως Κριτὴς καὶ τιμωρὸς τῶν ἀδίκων πράξεων οὐδέποτε ἐν τῇ αἰωνιότητι παραιτεῖται τῆς τιμωρίας τῶν ἀδίκων καὶ ἁμαρτωλῶν. Ὅλοι οἱ ἄδικοι, οἱ ὁποῖοι λόγῳ τῆς ἁμαρτίας των παρεδόθησαν εἰς τὴν αἰώνιον κόλασιν, τιμωροῦνται ὑπὸ τῆς ἰδίας των ἀνομίας.

12. Ἐνῷ δὲ οἱ ἄδικοι καὶ ἁμαρτωλοὶ καταφλέγονται, ὅλοι οἱ δίκαιοι, ποὺ εὑρίσκονται πλησίον τοῦ Θεοῦ, βλέπουν μετ' εὐγνώμονος θαυμασμοῦ εἰς μὲν τοὺς ἑαυτούς των τὴν Χάριν, τὴν ὁποίαν παρὰ Θεοῦ ἀπήλαυσαν, εἰς δὲ τοὺς κολαζομένους ἁμαρτωλοὺς τὴν φρίκην τῆς κολάσεως, τὴν ὁποίαν ἀπέφυγον· οὕτω δέ πως θεωροῦντες τὴν ἀντίθεσιν μεταξὺ κολάσεως καὶ ἀμοιβῆς αἰσθάνονται, πάντοτε, ἀτελευτήτως, ὅτι εἶναι κυρίως χρεῶσται εἰς τὴν Θείαν Χάριν, ποὺ τοὺς ἠξίωσε τοιούτου κέρδους.

Πέτρος

13. Καὶ πῶς, ἐνῷ εἶναι Ἅγιοι, δὲν εὔχονται ὑπὲρ τῶν ἐχθρῶν των, τοὺς ὁποίους, τότε, θὰ βλέπουν νὰ καίωνται;

Γρηγόριος

14. Οἱ Ἅγιοι, Πέτρε, εὔχονται ὑπὲρ τῶν ἐχθρῶν τότε μόνον, ὅταν εἶναι δυνατὸν ἡ καρδία των νὰ ἐπιστρέψῃ εἰς τὴν καρποφορίαν τῆς μετανοίας καὶ νὰ σωθῇ δι' αὐτῆς, δηλαδὴ εἰς τὴν παροῦσαν ζωήν. Αὐτὸ εἶναι καὶ τὸ νόημα τῆς Δεσποτικῆς ἐντολῆς, νὰ προσευχώμεθα ὑπὲρ τῶν ἐχθρῶν μας (τῶν κακῶς μεταχειριζομένων ἡμᾶς καὶ διωκόντων ἡμᾶς (Ματθ. ε' 44). Τὴν ἐντολὴν αὐτήν, ἑρμηνεύων ὁ οὐρανοβάμων Ἀπόστολος, λέγει νὰ προσευχώμεθα ὑπὲρ τῶν ἐχθρῶν μας «διὰ νὰ δώσῃ εἰς αὐτοὺς ὁ Θεὸς μετάνοιαν, νὰ γνωρίσουν τὴν ἀλήθειαν καὶ νὰ ξεφύγουν τὴν παγίδα τοῦ διαβόλου, διὰ τῆς ὁποίας τοὺς ἔχει αἰχμαλωτίσει εἰς τὸ θέλημά του» (Β' Τιμ. β' 25—26).

15. Ὅταν ὅμως δὲν δύνανται πλέον νὰ τοὺς ἐπιστρέψουν ποτὲ ἀπὸ τὰ ἔργα τῆς ἀνομίας πρὸς τὴν δικαιοσύνην, τότε ποῖον ἀποτέλε-

σμα θὰ ἔχῃ ἡ ὑπὲρ αὐτῶν προσευχή; Εἶναι τόσον ἄσκοπον καὶ ἀνωφελές, ὡς τὸ νὰ προσεύχωνται ὑπὲρ τοῦ διαβόλου καὶ τῶν ὑπηρετῶν του, οἱ ὁποῖοι ἤδη ἔχουν καταδικασθῇ εἰς τὴν αἰώνιον κόλασιν. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον δὲν προσεύχονται πλέον οἱ Ἅγιοι ἄνδρες ὑπὲρ ἀνθρώπων ἀπίστων, ποὺ ἀπέθαναν εἰς τὴν ἀσέβειαν καὶ διὰ τοὺς ὁποίους γνωρίζουν, ὅτι ἀπεχωρίσθησαν ἀπὸ τὴν Ἐκκλησίαν καὶ προορίζονται διὰ τὴν αἰώνιον κόλασιν, διὰ νὰ μὴ ἐξατμισθῇ ἡ ἀξία καὶ ἡ ὑπόληψις τῆς προσευχῆς ἐνώπιον τοῦ Δικαίου Κριτοῦ.

16. Ἐὰν λοιπὸν οἱ δίκαιοι δὲν συμπαθοῦν, ἐν ὅσῳ ζοῦν, τοὺς ἀπίστους, ποὺ ἀποθνήσκουν ἐν τῇ ἀπιστίᾳ των, ἂν καὶ δὲν εἶδον αὐτοὺς ἀκόμη νὰ βασανίζωνται σωματικῶς εἰς τὴν κόλασιν, πόσον βεβαίως δὲν θὰ συμπαθήσουν τοὺς ἀνόμους, ὅταν πλέον ἴδουν ὁλοκληρωθεῖσαν τὴν τιμωρίαν των, κατὰ τὴν πέραν τοῦ τάφου ζωήν, τοὺς δὲ ἑαυτούς των διαφυγόντας ἀπὸ κάθε πάθος καὶ φθορὰν καὶ καθ' ὁλοκληρίαν συμπνευματωθέντας μὲ τὸ ὑψηλὸν νόημα καὶ τὴν θείαν ἔννοιαν τῆς δικαιοσύνης;

17. Τότε, κατὰ τὴν πέραν τοῦ τάφου ζωήν, οἱ λογισμοὶ καὶ αἱ σκέψεις τῶν δικαίων θὰ ἔχουν τελείως ἐναρμονισθῇ μὲ τὸ θέλημα καὶ τὴν περὶ τῶν ἀνόμων ἀπόφασιν τοῦ Δικαίου Κριτοῦ· δι' αὐτὸ καὶ δὲν θὰ τολμοῦν νὰ ἐνοχλήσουν διὰ τῶν ἱκεσιῶν των τὸν Κύριον, ἐφ' ὅσον ἡ τοιαύτη ἱκεσία των δὲν θὰ συμφωνῇ μὲ τὴν ἐνδόμυχον ἀκριβοδικαίαν διάθεσιν Ἐκείνου.

Πέτρος

18. Δὲν ἔχω οὐδεμίαν ἀντίρρησιν, διότι ἡ ἐξήγησις τὴν ὁποίαν μοῦ ἔδωσες, ἐπὶ τῆς ἀπορίας μου, ὑπῆρξε σαφής. Ἕνα ἀκόμη ζητῶ νὰ μάθω· πῶς ἡ ψυχή, ἐνῷ εἶναι ἀθάνατος, λέγομεν, ὅτι ἀποθνήσκει εἰς τὸ αἰώνιον πῦρ;

Γρηγόριος

19. Ἐπειδὴ ἡ ζωὴ εἰς δύο περιπτώσεις κυριολεκτεῖται, ἑπόμενον εἶναι νὰ ἐννοήσωμεν καὶ τὸν θάνατον εἰς δύο περιπτώσεις· ἄλλο πρᾶγμα εἶναι τὸ νὰ ζῶμεν ἐν Θεῷ, δηλαδὴ εἰς περιοχὴν μακαριότητος καὶ κατὰ Θεὸν εὐτυχίας, καὶ ἄλλο νὰ ζῶμεν ὅπως ἀκριβῶς ἐδημιουργήθημεν καὶ ἐπλάσθημεν, δηλαδὴ κατὰ τοὺς βιολογικοὺς ὅρους τῆς φύσεως, ὡς ἔμβια ὄντα. Συμφώνως λοιπὸν πρὸς αὐτὰ καὶ ἡ ψυχὴ εἶναι καὶ θνητὴ καὶ ἀθάνατος. Καὶ θνητὴ μὲν εἶναι, ὅταν παύσῃ νὰ ζῇ τὴν κατὰ Θεὸν μακαρίαν ζωήν, ἀθάνατος δέ, ἐφ' ὅσον ζῇ πνευματικῶς.

20. Ἐν συμπεράσματι λέγομεν: Ἡ ψυχὴ οὐδέποτε δύναται νὰ χάσῃ τὴν ἐκ τῆς φυσικῆς της ὑποστάσεως προερχομένην ζωήν[1], οὔτε καὶ ὅταν ἀκόμη καταδικασθῇ, λόγῳ τῶν ἐν τῷ βίῳ ἁμαρτιῶν, εἰς τὴν

1) Ἡ ἀθανασία τῆς ψυχῆς συνιστᾷ φυσικὴν κατάστασιν αὐτῆς, λόγῳ τῆς οὐσίας αὐτῆς.

αἰώνιον κόλασιν, ἡ ὁποία εἶναι θάνατος, διότι στερεῖται ἡ ψυχὴ τῆς μακαριότητος τῆς μετὰ τοῦ Θεοῦ ἐπικοινωνίας. Καταδικασθεῖσα ἡ ψυχὴ εἰς τὸν οὕτω πως ἐννοούμενον θάνατον, τὴν αἰώνιον κόλασιν δηλαδή, δὲν ἔχασε τὴν ἱκανότητα νὰ ζῇ ὡς πνεῦμα (διότι τὸ πνεῦμα εἶναι αἰώνιον καὶ ἀθάνατον), ἀλλ' ἐστερήθη διὰ παντὸς τῆς πανευφροσύνου μακαριότητος. Δι' αὐτὸ καὶ ἐπιτρέπεται νὰ ἐννοήσωμεν, ὅτι ἡ ψυχή, τιμωρουμένη, ὑφίσταται ἀθάνατον θάνατον, ἀφάνειαν ἀνεξαφάνιστον καὶ ἀτελείωτον τέλος.

Β'. Τοῦ Ἁγίου Διαδόχου.

ΔΕΙ ἡμᾶς τοὺς ἀγαπῶντας τὸν Κύριον εὔχεσθαι, ἐκτὸς παντὸς φόβου ἐν τῷ καιρῷ τῆς ἐξόδου εὑρίσκεσθαι· ὁ γὰρ ἐν φόβῳ εὑρισκόμενος τότε, τοὺς ταρταρίους ἄρχοντας ἐλευθερίῳ τρόπῳ οὐ παρελεύσεται· συνήγορον γὰρ ἔχουσιν-ὥσπερ ἐκεῖνοι τὴν τῆς ψυχῆς δειλίαν τῆς ἑαυτῶν κακίας.

2. Ἡ δὲ ἐν τῇ τοῦ Θεοῦ ἀγάπῃ ἀγαλλιωμένη ψυχή, ἐν τῇ ὥρᾳ τῆς ἀνακλήσεως ἐπάνω πασῶν τῶν σκοτεινῶν παρατάξεων φέρεται, σὺν τοῖς Ἀγγέλοις τῆς εἰρήνης· ἐπτέρωται γὰρ ὥσπερ ἐν τῇ πνευματικῇ ἀγάπῃ, ὡς τὸ πλήρωμα τοῦ νόμου ἀνελλιπῶς φέρουσα, τὴν ἀγάπην· διόπερ καὶ ἐν τῇ Παρουσίᾳ τοῦ Κυρίου, μετὰ πάντων τῶν Ἁγίων ἁρπαγήσονται ἐν νεφέλαις οἱ μετὰ τοιαύτης παρρησίας τοῦ βίου ἐξιόντες.

3. Οἱ δὲ κἂν βραχὺ δειλιῶντες ἐν τῷ καιρῷ τοῦ θανάτου, ἐν τῇ πάντων τῶν ἄλλων ἀνθρώπων πληθύϊ καταλειφθήσονται ὡς ὑπὸ κρίσιν ὄντες, ἵνα διὰ τοῦ πυρὸς τῆς κρίσεως δοκιμασθέντες (1), τοὺς κεχρεωστημένους αὐτοῖς κατὰ τὰς αὐτῶν πράξεις ἀπολάβωσι κλήρους, παρὰ τοῦ Θεοῦ ἡμῶν καὶ Βασιλέως Ἰησοῦ Χριστοῦ.

Ἑρμηνεία

ΗΜΕΙΣ, ποὺ ἀγαπῶμεν τὸν Κύριον, πρέπει νὰ εὐχώμεθα, ὅπως, κατὰ τὴν ὥραν τῆς ἐξόδου ἡμῶν ἐκ τοῦ σώματος, μὴ δοκιμάσωμεν κανένα φόβον· διότι ὅποιος θὰ φοβηθῇ κατ' ἐκείνην τὴν στιγμήν, δὲν θὰ προσπεράσῃ μὲ ἄνεσιν τοὺς ἄρχοντας τοῦ Ταρτάρου, δηλαδὴ τοὺς δαίμονας, ἐπειδή, ὅπως ἀκριβῶς οἱ δαίμονες, οὕτω καὶ οἱ φοβούμενοι κατ' ἐκείνην τὴν στιγμήν, ὡς μόνον συνήγορον τῆς κακίας των παρουσιάζουν τὴν δειλίαν των.

2. Ἡ ψυχὴ ὅμως, ἡ ὁποία, κατὰ τὴν ὥραν τῆς ἀνακλήσεως ἐκ τοῦ κόσμου τούτου, εὐφραίνεται ἀπὸ τὴν πρὸς Θεὸν ἀγάπην, πετᾷ ὑπεράνω τῶν σκοτεινῶν παρατάξεων μαζὶ μὲ τοὺς Ἀγγέλους τῆς εἰρήνης. Ἡ τοιαύτη ψυχή, ὡς φέρουσα διαρκῶς ἐν ἑαυτῇ τὸ πλήρωμα τοῦ νόμου, τὴν ἀγάπην, ἀπέκτησε, μὲ τὴν δύναμιν τῆς πνευματικῆς ἀγάπης, πτερά. Δι' αὐτὸ βεβαίως καὶ ὅσοι διῆλθον τὸν ἐπίγειον βίον των μετὰ τοιούτου ἠθικοῦ θάρρους, ποὺ ἐμπνέει ἡ ἀγάπη, θὰ ἀναρπαγοῦν ἐν νεφέλαις, μαζὶ μὲ ὅλους τοὺς Ἁγίους, κατὰ τὴν Παρουσίαν τοῦ Κυρίου (Α' Θεσ. δ' 17).

---

1) Βλέπε ἔναντι ἑρμηνείαν τοῦ ῥητοῦ τούτου ὑπὸ τοῦ Ἁγίου Μαξίμου.

3. Όσοι όμως, έστω καὶ κατ' ἐλάχιστον, φοβοῦνται κατὰ τὴν ὥραν τοῦ θανάτου, αὐτοὶ θὰ παραμείνουν μὲ τὸ ὑπόλοιπον πλῆθος τῶν ἀνθρώπων, ὡς ὑπόδικοι, διὰ νὰ δοκιμασθοῦν ὑπὸ τοῦ πυρὸς τῆς κρίσεως(*) καὶ ἀπολάβωσι τὰς ὀφειλομένας ἐκ τῶν πράξεων των συνεπείας, παρὰ τοῦ Θεοῦ ἡμῶν καὶ Βασιλέως Ἰησοῦ Χριστοῦ.

Γ'. Τοῦ Ἁγίου Μαξίμου.

(*) Ἑρμηνεία εἰς τὸ ῥητὸν τοῦ Ἁγίου Διαδόχου «Ἵνα διὰ τοῦ πυρὸς τῆς κρίσεως δοκιμασθέντες».

ΟΙ τὸ τέλειον τῆς ἀγάπης κεκτημένοι πρὸς τὸν Θεόν, καὶ τὸ πτερὸν τῆς ψυχῆς διὰ τῶν ἀρετῶν μετεωρήσαντες κατὰ τὸν Ἀπόστολον, «ἐν νεφέλαις» ἁρπάζονται, καὶ εἰς κρίσιν οὐκ ἔρχονται.

2. Οἵ δέ γε μὴ πάντῃ τὸ τέλειον κτησάμενοι, ἀλλὰ ἁμαρτήματα καὶ κατορθώματα κεκτημένοι, οὗτοι ἐν τῷ Δικαστηρίῳ τῆς κρίσεως ἔρχονται, κἀκεῖ διὰ τῆς τῶν ἀγαθῶν καὶ φαύλων πράξεων ἀντεξετάσεως οἱονεὶ πυρούμενοι, εἴπερ ἡ τῶν ἀγαθῶν πλάστιγξ ἐπιβαρήσει, καθαίρονται τῆς κολάσεως.

Ἑρμηνεία

ΕΚΕΙΝΟΙ, ποὺ ἀπέκτησαν τὴν τελειότητα τῆς πρὸς τὸν Θεὸν ἀγάπης καὶ ἀνυψώθησαν μὲ τὰ πτερὰ τῆς ψυχῆς, τὰ ὁποῖα ἀπέκτησαν διὰ τῆς καλλιεργείας τῶν ἀρετῶν, ἁρπάζονται, κατὰ τὸν Ἀπόστολον «ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου» (Α' Θεσ. δ' 17) καὶ δὲν κρίνονται, ἀλλὰ θὰ εἶναι μαζὶ μὲ τὸν Κύριον (αὐτόθι).

2. Όσοι όμως δὲν ἀπέκτησαν ἐξ ὁλοκλήρου τὴν τελειότητα, ἀλλ' ἔχουν εἰς τὸ παθητικόν των ἁμαρτήματα καὶ κατορθώματα, αὐτοὶ προσέρχονται εἰς τὸ Δικαστήριον τῆς κρίσεως, ὅπου ἐκεῖ διὰ τῆς ἐξ ἀντιθέτου ἐρεύνης τῶν καλῶν καὶ κακῶν πράξεων, ποὺ ἐπετέλεσαν, εἶναι ὡς νὰ φλογίζωνται (ὑπὸ τῶν ἐλέγχων τῆς συνειδήσεως καὶ τῶν ἀντιφρονούντων λογισμῶν)· καὶ ἐφ' ὅσον βαρύνει ἡ πλάστιγξ τῶν καλῶν πράξεων, τότε καθαίρονται καὶ ἀπαλλάσσονται τῆς κολάσεως.

Σχόλιον τοῦ Διασκευαστοῦ.

Τόσον ὁ Ἅγιος Διάδοχος, ὅσον καὶ ὁ σχολιαστής του Ἅγιος Μάξιμος, ἐννοοῦν τὴν προσωρινὴν κρίσιν τῆς ψυχῆς, τὴν ἀμέσως μετὰ θάνατον πραγματοποιουμένην· ἡ καθολικὴ κρίσις, ἥτις θὰ γίνῃ κατὰ τὴν Δευτέραν Παρουσίαν, θὰ ἀναφέρεται εἰς ὅλους ἀνεξαιρέτως τοὺς ἀνθρώπους, μεθ' ἣν οἱ μὲν Δίκαιοι θὰ κληρονομήσουν τὴν Βασιλείαν τῶν οὐρανῶν, οἱ δὲ ἁμαρτωλοὶ τὴν αἰώνιον κόλασιν (Ματθ. κε' 46).



ὙΠΟΘΕΣΙΣ ΛΒ΄

Τὶς ὁ λόγος τῶν ἁγιασμάτων καὶ ἡ δύναμις, καὶ ἐπὶ ποίῳ σκοπῷ δεῖ αὐτοῖς προσιέναι.

Ποία ἡ αἰτία τῶν ἁγιασμάτων (τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας), ποία ἡ δύναμις καὶ διὰ ποῖον σκοπὸν πρέπει νὰ προσερχώμεθα εἰς αὐτά.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου

ΜΕΓΑΣ Ἀρσένιός ποτε πρὸς τοὺς παρόντας τοιοῦτον διήγημα διηγήσατο· Μοναχός τις γηραιός, λέγων, τὴν πρᾶξιν μὲν καὶ πάνυ θαυμάσιος, ἀφελείᾳ δὲ ὅμως καὶ ἀμαθίᾳ σύντροφος, οὐ μετρίως ἦν ἔχων ἡμαρτημένως περὶ τὸ μυστήριον τῆς θείας Ἱερουργίας· ἔφασκε γὰρ ἐκεῖνος καὶ διετείνετο, ὡς ὃν μεταλαμβάνομεν θεῖον Ἄρτον, οὐκ αὐτό τε τὸ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Σῶμά ἐστιν, ἀλλ' εἰς τύπον Ἐκείνου τινὰ καὶ εἰκόνα μεταδιδόμενος.

2. Ὅπερ τινὲς τῶν Γερόντων ἀκούσαντες, καὶ τῆς ἀτόπου ταύτης ὑπολήψεως τὸν γηραιὸν κατοικτείραντες, ἔρχονται πρὸς αὐτόν, καὶ ὃ περὶ αὐτοῦ ἤκουσαν ἀπαγγέλλουσιν. Ὁ δὲ καὶ οὕτως ἔχειν ἔφασκε τὴν ἀλήθειαν, καὶ ταύτης τῆς γνώμης ἀμεταθέτως ἔχειν ἐνίστατο· οἱ δὲ οὐκ ἀνῆσαν, ἀλλὰ πολλαῖς τε καὶ ἰσχυραῖς πίστεσι μεταπείθειν αὐτὸν ἔσπευδον, ἦ μὴν αὐτὸ ἐκεῖνο τὸ τοῦ Χριστοῦ Σῶμα διϊσχυριζόμενοι. Παραπλησίως δὲ καὶ τὸν οἶνον, τὸ ζωοποιὸν Αὐτοῦ καὶ ἄχραντον Αἷμα.

3. Εἰ γὰρ ἄρτος, ἔφασκον, καὶ οἶνος ὑπῆρχον, ἀλλὰ τῇ τῶν εὐχῶν ἐπικλήσει καὶ ἱερολογίᾳ, τοῦ θείου Πνεύματος ἐπιφοιτῶντος, εἰς αὐτὸ ἐκεῖνο τὸ Σῶμα καὶ Αἷμα τοῦ Χριστοῦ μεταβάλλουσι, καὶ Σάρξ ἐστὶ Δεσποτική, καὶ Αἷμα τὸ ὑφ' ἡμῶν λαμβανόμενον.

4. Ἀλλ' ἐπειδὴ δυσπαράληπτον ἦν ἡμᾶς ἀνθρώπους γε ὄντας, κατὰ τὰ αἱμοβόρα θηρία, σαρκὸς ᾑμαγμένης μεταλαμβάνειν, ᾠκονόμησεν Αὐτὸς Ἐκεῖνος ὁ μεταλαμβανόμενος, δι' ὁμοίου καὶ συνήθους ἄρτου, εἰς Αὐτὸ δὴ τὸ Κυριακὸν Σῶμα μεταβάλλοντος ἀφανῶς, τὴν Ἱερουργίαν ἐπιτελεῖσθαι.

5. Ὅρα γὰρ πῶς καὶ τὸ Βάπτισμα· τῷ φαινομένῳ μὲν ὕδωρ ἐστί, καὶ ἱερολογιῶν ἀξιωθέν, θείου πληροῦται Πνεύματος, καὶ τὸ λοιπὸν οὐκ ἔστιν ὕδωρ ἁπλῶς· πῶς γὰρ ὅπερ ἀναγεννᾷ καὶ ἀναπλάττει τὸν βαπτιζόμενον, καὶ ἁμαρτίας ἐλεύθερον ἀκριβῶς δείκνυσι.

6. Τούτων δὴ καὶ τοιούτων ἄλλων ὑπὸ τῶν Γερόντων ῥηθέντων, κωφῷ ἐῴκεσαν ὑπᾴδεσθαι τὰ λεγόμενα· ἐκεῖνος γὰρ ἔτι διαπιστῶν ἦν, καὶ τὴν ἀπὸ τῶν πραγμάτων ἀπαιτῶν μόνην πληροφορίαν.

7. Ἄτοπον οὖν δόξαν τοῖς Γέρουσι τὸ περιϊδεῖν οὕτω σφαλλόμενον ἐξ ἀφελείας τὸν γηραιόν, αὐτοί τε σπουδαίως ηὔχοντο, κἀκεῖνον ὑπὲρ αὐτοῦ δεόμενον προσελάμβανον, ὥστε μὴ τοσούτους καμάτους καὶ ἱδρῶτας ἀσκήσεως ἐπὶ ματαίῳ γενομένους ὀφθῆναι.

8. Εἶθ' οὕτως ἑβδομάδος ἡμερῶν διαγενομένης, εἰς τὸν Ναὸν συνῆλθον ὁμοῦ, καὶ τῆς ἱερᾶς τελουμένης μυσταγωγίας, τοῦ θείου τε "Αρτου προκειμένου, ὢ τῆς σῆς, Χριστέ, δυνάμεως καὶ χρηστότητος! Βρέφος ἐθεωρεῖτο κατ' αὐτὸν δὴ τὸν καιρὸν τοῖς τρισὶ γέρουσιν, ὁ ἐν τῇ 'Ιερᾷ Τραπέζῃ κείμενος "Αρτος.

9. Εἶτα τοῦ 'Ιερέως ἐπὶ τῷ τὸν "Αρτον εἰς μέρη διελεῖν τὴν χεῖρα ἤδη ἐκτείναντος, ὤφθη αὐτοῖς "Αγγελος ἄνωθεν καταπτάς, καὶ μάχαιραν μετὰ χεῖρας ἔχων· ὅς τὸ προκείμενον θύσας Βρέφος, εἶτα τὸ Αἷμα αὐτοῦ ἐξεκένου τῷ ποτηρίῳ, καὶ καθ' ὅσον ὁ 'Ιερεὺς τὸν "Αρτον εἰς μικρὰς μερίδας διέκλα, κατὰ τοσοῦτον δὴ καὶ τὸν θεῖον "Αγγελον ἐκ τῆς τοῦ Βρέφους Σαρκὸς τμήματα διακόπτοντα εἶχον ὁρᾶν.

10. 'Επεὶ δὲ καὶ προσῆλθε ὁ πλανώμενος γηραιὸς μετασχεῖν τῆς θυσίας, κρέατος καθαροῦ τε καὶ ἡμαγμένου σαφῶς μετελάμβανε, τοῦτο καὶ αὐτῷ ἐκείνῳ τῷ Γέροντι θεαθὲν διώρθωσέ τε αὐτὸν τῆς μὴ ὑγιοῦς κρίσεως, καὶ εὐχαριστίαν ἐποίει προσενεγκεῖν τῷ Θεῷ σὺν δάκρυσιν, οἵ τε ἄλλοι Γέροντες ὑπόθεσιν εὐφροσύνης τὴν αὐτοῦ διόρθωσιν ἐποιήσαντο.

'Ερμηνεία

Ο ΜΕΓΑΣ 'Αρσένιος διηγήθη κάποτε πρὸς τοὺς παρευρισκομένους Μοναχοὺς τὴν ἑξῆς ἱστορίαν: "Ενας Γέρων Μοναχός, ἀξιοθαύμαστος εἰς τὸ ἔργον καὶ τὰς ἀρετὰς τῆς ἀσκήσεως, περιέπεσε εἰς βαρύτατον σφάλμα ἐπὶ τῆς οὐσίας τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας, λόγῳ τῆς ἁπλότητος καὶ ἀμαθείας, ποὺ τὸν διέκρινον. Συγκεκριμένως ἰσχυρίζετο καὶ ἔλεγεν, ὅτι ὁ "Αγιος "Αρτος, τὸν ὁποῖον μεταλαμβάνομεν, δὲν εἶναι τὸ ἴδιον Σῶμα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἀλλὰ τύπος καὶ εἰκὼν τοῦ Παναχράντου Σώματος.

2. Μόλις ἐπληροφορήθησαν τὴν ἐσφαλμένην καὶ βλάσφημον αὐτὴν ἀντίληψιν μερικοὶ ἐκ τῶν Γερόντων, ἐλυπήθησαν καὶ ἐθρηνολόγησαν τὸν Γέροντα· ἀμφιβάλλοντες δὲ περὶ τῶν λεγομένων, ἔρχονται πρὸς αὐτὸν καὶ τοῦ ἀναφέρουν αὐτά, ποὺ ἤκουσαν. 'Ο Γέρων τοὺς ἐβεβαίωσεν, ὅτι πράγματι αὐτὰ ποὺ ἐπληροφορήθησαν ἦσαν ἀληθῆ, καὶ ὅτι τὴν γνώμην του τὴν θεωρεῖ ὀρθήν, ἐπέμενε δὲ ἀμεταθέτως εἰς αὐτήν. 'Εκεῖνοι ὅμως δὲν ἀπεγοητεύθησαν, ἀλλ' ἐφρόντιζον νὰ τὸν μεταπείσουν μὲ πολλὰς καὶ πειστικὰς ἀποδείξεις, διὰ τῶν ὁποίων ἀπεδείκνυον, ὅτι ὁ "Αγιος "Αρτος εἶναι αὐτὸ τοῦτο τὸ Πανάγιον Σῶμα τοῦ Χριστοῦ, καὶ κατ'ἀναλογίαν, ὁ οἶνος αὐτὸ τοῦτο τὸ ἄχραντον καὶ ζωοποιὸν 'Εκείνου Αἷμα.

3. Συνεχίζοντες οἱ Πατέρες τὴν πρὸς τὸν Γέροντα ἐκεῖνον 'Ασκητὴν διαφώτισιν ἔλεγον ἀκόμη· κατ' ἀρχὴν τὰ ὁρατὰ στοιχεῖα τοῦ Μυστηρίου τῆς Θείας Εὐχαριστίας εἶναι πράγματι ἄρτος καὶ οἶνος, πλὴν ὅμως μὲ τὰς λειτουργικὰς εὐχάς, τὴν ἱερολογίαν τῆς τελετῆς, καὶ τὴν ἐπίκλησιν καὶ ἐπιφοίτησιν τοῦ 'Αγίου Πνεύματος, μεταβάλλονται εἰς αὐτὸ τὸ ἴδιον Σῶμα καὶ Αἷμα τοῦ Χριστοῦ. Κατόπιν δὲ τῆς ὑπερφυσικῆς αὐτῆς μεταβολῆς δὲν μεταλαμβάνομεν πλέον τὰ φυσικὰ στοιχεῖα, ἄρτον καὶ οἶνον, ἀλλὰ τὴν Δεσποτικὴν Σάρκα καὶ τὸ Αἷμα.

4. Ἐπειδὴ ὅμως δι' ἡμᾶς, ποὺ εἴμεθα ἄνθρωποι, εἶναι δύσκολον νὰ δοκιμάσωμεν, ὅπως τὰ σαρκοβόρα θηρία, αἱματωμένην σάρκα, δι' αὐτὸ ᾠκονόμησεν Αὐτὸς ὁ ἴδιος ὁ Μεταλαμβανόμενος νὰ τελεσιουργῆται τὸ μυστήριον ὑπὸ τὸ σχῆμα τοῦ ἄρτου καὶ τοῦ οἴνου καὶ νὰ μεταβάλῃ αὐτὰ κατὰ τρόπον ἀόρατον εἰς τὸ Κυριακὸν Σῶμα.

5. Πρόσεξε—τοῦ ἔλεγον—τί συμβαίνει καὶ εἰς τὸ Μυστήριον τοῦ Βαπτίσματος· κατὰ τὸ φαινόμενον εἶναι ὕδωρ· κατόπιν ὅμως τῆς ἱερουργίας τοῦ Μυστηρίου ἐξαγιάζεται μὲ τὴν Χάριν τοῦ Παναγίου Πνεύματος, ὥστε νὰ μὴ εἶναι πλέον ἁπλοῦν φυσικὸν ὕδωρ (ἀλλὰ καθάρσιον ἁμαρτίας). Πῶς ὅμως εἶναι δυνατὸν οἱ αἰσθητοὶ ὀφθαλμοὶ νὰ ἴδουν ἀκριβῶς τὸ ἀόρατον καὶ ὑπερφυσικὸν στοιχεῖον, τὸ ὁποῖον ἀναγεννᾷ καὶ ἀναπλάσσει τὸν βαπτιζόμενον καὶ τὸν καθιστᾷ τελείως ἐλεύθερον ἀπὸ τὴν ἁμαρτίαν;

6. Μὲ αὐτὰς λοιπὸν καὶ παρομοίας διδασκαλίας προσεπάθουν οἱ Γέροντες νὰ μεταπείσουν τὸν πλανηθέντα· ματαίως ὅμως! Ἐφαίνοντο ὡς νὰ ἐψιθύριζαν εἰς κωφόν. Ἐκεῖνος ἐξηκολούθει νὰ ἀμφιβάλλῃ καὶ νὰ ἐπιζητῇ μόνην τὴν ἐκ τῶν πραγμάτων πληροφορίαν.

7. Ἀλλὰ καὶ οἱ Γέροντες ἐπέμενον, θεωροῦντες μάλιστα ὡς τελείως ἄτοπον τὴν ἰδέαν νὰ ἀδιαφορήσουν καὶ νὰ περιφρονήσουν τοιουτοτρόπως τὸν ἐξ ἀφελείας, καὶ οὐχὶ ἐκ βλασφήμου προθέσεως, πλανώμενον γηραιὸν Μοναχόν. Ἀμέσως λοιπὸν ἤρχισαν νὰ προσεύχωνται θερμῶς ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ τὸν ἴδιον προέτρεψαν νὰ προσεύχεται, διὰ νὰ μὴ πᾶνε χαμένοι τόσοι ἱδρῶτες καὶ κόποι τῆς ἀσκήσεως.

8. Κατόπιν αὐτοῦ τοῦ ἐπιμόνου ἀγῶνος τῆς προσευχῆς ἐπέρασεν ἀκόμη μία ἑβδομάς. Πρὸς τὸ τέλος λοιπὸν αὐτῆς τῆς ἑβδομάδος συνεκεντρώθησαν ὅλοι οἱ Γέροντες εἰς τὸν Ναόν, διὰ τὴν Θείαν Λειτουργίαν. Καὶ τότε, ὢ τῆς δυνάμεώς Σου καὶ τῆς χρηστότητος, Χριστέ! συνέβη πρᾶγμα φοβερὸν καὶ παράδοξον. Ἐνῷ ἐτελεῖτο ἡ ἱερὰ Μυσταγωγία καὶ εὑρίσκετο ἐνώπιον τοῦ λειτουργοῦ Ἱερέως ὁ Ἅγιος Ἄρτος, παρουσιάζεται, ἐκείνην ἀκριβῶς τὴν στιγμήν, εἰς τοὺς καταπλήκτους ὀφθαλμοὺς τριῶν παρισταμένων Γερόντων, καὶ εἰς τὴν θέσιν τοῦ Ἁγίου Ἄρτου, ἐπὶ τῆς Ἁγίας Τραπέζης, ἕνα Βρέφος.

9. Μετά, ὅταν ἀκριβῶς ὁ Ἱερεὺς ἥπλωσε τὴν χεῖρα του, διὰ νὰ διαμοιράσῃ τὸν Ἅγιον Ἄρτον εἰς μικρότερα τεμάχια, ἐνεφανίσθη εἰς τοὺς Γέροντας αὐτοὺς Ἄγγελος κατελθὼν ἐξ οὐρανοῦ καὶ κρατῶν μάχαιραν· ὁ θεῖος αὐτὸς Ἄγγελος, ἀφοῦ ἐθυσίασεν ἐπὶ τῆς Ἁγίας Τραπέζης τὸ θεῖον ἐκεῖνο Βρέφος, ἐγέμισε μὲ τὸ αἷμα του τὸ Ἅγιον Ποτήριον. Ἐν ὅσῳ δὲ ὁ λειτουργὸς Ἱερεὺς κατετεμάχιζε τὸν Ἅγιον Ἄρτον εἰς μικρότερα τμήματα, ἔβλεπον, ὅτι ἀντιστοίχως καὶ ὁ Ἄγγελος κατέκοπτε τὰς σάρκας τοῦ Βρέφους εἰς μικρότερα τεμάχια.

10. Μόλις δὲ προσῆλθεν ὁ πλανώμενος γηραιὸς Μοναχός, διὰ νὰ μεταλάβῃ τῶν Ἀχράντων Μυστηρίων, μεταλάμβανε καθαροῦ κρέατος καὶ αἱματωμένου· τὸ παράδοξον καὶ φοβερὸν αὐτὸ θέαμα δὲν τὸ εἶδον

μόνον οἱ τρεῖς Γέροντες, ἀλλὰ καὶ ὁ ἀμφιβάλλων Μοναχός. Ὅταν δὲ εἶδεν αὐτὸ τὸ πρᾶγμα, κατετρόμαξε καὶ ηὐχαρίστει μετὰ δακρύων τὸν Θεόν, διότι τοῦ ἔδειξε τὴν ἀλήθειαν· ἀλλὰ καὶ οἱ ἄλλοι Γέροντες ἐχάρησαν καὶ ηὐχαριστήθησαν ἀπὸ τὴν διόρθωσίν του.

Β'. Ἐν τῷ Γεροντικῷ.

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἀπολλῶ, ὅτι εἶχε μαθητὴν ὀνόματι Ἰσαάκ, πεπαιδευμένον εἰς πᾶν ἔργον ἀγαθόν· καὶ ὅταν εἰσήρχετο εἰς τὴν Ἐκκλησίαν καὶ ἔμελλε μεταλαβεῖν τῆς Ἁγίας Προσφορᾶς, οὐ συνεχώρει τινὰς εἰσελθεῖν εἰς ὁμιλίαν αὐτοῦ.

2. Ἔλεγε δέ, ὅτι πάντα καλὰ ἐν καιρῷ αὐτῶν· καὶ ὅταν ἀπέλυεν ἡ σύναξις, ὡς ὑπὸ πυρὸς ἦν διωκόμενος, ζητῶν καταλαβεῖν τὸ κελλίον αὐτοῦ· πολλάκις δὲ ἐδίδοτο τοῖς ἀδελφοῖς παξαμάτης καὶ ποτήριον οἴνου, αὐτὸς δὲ οὐκ ἐλάμβανεν αὐτά, οὐκ ἀπωθούμενος τὴν εὐλογίαν τῶν ἀδελφῶν, ἀλλὰ τὴν τῆς συνάξεως ἐπικρατῶν ἡσυχίαν.

3. Ἐγένετο δὲ αὐτὸν ἀῤῥωστήσαντα κατακεῖσθαι, καὶ ἀκούσαντες οἱ ἀδελφοὶ ἦλθον τοῦ ἐπισκέψασθαι αὐτόν, καὶ μετὰ τὸ ἐρωτῆσαι περὶ τῆς ἀῤῥωστίας αὐτοῦ, εἶπον αὐτῷ· Ἀββᾶ Ἰσαάκ, διατὶ ἀπὸ συνάξεως φεύγεις τοὺς ἀδελφούς;

4. Καὶ ἀπεκρίθη αὐτοῖς· οὐ τοὺς ἀδελφοὺς φεύγω, ἀλλὰ τὴν τῶν δαιμόνων κακοτεχνίαν· καὶ γὰρ ἐάν τις κατέχῃ λαμπάδιον φωτός, καὶ βραδύνῃ εἰς τὸν ἀέρα ἱστάμενος, σβέννυται ἀπ' αὐτοῦ· οὕτω καὶ ἡμεῖς, φωτιζόμενοι ὑπὸ τῆς Ἁγίας Προσφορᾶς, ἐὰν βραδύνωμεν ἔξω τοῦ κελλίου, σκοτίζεται ὁ νοῦς.

5. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ποιμένος, ὅταν ἔμελλεν εἰς σύναξιν ἐλθεῖν, ἐκάθητο κατ' ἰδίαν διακρίνων τοὺς λογισμοὺς ἑαυτοῦ ὡσεὶ ὥραν, καὶ οὕτως ἐξήρχετο.

6. Καὶ ἕτερος δὲ ἀδελφὸς τοῖς αὐτοῖς λογισμοῖς παλαίων καὶ οὕτω περὶ τῶν ἁγιασμάτων, ὡς ὁ ἄνωθεν εἰρημένος Γέρων ἀμφιβάλλων τε καὶ δυσπιστῶν, ὑπὸ τῶν λοιπῶν ἀδελφῶν προσληφθεὶς εἰς σύναξιν, τοιαῦτά τινα ἰδεῖν διηγεῖτο, τῶν ἀδελφῶν τῶν προσλαβομένων αὐτὸν δεομένων ἐκτενῶς δειχθῆναι αὐτῷ θεόθεν τὴν τῶν πραγμάτων ἀλήθειαν, ἵνα τοὺς τῆς ἀπιστίας λογισμοὺς ἀποβάληται.

7. Ἀπολυθείσης οὖν τῆς συνάξεως, διηγήσατο αὐτοῖς ὁ ἀδελφὸς λέγων, ὅτι μετὰ τὸ ἀναγνωσθῆναι τὸν Ἀπόστολον, ὡς ἀνῆλθεν ὁ Διάκονος ἀναγνῶναι τὸ Εὐαγγέλιον, εἶδον τὴν στέγην τῆς Ἐκκλησίας ἀνεωχθεῖσαν καὶ τὸν οὐρανὸν φαίνοντα, τὸν δὲ Διάκονον πυρὶ κυκλωθέντα πάντοθεν.

8. Εἶτα προσενεχθέντων τῶν Δώρων καὶ προτεθέντων, εἶδον τοὺς οὐρανοὺς ἀνοιγέντας, καὶ ἐπὶ τὰ θεῖα Δῶρα κατερχόμενον πῦρ, καὶ μετὰ τὸ πῦρ, πλῆθος Ἀγγέλων, καὶ ἐν μέσῳ αὐτῶν Παιδίον, καὶ ἕτερα πρόσωπα δύο, ὧν τὸ κάλλος οὐκ ἔστιν εἰπεῖν· ἦν γὰρ τὸ φέγγος αὐτῶν ὡσεὶ ἀστραπή· καὶ οἱ μὲν Ἄγγελοι ἔστησαν κύκλῳ τῆς Τραπέζης, τὸ δὲ Παιδίον ἐπεκάθητο τῇ τραπέζῃ.

9. Ὡς δὲ προσήγγισαν οἱ Ἱερεῖς κλάσαι τοὺς τῆς προθέσεως ἄρτους, εἶδον τὰ δύο πρόσωπα ἐκεῖνα τὰ θαυμαστά, προσελθόντα καὶ κρατήσαντα τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Παιδίου, καὶ ᾗ κατεῖχον μαχαίρᾳ σφάξαντας τὸ Παιδίον, καὶ τὸ Αἷμα Αὐτοῦ εἰς τὸ ποτήριον ἐκκενώσαντας· εἶτα κατακόψαντας τὸ Σῶμα Αὐτοῦ καὶ θέντας ἐπάνω τῶν ἄρτων, καὶ εὐθὺς ἐγένοντο οἱ ἄρτοι Σῶμα.

10. Ὡς δὲ προσῆλθον οἱ ἀδελφοὶ μεταλαβεῖν, ἐδόθη μοι Σῶμα καθαρόν, καὶ μὴ δυνάμενος αὐτοῦ μεταλαβεῖν, ἔκλαιον· καὶ ἤκουσα φωνῆς λεγούσης εἰς τὰ ὦτά μου· ἄνθρωπε, διατὶ οὐ μεταλαμβάνεις; οὐκ ἔστι τοῦτο, ὃ ἐζήτησας; Κἀγὼ εἶπον· ἵλεώς μοι γενοῦ, Κύριε, οὐ δύναμαι σῶμα φαγεῖν.

11. Καὶ πάλιν ἡ φωνή· μάθε οὖν, ὅτι εἰ ἠδύνατο ἄνθρωπος σῶμα μεταλαμβάνειν, σῶμα ἂν εὑρίσκετο, καθὼς καὶ σὺ εὗρες, ἀλλ' οὐ δύναται σῶμα φαγεῖν, καὶ διὰ τοῦτο ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ἄρτους ἔταξε τῆς προθέσεως· εἰ οὖν ἐπίστευσας, μετάλαβε καὶ αὐτός· ἐγὼ δὲ εἶπον· πιστεύω, Κύριε· καὶ τοῦτό μου εἰπόντος, ἐγένετο εὐθὺς τὸ σῶμα, ὅπερ εἶχον ἐν τῇ χειρί μου ἄρτος, καὶ εὐχαριστήσας τῷ Θεῷ μετέλαβον.

12. Τελεσθείσης δὲ τῆς ἱερᾶς Μυσταγωγίας, εἶδον παραπλησίως τὴν στέγην τῆς Ἐκκλησίας ἀνεῳγμένην, καὶ τὰς θείας καὶ οὐρανίους Δυνάμεις εἰς τοὺς οὐρανοὺς αὖθις ἀνυψωθείσας.

13. Ταῦτα διηγουμένου τοῦ ἀδελφοῦ, ἀκούσαντες οἱ ἀδελφοί, καὶ κατανυγέντες ἐπὶ τῇ τοιαύτῃ δωρεᾷ τοῦ Χριστοῦ, ἀπῆλθον εὐχαριστοῦντες καὶ δοξάζοντες Αὐτόν.

Ἑρμηνεία

ΔΙΗΓΟΥΝΤΟ, ὅτι ὁ Ἀββᾶς Ἀπολλὼ εἶχεν ἕνα μαθητήν, ὀνομαζόμενον Ἰσαάκ· οὗτος εἶχε μορφωθῇ καὶ εἶχεν ἀσκηθῇ εἰς κάθε ἀγαθὸν καὶ ἐνάρετον ἔργον. Οὗτος, ὅταν εἰσήρχετο εἰς τὴν Ἐκκλησίαν καὶ ἐπρόκειτο νὰ μεταλάβῃ τῆς Ἁγίας Κοινωνίας, δὲν ἐπέτρεπεν εἰς οὐδένα νὰ τὸν πλησιάσῃ καὶ νὰ τοῦ ὁμιλήσῃ.

2. Ἔλεγε δέ, ἀπολογούμενος τρόπον τινά, ὅτι ὅλα εἶναι καλὰ καὶ ὠφέλιμα εἰς τὸν καιρόν των ( ). Μόλις δὲ ἐτελείωνεν ἡ σύναξις τῆς θείας Λειτουργίας, ἔφευγεν, ὡς νὰ κατεδιώκετο ἀπὸ φωτιάν, διὰ νὰ φθάσῃ εἰς τὸ κελλί του. Πολλὰς φορὰς προσεφέρετο, μετὰ τὴν ἀπόλυσιν, ἕνα ποτηράκι κρασὶ καὶ ἕνα παξιμάδι, ὡς εὐλογία, εἰς τοὺς ἀδελφούς. Αὐτὴν τὴν εὐλογίαν δὲν τὴν ἐλάμβανεν, οὐχὶ περιφρονῶν τὴν εὐλογίαν τῶν ἀδελφῶν, ἀλλ' ἐπιθυμῶν νὰ διατηρήσῃ τὴν ἡσυχίαν καὶ σιωπὴν τῆς συνάξεως.

3. Κάποτε ὁ Ἰσαὰκ ἀρρώστησε καὶ κατέκειτο εἰς τὴν ψάθαν του. Μόλις τὸ ἐπληροφορήθησαν οἱ ἀδελφοί, ἦλθον νὰ τὸν ἐπισκεφθοῦν. Ἀφοῦ λοιπὸν τὸν ἠρώτησαν πῶς ἠσθένησε, πῶς εἶναι τώρα καὶ τὰ παρόμοια, τοῦ ὑποβάλλουν καὶ τὴν ἑξῆς ἐρώτησιν:

—Διατί, Ἀββᾶ Ἰσαάκ, μετὰ τὴν ἀπόλυσιν τῆς συνάξεως ἀναχωρεῖς ἀμέσως, ὡς νὰ ἀποφεύγῃς τοὺς ἀδελφούς;

4. Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Ἀββᾶς Ἰσαὰκ ἀπήντησε:

—Δὲν ἀποφεύγω τοὺς ἀδελφούς, ἀλλὰ τὴν πρὸς τὸ κακὸν πονηρίαν τῶν δαιμόνων. Διότι ὅπως ἀκριβῶς, ὅταν κανεὶς κρατῇ ἕνα κεράκι ἀναμμένο καὶ καθυστερήσῃ εἰς ρεῦμα ἀέρος, σβύνει τὴν φλόγα τοῦ κεριοῦ ὁ ἀέρας, τοιουτοτρόπως καὶ ἡμεῖς, ὅταν φωτισθῶμεν ἀπὸ τὴν μετάληψιν τῆς Ἁγίας Κοινωνίας καὶ μετὰ ἀπὸ αὐτὸ καθυστερήσωμεν ἀσκόπως ἔξω ἀπὸ τὸ κελλί μας, σκοτίζεται ἀμέσως ὁ νοῦς μας.

5. Διὰ τὸν Ἀββᾶν Ποιμένα ἔλεγον τὸ ἑξῆς: ὅταν ἐπρόκειτο νὰ

---

1) Καιρὸς τῷ παντὶ πράγματι... καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν» (Ἐκκλ. γ' 1—7).


Ο ΟCΙΟC
ΑΒ
ΒΑC
ΙCΑ
ΑΚ

ἔλθη εἰς τὴν Ἐκκλησίαν διὰ τὴν σύναξιν, ἐκάθητο περίπου μίαν ὥραν, μόνος του, ἐξετάζων μετὰ προσοχῆς τοὺς λογισμούς του, καὶ μετὰ ἐξήρχετο ἀπὸ τὸ κελλί του διὰ τὴν σύναξιν.

6. Καὶ ἄλλος, πάλιν, ἀδελφὸς ἐπάλαιε μὲ τοὺς ἰδίους λογισμοὺς περὶ τῆς οὐσίας καὶ τοῦ χαρακτῆρος τῶν Ἁγίων Δώρων, ἀμφιβάλλων καὶ δυσπιστῶν, ὅπως ὁ προηγουμένως ἀναφερθεὶς Γέρων, ἐὰν ὄντως εἶναι Σῶμα καὶ Αἷμα Χριστοῦ ἢ ἁπλᾶ σύμβολα καὶ τύποι. Οὗτος λοιπὸν προσεκλήθη ὑπὸ τῶν ὑπολοίπων ἀδελφῶν εἰς σύναξιν· ἐνώπιον δὲ τῶν ἀδελφῶν διηγήθη, ὅτι εἶδε καὶ αὐτὸς τοιαῦτα παράδοξα καὶ θαυμαστὰ κατὰ τὴν ὥραν, κατὰ τὴν ὁποίαν οἱ ἀδελφοί, ποὺ τὸν προσεκάλεσαν εἰς τὴν σύναξιν, ἐδέοντο μετὰ θερμότητος εἰς τὸν Θεὸν νὰ τοῦ δείξῃ, διὰ θαύματος, τὴν ἀλήθειαν καὶ νὰ ἀποβάλῃ ἀπὸ τὴν ψυχήν του τοὺς λογισμοὺς τῆς ἀπιστίας.

7. Μετὰ λοιπὸν τὴν ἀπόλυσιν τῆς θείας Λειτουργίας, ὁ ἀδελφὸς αὐτὸς διηγήθη εἰς τοὺς ἄλλους ἀδελφοὺς τὰ ἑξῆς:

«Μετὰ τὴν ἀνάγνωσιν τοῦ Ἀποστόλου καὶ ἐνῷ ὁ Διάκονος ἀνῆλθεν εἰς τὸν ἄμβωνα διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου, εἶδον νὰ ἀνοίγῃ ἡ στέγη τῆς Ἐκκλησίας καὶ νὰ φαίνεται ὁ οὐρανός· συγχρόνως εἶδον τὸν Διάκονον νὰ κυκλώνεται ἀπὸ ὅλα τὰ μέρη μὲ πῦρ».

8. «Ἐν συνεχείᾳ, ἀφοῦ ἐγένετο ἡ προσκομιδὴ καὶ προσφορὰ τῶν τιμίων Δώρων—συνέχισεν ὁ ἀδελφὸς—εἶδον νὰ ἀνοίγουν οἱ οὐρανοὶ καὶ νὰ κατέρχεται ἐπάνω εἰς τὰ τίμια Δῶρα πῦρ· μετὰ δὲ τὸ πῦρ, πλῆθος Ἀγγέλων, ἐχόντων εἰς τὸ μέσον αὐτῶν Παιδίον· μαζὶ δὲ καὶ ἄλλα δύο πρόσωπα, ποὺ τὸ κάλλος των ἦτο ἀπερίγραπτον. Τὸ πρόσωπόν των ἦτο φωτεινόν, ὅπως ἡ ἀστραπή. Κατόπιν οἱ μὲν Ἄγγελοι ἐκάθησαν γύρω τῆς Ἁγίας Τραπέζης, κυκλικῶς, ἐνῷ τὸ Παιδίον ἐνεθρονίσθη ἐπάνω εἰς τὴν Ἁγίαν Τράπεζαν».

9. «Μόλις δὲ προσήγγισαν οἱ Ἱερεῖς, διὰ νὰ διαμοιράσουν τοὺς ἄρτους τῆς προθέσεως εἶδον—συνέχισεν ὁ ἀδελφὸς—τὰ δύο ἐκεῖνα θαυμαστὰ πρόσωπα νὰ πλησιάζουν, νὰ κρατοῦν τὰς χεῖρας καὶ τοὺς πόδας τοῦ Παιδίου, καί, μὲ μίαν μάχαιραν ποὺ ἐκράτουν, νὰ τὸ σφάζουν ἐκχέοντες τὸ Αἷμα Αὐτοῦ εἰς τὸ Ἅγιον Ποτήριον. Ἐν συνεχείᾳ, ἀφοῦ κατετεμάχισαν τὸ Σῶμα τοῦ Παιδίου, εἶδον νὰ τοποθετοῦν τὰ αἱματωμένα τεμάχια τῆς Σαρκὸς ἐπάνω ἀπὸ τὰ τεμάχια τῶν ἄρτων· ἀμέσως δὲ οἱ ἄρτοι ἐγένοντο καὶ αὐτοὶ τεμάχια Σαρκός».

10. «Μόλις δὲ ἔφθασεν ἡ ὥρα τῆς θείας Μεταλήψεως οἱ προσερχόμενοι ἀδελφοὶ μεταλάμβανον τεμαχίων Σαρκός, ἐδόθη δὲ καὶ εἰς ἐμὲ τοιαύτη καθαρὰ Σὰρξ διὰ νὰ μεταλάβω. Ἐγὼ δέ, ἐπειδὴ δὲν ἠδυνάμην νὰ γευθῶ καθαρὰν Σάρκα, ἔκλαιον. Τότε ᾐσθάνθην μίαν φωνὴν νὰ ψιθυρίζῃ εἰς τὸ αὐτί μου:

—Ἄνθρωπε, διατί δὲν μεταλαμβάνεις; δὲν εἶναι τοῦτο αὐτό, τὸ ὁποῖον ἐζήτησες;

—Ἵλεως γενοῦ, Κύριε, εἰς ἐμέ—ἀπήντησα—δὲν δύναμαι καθόλου νὰ φάγω σῶμα».

11. «Τότε ἤκουσα καὶ πάλιν τὴν ἀποκαλυπτικὴν ἐκείνην θείαν φωνὴν νὰ μοῦ λέγῃ:

—Μάθε λοιπὸν ἐξ αὐτοῦ ὅτι, ἐὰν ἠδύνατο ὁ ἄνθρωπος νὰ μεταλάβῃ καθαρὸν σῶμα, ἀσφαλῶς ἐντὸς τοῦ Ἁγίου Ποτηρίου θὰ εὑρίσκετο σῶμα, ὅπως καὶ σὺ τὸ εὗρες. Ἐπειδὴ ὅμως ὁ ἄνθρωπος δὲν δύναται νὰ μεταλάβῃ σῶμα, διὰ τοῦτο ὁ Κύριος καὶ Θεὸς ἡμῶν ὥρισε τοὺς ἄρτους τῆς προθέσεως, ὥστε δι᾿ αὐτῶν νὰ μεταλαμβάνουν οἱ πιστοί. Ἐὰν λοιπὸν ἐπίστευσες, ὅτι ὑποκάτω τοῦ ἡγιασμένου Ἄρτου ἐνυπάρχει αὐτὸ τοῦτο τὸ Σῶμα τοῦ Χριστοῦ, μετάλαβε καὶ ὁ ἴδιος.

—Πιστεύω, Κύριε,—ἀπήντησα τότε ἐγώ.

Λέγων αὐτὰ ἀμέσως τὸ σῶμα ποὺ ἐκράτουν, ἔγινε πάλιν ἄρτος· εὐχαριστήσας δὲ τὸν Θεὸν μετέλαβον».

12. «Ἀφοῦ ἐτελείωσεν ἡ ἱερὰ Μυσταγωγία εἶδον πάλιν νὰ ἀνοίγῃ ἡ στέγη τῆς Ἐκκλησίας καὶ τὰς θείας καὶ οὐρανίους Δυνάμεις νὰ ἀνυψοῦνται πρὸς τὸν οὐρανόν».

13. Ἀπὸ τὴν διήγησιν τοῦ ἐξαισίου αὐτοῦ θαύματος, οἱ ἀδελφοὶ κατενύγησαν διὰ τὴν τοιαύτην δωρεὰν τοῦ Χριστοῦ, πρὸς τὸν ἄνθρωπον, καὶ ἀνεχώρησαν εὐχαριστοῦντες καὶ δοξάζοντες τὸν Κύριον.





ΥΠΟΘΕΣΙΣ ΛΓ΄

Πῶς δεῖ, καὶ πότε τοῖς ἁγιάσμασι προσιέναι, καὶ μετὰ ποίου συνειδότος.

Πῶς καὶ πότε πρέπει νὰ προσερχώμεθα εἰς τὴν μετάληψιν τῶν θείων Δώρων καὶ πῶς πρέπει νὰ εἶναι ἡ συνείδησίς μας.

Α΄. Παλλαδίου.

Ο ΜΑΚΑΡΙΟΣ Μωϋσῆς ὁ αἰθίοψ, ὑπὸ τοῦ τῆς πορνείας πολεμούμενος δαίμονος, πᾶν εἶδος ἀσκήσεως καὶ κακοπαθείας ἐπεδείξατο, ἀλλ' οὐκ ἴσχυσε τοῦ πάθους ἀπαλλαγῆναι.

2. Μετὰ οὖν τὸ ἐπιδείξασθαι αὐτὸν τὴν ἀνυπέρβλητον καρτερίαν ἐκείνην, τότε λέγει πρὸς αὐτὸν ὁ μέγας τοῦ Χριστοῦ Ἱερεὺς Ἰσίδωρος ὁ ἐν Σκήτει· παῦσαι λοιπὸν τοῖς δαίμοσι φιλονεικῶν, ἀδελφὲ Μωϋσῆ, καὶ μὴ αὐτοῖς οὕτως ἐπέμβαινε· μέτρα γάρ εἰσι καὶ τῆς εἰς δαίμονας μάχης ἐν τῇ ἀσκήσει.

3. Ὁ δὲ τοῦ Χριστοῦ ἀδάμας Μωϋσῆς λέγει αὐτῷ· οὐ μὴ παύσομαι μάχεσθαι μετ' αὐτῶν, ἕως οὗ παύσηταί μου ἡ φαντασία τῶν ἐνυπνίων. Τότε λέγει αὐτῷ ὁ μέγας Ἰσίδωρος· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἀπὸ τοῦ νῦν πέπαυταί σου τὰ ἀπρεπῆ ἐνύπνια, λοιπὸν μετὰ παῤῥησίας τοῖς θείοις πρόσελθε κοινωνήσων Μυστηρίοις.

Ἑρμηνεία

Ο ΜΑΚΑΡΙΟΣ Μωϋσῆς ὁ Αἰθίοψ, ἐπειδὴ ἐπολεμεῖτο ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἐπέβαλλεν εἰς τὸν ἑαυτόν του πᾶν εἶδος ἀσκήσεως καὶ κακοπαθείας, ἀλλὰ δὲν ἠδυνήθη νὰ ἀπαλλαγῇ τελείως ἀπὸ τὸ πάθος αὐτό.

2. Ἀφοῦ λοιπὸν ἐπέδειξε μίαν τόσον σκληρὰν καὶ ἀκατανίκητον καρτερικότητα εἰς τὸν ἀγῶνα ἐναντίον τοῦ πάθους αὐτοῦ, τὸν συνήντησε μίαν ἡμέραν ὁ μέγας Ἱερεὺς τοῦ Χριστοῦ Ἰσίδωρος, ποὺ ἐλειτούργει εἰς τὸν Ναὸν τῆς Σκήτης καὶ τοῦ λέγει:

—Παῦσον, ἀπὸ ἐδῶ καὶ πέρα, ἀδελφὲ Μωϋσῆ, νὰ φιλονεικῇς μὲ τοὺς δαίμονας καὶ μὴ τοὺς προκαλῇς ἔτσι· διότι καὶ εἰς τὴν ἄσκησιν ὑπάρχουν μέτρα κατὰ τὴν μάχην πρὸς τοὺς δαίμονας.

3. Εἰς τὴν σύστασιν αὐτὴν τοῦ Ὁσίου Ἰσιδώρου ἀπαντᾷ ὁ ἀδάμας τοῦ Χριστοῦ Μωϋσῆς:

—Δὲν θὰ παύσω νὰ μάχωμαι μαζί τους, ἐφ' ὅσον δὲν σταματᾷ ἡ ἐνόχλησις τῆς ἐκ τῶν ὀνείρων φαντασίας.

Βλέπων τὴν θαρραλέαν καὶ ἡρωϊκὴν αὐτὴν ἀποφασιστικότητα τοῦ Ἀββᾶ Μωϋσῆ ὁ Μέγας Ἰσίδωρος τοῦ λέγει ἐκ δευτέρου:

—Ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς θὰ σταματήσουν τὰ ἀπρεπῆ ὄνειρα· δι᾽ αὐτὸ μὲ θάρρος νὰ προσέλθῃς νὰ μεταλάβῃς τῶν ἀχράντων Μυστηρίων.

Β'. Τοῦ αὐτοῦ.

ΕΙΔΟΜΕΝ κατὰ τὸ ὄρος τῆς Θηβαΐδος Πρεσβύτερόν τινα, Εὐλόγιον τοὔνομα, ὃς ἐν τῷ προσφέρειν Θεῷ τὰ Δῶρα, τοσαύτην Χάριν ἐλάμβανε γνώσεως, ὡς ἑκάστου τῶν προσερχομένων Μοναχῶν τὰς γνώμας εἰδέναι. Οὗτος πολλάκις ἰδὼν τοὺς Μοναχοὺς μέλλοντας προσιέναι τῷ θυσιαστηρίῳ, ἐπισχὼν αὐτοῖς ἔλεγε· πῶς κατατολμᾶτε τοῖς Ἁγίοις προσελθεῖν Μυστηρίοις, πονηρὰς τὰς διανοίας ἔχοντες;

2. Καὶ σὺ μὲν ἐλογίσω τῇ νυκτὶ ταύτῃ τὴν ἀπρεπῆ τῆς πορνείας ἐνθύμησιν, ὁ δὲ ἕτερός, φησιν, ἐλογίσατο ἐν τῇ ἑαυτοῦ διανοίᾳ, ὅτι οὐδὲν διαφέρει κἂν ἁμαρτωλόν, κἂν δίκαιον προσελθεῖν τῇ Χάριτι τοῦ Θεοῦ· ὁ δὲ ἄλλος διεκρίθη πρὸς τὸ δῶρον, εἰ ἄρα ἁγιάσει με προσελθόντα.

3. Ὑποχωρήσατε οὖν μικρὸν τῶν Ἁγίων Μυστηρίων καὶ μετανοήσατε ἐκ ψυχῆς, ἵνα ἄφεσις ὑμῖν γένηται τῶν ἁμαρτιῶν, καὶ ἄξιοι γενήσεσθε τῆς Χριστοῦ Κοινωνίας· ἐὰν δὲ μὴ πρῶτον τὰς ἐνθυμήσεις καθάρητε, οὐ μὴ δυνήσησθε προσελθεῖν τῇ Χάριτι τοῦ Χριστοῦ.

Ἑρμηνεία

ΕΓΝΩΡΙΣΑΜΕΝ ἕνα Πρεσβύτερον, ποὺ ἐλέγετο Εὐλόγιος καὶ ἠσκήτευεν εἰς τὸ ὄρος τῆς Θηβαΐδος· οὗτος λοιπὸν εἶχε πλουτισθῆ μὲ τόσην Χάριν παρὰ Θεοῦ, ὥστε, καθὼς προσέφερε τὰ Τίμια Δῶρα εἰς τοὺς προσερχομένους πρὸς μετάληψιν αὐτῶν, ἠδύνατο νὰ γνωρίζῃ τὰς σκέψεις καὶ τοὺς λογισμοὺς τῶν προσερχομένων Μοναχῶν. Πολλὰς φοράς, βλέπων τοὺς Μοναχοὺς νὰ προσέρχωνται πρὸ τοῦ Ἱεροῦ Θυσιαστηρίου, τοὺς ἠμπόδιζε καὶ τοὺς ἔλεγε:

—Πῶς τολμᾶτε νὰ προσέρχεσθε εἰς τὰ Ἅγια Μυστήρια, ἐνῷ οἱ λογισμοί σας εἶναι πονηροί;

2. Καὶ σὺ μὲν—ἔλεγεν ἀπευθυνόμενὸς εἰς ὡρισμένον—αὐτὴν τὴν νύκτα ἐμόλυνες τὴν διάνοιάν σου μὲ τὴν ἀπρεπῆ τῆς πορνείας ἐνθύμησιν· σὺ—ἔλεγε πρὸς ἄλλον—ἐσκέφθης, ὅτι ἐνώπιον τῆς Χάριτος τοῦ Θεοῦ δύναται νὰ προσέλθῃ καὶ ὁ ἁμαρτωλὸς καὶ ὁ δίκαιος (δυνάμενοι νὰ δικαιωθῶσιν ἀμφότεροι)· σὺ πάλιν—ἀπευθυνόμενος πρὸς τρίτον—ἐσκέφθης, ἐὰν ἔχουν τὴν δύναμιν τὰ Τίμια Δῶρα νὰ μὲ ἁγιάσουν προσερχόμενον.

3. Ὅλοι λοιπὸν σεῖς, ποὺ ἠνωχλήθητε, εἴτε ἀπὸ αἰσχροὺς εἴτε ἀπὸ ἀσεβεῖς λογισμούς, ἀπομακρυνθῆτε ὀλίγον ἀπὸ τὰ Ἅγια Μυστήρια καὶ μετανοήσατε μὲ τὴν ψυχήν σας, διὰ νὰ ἀφεθοῦν αἱ ἁμαρτίαι σας καὶ νὰ καταστῆτε ἄξιοι τῆς Ἁγίας Κοινωνίας. Ἐὰν προηγουμένως δὲν καθαρίσετε τὰς σκέψεις σας, δὲν θὰ δυνηθῆτε νὰ προσέλθητε διὰ νὰ δεχθῆτε τὴν Χάριν τοῦ Χριστοῦ.

Γ'. Εκ τοῦ Διαλόγου.

ΟΦΕΙΛΟΜΕΝ, ἀδελφὲ Πέτρε, μετὰ δακρύων τῷ Θεῷ καθημερινὰς θύειν θυσίας διὰ τῆς Σαρκὸς Αὐτοῦ καὶ τοῦ Αἵματος· αὕτη γὰρ καὶ μόνη ἡ θυσία ἐκ τοῦ αἰωνίου θανάτου τὴν ψυχὴν ῥύεται.

2. Ἀναγκαῖον γάρ ἐστιν, ἐν ᾧ ταῦτα πράττομεν, ἵνα ἡμᾶς αὐτοὺς ἐν συντριβῇ καρδίας θυσίαν τῷ Θεῷ προσενέγκωμεν· τοῦ γὰρ Πάθους τοῦ Κυρίου τὰ Μυστήρια ἐπιτελοῦντες ὀφείλομεν μιμνήσκεσθαι, καὶ τοῦτο μιμήσασθαι ὅπερ πράττομεν· τότε γὰρ ἀληθῶς ὑπὲρ ἡμῶν τῷ Θεῷ θυσία προσφέρεται, ὅταν ἡμᾶς αὐτοὺς θυσίαν ποιήσωμεν.

3. Παραφυλάττεσθαι δὲ ἡμᾶς χρή, ἵνα καὶ μετὰ τὸν τῆς εὐχῆς καιρόν, τοῦ Θεοῦ παρέχοντος δύναμιν, τὰς ψυχὰς ἡμῶν ἐν τῷ αὐτῷ φόβῳ φυλάξωμεν, μὴ ἐῶντες ὑπὸ λογισμοῦ χαυνώσεως τοῦτον διαλυθῆναι, μήτε ὑπὸ ματαίας ἀφροσύνης τοῦτον διαρπασθῆναι, καὶ τὴν ψυχὴν ἀπολέσαι τὸ κέρδος τῆς κατανύξεως.

4. Οὕτω γὰρ καὶ Ἄννα ὅπερ ᾐτήσατο καρπώσασθαι ἠξιώθη, ὅτι καὶ μετὰ τὴν ἐν δάκρυσι δέησιν ἐν αὐτῷ τῷ φρονήματι τοῦ λογισμοῦ ἑαυτὴν διεφύλαξε, περὶ ἧς καὶ γέγραπται, ὅτι «τὸ πρόσωπον αὐτῆς οὐ συνέπεσεν ἔτι».

5. Δεῖ δὲ γινώσκειν, ὅτι ἐκεῖνος τῶν ἑαυτοῦ πταισμάτων συγχώρησιν ὀρθῶς αἰτεῖται, ὃς πρότερον τὰ εἰς αὐτὸν πλημμεληθέντα συγχωρήσει· δῶρον γὰρ οὐ λήψεταί τις, εἰ μὴ πρότερον τὴν κακίαν ἐκ τῆς ψυχῆς αὐτοῦ διώξει· αὐτὴ γὰρ ἡ Ἀλήθεια εἴρηκεν· «ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ» καὶ τὰ ἑξῆς.

6 Ἐν τούτῳ οὖν κατανοῆσαί ἐστιν, ὅτι ἐν ὅσῳ πάντα τὰ πταίσματα διὰ τῆς προσφορᾶς τοῦ δώρου λύονται, διὰ τῆς μνησικακίας πάλιν ἀνακαινίζονται, καὶ διὰ ταύτην οὐδὲ τὸ δῶρον ὁ Θεὸς προσδέχεται.

7. Καθὼς καὶ διὰ τῆς παραβολῆς τοῦ δούλου διδασκόμεθα τοῦ τὰ μυρία τάλαντα ὀφείλοντος καὶ συγχωρηθέντος· εἶτα διὰ τὸ ἀπαιτεῖν τὰ ἑκατὸν δηνάρια, ἅπερ αὐτὸς ὑπὸ τοῦ συνδούλου ἐχρεωστεῖτο, πάλιν τὴν συγχώρησιν ἀνατρέψαντος, καὶ διὰ τὸ χρέος τῶν μυρίων ταλάντων τῇ κολάσει ὑποβληθέντος.

8. Ὀφείλομεν οὖν καὶ τοῖς πλησίον καὶ ἐκ μήκοθεν οὖσι, νοερῶς συναφθῆναι, καὶ τούτοις μετὰ ταπεινώσεως τὴν ψυχὴν ὑποτάξαι, καὶ διὰ καλοθελείας Αὐτῷ εὐαρεστῆσαι.

9. Καὶ ἡνίκα ὁ Κτίστης ἡμῶν τοιοῦτον λογισμὸν ἐν ἀληθείᾳ θεάσηται, παρευθὺς καὶ τὸ δῶρον ἡμῶν προσδέχεται καὶ ἐκ τῆς ἁμαρτίας λύει ἡμᾶς.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ Πέτρε, ἔχομεν ὑποχρέωσιν νὰ προσφέρωμεν εἰς τὸν Θεὸν καθημερινῶς καὶ μετὰ δακρύων τὴν ἀναίμακτον θυσίαν διὰ τῆς Σαρκὸς καὶ τοῦ Αἵματος Αὐτοῦ. Διότι μόνον αὐτὴ ἡ θυσία ἔχει τὴν δύναμιν νὰ διασῴζῃ τὴν ψυχήν μας ἀπὸ τὸν αἰώνιον θάνατον.

2. Εἶναι ὅμως ἀνάγκη, ὁσάκις ἐπιτελοῦμεν τὴν θυσίαν αὐτήν, νὰ τὴν προσφέρωμεν εἰς τὸν Θεὸν μετὰ συντριβῆς καρδίας, ἐφ' ὅσον, ἱερουργοῦντες τὰ Μυστήρια, ποὺ ἐξεικονίζουν τὸ Πάθος τοῦ Κυρίου, ἔχομεν καθῆκον νὰ ἐνθυμούμεθα τὰ σεπτὰ καὶ σωτήρια Πάθη καὶ νὰ μιμηθῶμεν ἐκεῖνο τὸ ὁποῖον πράττομεν· δηλαδὴ τότε μόνον ἐπαξίως καὶ πραγματικῶς προσφέρεται θυσία ὑπὲρ ἡμῶν εἰς τὸν Θεόν, ὅταν καὶ ἡμεῖς κάμωμεν τὸν ἑαυτόν μας θυσίαν.

3. Ἡμεῖς πρέπει νὰ ἔχωμεν πάντα τὸν νοῦν μας, ὥστε καὶ μετὰ ἀπὸ τὴν ὥραν τῆς θείας Λειτουργίας καὶ τῆς προσευχῆς, διὰ τῆς Χάριτος καὶ τῆς ἐνισχύσεως τοῦ Θεοῦ, αἱ ψυχαί μας νὰ εἶναι προφυλαγμέναι μὲ τὸν φόβον τοῦ Θεοῦ. Ἄς προσέξωμεν νὰ μὴ διαλυθῇ ἐντὸς ἡμῶν ὁ φόβος τοῦ Θεοῦ ἀπὸ λογισμὸν χαυνώσεως, οὔτε νὰ διαρπαγῇ ἀπὸ τὴν ματαίαν ἀφροσύνην, καὶ νὰ χάσῃ τοιουτοτρόπως ἡ ψυχή μας τὸ κέρδος τῆς κατανύξεως.

4. Ὡς γνωστὸν καὶ ἡ Ἄννα ἠξιώθη νὰ ἀπολαύσῃ αὐτὸ ποὺ ἐζήτησεν ἀπὸ τὸν Θεόν, ἐπειδὴ καὶ μετὰ τὴν δακρύβρεκτον δέησίν της, διεφύλαξε τὸν ἑαυτόν της ἀπὸ τὸν διασκορπισμὸν τῆς εὐσεβοῦς διανοίας καὶ παρέμεινεν εἰς τὸ ἴδιον φρόνημα τοῦ λογισμοῦ της, ὅπως καὶ πρότερον. Δι' αὐτὴν γράφει ἡ Παλαιὰ Διαθήκη, ὅτι καὶ μετὰ τὴν ἐπιστροφήν της ἀπὸ τὸ προσκύνημά της εἰς Σηλὼ «τὸ πρόσωπον αὐτῆς οὐ συνέπεσεν ἔτι» (Α' Βασιλ. α' 18) δὲν ἀπέβαλε, δηλαδή, τὴν ἐκ τῆς κατανύξεως μελαγχολικὴν περισυλλογήν.

5. Πρέπει δὲ νὰ γνωρίζῃ ὁ Χριστιανός, ὅτι τότε μόνον ζητεῖ ἀπὸ τὸν Θεόν, ὅπως πρέπει, τὴν συγχώρησιν τῶν ἁμαρτιῶν του, ὅταν ὁ ἴδιος προηγουμένως συγχωρήσῃ αὐτούς, ποὺ ἔσφαλαν εἰς αὐτόν. Εἶναι ἀδύνατον νὰ λάβῃ ἄνθρωπος δῶρον ἐκ Θεοῦ, ἐὰν ὁ ἴδιος ἐνωρίτερον δὲν ἀποδιώξῃ ἀπὸ τὴν ψυχήν του τὴν κακίαν. Τοῦτο διεβεβαίωσεν αὐτὸς οὗτος ὁ Χριστός, ὁ ὁποῖος εἶναι ἡ ἀλήθεια· ἰδοὺ τί εἶπε σχετικῶς· «Ἐὰν οὖν προσφέρῃς τὸ δῶρον σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρον σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου» (Ματθ. ε' 23—24).

6. Ἀπὸ αὐτὸν τὸν λόγον τοῦ Κυρίου δυνάμεθα νὰ ἀντιληφθῶμεν, ὅτι ὅπως τὰ διάφορα πταίσματα καταργοῦνται διὰ τῆς προσφορᾶς τοῦ δώρου (κατὰ τὴν τέλεσιν τῆς θείας Εὐχαριστίας), οὕτω πως καὶ διὰ τῆς μνησικακίας ἀνανεώνονται πάλιν, καὶ ἐξ αἰτίας αὐτοῦ οὔτε καὶ ὁ Θεὸς δέχεται τὸ δῶρον, ποὺ τοῦ προσφέρομεν.

7. Τὴν ἀλήθειαν αὐτήν, τῆς ἀνανεώσεως δηλαδὴ τοῦ ἐκ τῶν πταισμάτων χρέους μας, ἐξ αἰτίας τῆς μνησικακίας, διδασκόμεθα ἀπὸ τὴν παραβολὴν τοῦ δούλου, ποὺ ἐχρεωστοῦσε τὰ μύρια τάλαντα καὶ συνεχωρήθη. Ὡς γνωστὸν οὗτος κατ' ἀρχὴν συνεχωρήθη καὶ τοῦ ἐχαρίσθη τὸ χρέος· ἐπειδὴ ὅμως, μετὰ τὴν εὐεργεσίαν αὐτήν, ἀπαιτοῦσε φορτικῶς ἀπὸ ἕνα σύνδουλόν του τὸ παραμικρὸν χρέος τῶν ἑκατὸν δηναρίων, ἀπώλεσε πάλιν τὸ εὐεργέτημα τῆς συγχωρήσεως καὶ διαγραφῆς τοῦ χρέους, καὶ ἐξ αἰτίας τῆς ὀφειλῆς τῶν μυρίων ταλάντων κατεδικάσθη εἰς τὴν αἰώνιον κόλασιν (Ματθ. ιη' 24—34).

8. Ὀφείλομεν λοιπὸν νὰ συμφιλιωθῶμεν ὄχι μόνον μὲ αὐτοὺς ποὺ εἶναι πλησίον μας, ἀλλὰ καὶ μὲ αὐτούς, ποὺ εὑρίσκονται μακρὰν καὶ ὄχι μόνον ἐξωτερικῶς, δι' ἐπιπλάστων σχημάτων καὶ λόγων, ἀλλὰ καὶ ἐσωτερικῶς· νὰ εἴμεθα, δηλαδή, καὶ κατὰ τὴν διάνοιαν εἰρηνικοὶ

πρὸς ὅλους καὶ νὰ ὑποτάξωμεν εἰς αὐτοὺς μετὰ ταπεινώσεως τὴν ψυχήν μας· ἐν συνεχείᾳ δὲ νὰ εὐαρεστήσωμεν τὸν Θεὸν μὲ τὴν ἐπίμονον καὶ σταθερὰν ἡμῶν θέλησιν πρὸς τὸ καλόν.

9. Ὅταν δὲ ὁ Δημιουργὸς ἡμῶν διαπιστώσῃ πραγματικῶς ἕνα τοιοῦτον λογισμόν, τότε ἀμέσως δέχεται εὐχαρίστως τὸ δῶρον μας καὶ διὰ τῆς θείας Μυσταγωγίας μᾶς λύει ἀπὸ τὰ δεσμὰ τῶν ἁμαρτιῶν.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου.

ἈΠΗΓΓΕΛΗ μοι παρὰ τῶν Πατέρων πρὸς τοῖς ἄλλοις θείοις χαρίσμασιν, καὶ τοῦτο πρὸς Θεοῦ δοθῆναι τῷ Εὐθυμίῳ, ὥστε τὰς ἔνδον τῆς ψυχῆς κινήσεις ἀπὸ τῆς ἐκτὸς ὄψεως, οἱονεὶ διά τινος ἐσόπτρου, κατανοεῖν, καὶ ἀκριβῶς ἔχειν εἰδέναι τίσιν ἄρα παλαίει λογισμοῖς ἕκαστος, καὶ οἵων μὲν περιγίνεται, οἵων δὲ ἥττων ὑπὸ τοῦ πονηροῦ γίνεται.

2. Φασί τε αὐτόν, καί ποτε πρός τινας τῶν ἀδελφῶν κατὰ μόνας αὐτῷ συνόντων εἰπεῖν, ὡς ἄρα φανερὰν ἴδοι πολλάκις ὄψιν Ἀγγέλων συλλειτουργοῦσαν αὐτῷ, καὶ τῶν ἱερῶν συνεφαπτομένην, καὶ ὡς ἐν τῇ τοῦ Δεσποτικοῦ Σώματος μεταλήψει, τινὰς μὲν τῶν προσιόντων φωτιζομένους ὑπ' αὐτῆς ὁρῶν, τινὰς δὲ οἷον ἀμαυρουμένους· ὅσοι δηλονότι οὐκ ἀξίως εἶχον τοῦ φωτὸς ἐκείνου καὶ τῆς λαμπρότητος.

3. Διὸ καὶ τοῖς ἀδελφοῖς ἔλεγε διαμαρτυρόμενος καὶ τὸ τοῦ Ἀποστόλου ἄριστα παραινῶν προσέχειν ἕκαστον, καὶ ἑαυτὸν δοκιμάζειν, καὶ οὕτω φρικτῶς τοῦ Ἄρτου τε καὶ τοῦ Ποτηρίου μεταλαμβάνειν, εὖ εἰδότα τὸν προσερχόμενον, ὅτι «κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει», ἀναξίως ποιούμενος τὴν μετάληψιν.

4. Τοῦτο γὰρ καὶ τὴν πρώτην εὐθὺς προσάγων τήν δε θυσίαν ὁ Ἱερεύς, οἱονεὶ τὸ πλῆθος προασφαλίζεται· «ἄνω σχῶμεν τὰς καρδίας» αὐτοῖς ἐπιφωνῶν, καὶ τὴν παρ' ἐκείνων λαβὼν ὑπόσχεσιν, οὕτω θαῤῥεῖ τὴν προσαγωγὴν τῆς ἀναφορᾶς.

5. Ἧς καὶ συντελεσθείσης, τὰς χεῖρας πάλιν ἐκεῖνος εἰς οὐρανὸν ἀνατείνων, καὶ ὥσπερ αὐτοῖς ὑποδεικνὺς τὸ οἰκονομηθὲν σωτηρίας χάριν τῆς ἡμετέρας μυστήριον, μετὰ λαμπρᾶς οὕτω φησὶ τῆς φωνῆς· «τὰ Ἅγια τοῖς Ἁγίοις», ὡς ἂν εἴπῃ τις, ἐπειδή περ ἐγὼ ἄνθρωπος ὁμοιοπαθὴς ὑμῖν, ἀγνοῶν τὰ ἑκάστῳ βεβιωμένα, διὰ τοῦτο δὴ φανερῶς προμαρτύρομαι, καὶ κοινὸν τὸ δοκίμιον τοῦτο τῷ ἡμετέρῳ συνειδότι καθῆκα.

6. Εἴ τις ὑπὸ μνησικακίας, ἢ μίσους, εἴ τις ὑπὸ φθόνου, ἢ ὀργῆς, ἢ ὑπερηφανίας ἑάλω, εἴ τις ὑπὸ λοιδορίας, ἢ αἰσχρολογίας, ἢ ἀτόπου ἐπιθυμίας, εἴτε τινὸς ἑτέρου πάθους κατείληπται, μὴ πρότερον προσίτω, πρὶν ἂν διὰ μετανοίας ἐκκαθαρθῇ τοῦ μιάσματος· τὰ γὰρ Ἅγια ταῦτα, φησίν, οὐχὶ τοῖς βεβήλοις, ἀλλὰ τοῖς Ἁγίοις ἀνεῖται· ὅσοι τοιγαροῦν θαῤῥεῖτε τῷ συνειδότι, «προσέλθετε πρὸς Αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ».

Ἑρμηνεία

ΜΟΥ ἀνέφεραν οἱ Πατέρες, ὅτι εἰς τὸν Ἅγιον Εὐθύμιον εἶχε δοθῆ ὑπὸ τοῦ Θεοῦ, ἐκτὸς τῶν ἄλλων θείων χαρισμάτων, καὶ τοῦτο: ἀπὸ τὴν ἐξωτερικὴν ὄψιν νὰ ἀντιλαμβάνεται τὰς ἐσωτερικὰς κινήσεις τῶν ψυχῶν τῶν ἀνθρώπων, ὡς νὰ ἔβλεπεν αὐτὰς εἰς κάτοπτρα, καὶ νὰ δύναται νὰ γνωρίζῃ λεπτομερῶς μὲ ποίους λογισμοὺς πολεμεῖ ὁ καθένας καὶ ποίους μὲν ἐξ αὐτῶν νικᾷ, ὑπὸ ποίων δέ, τῇ ἐνεργείᾳ τοῦ διαβόλου, νικᾶται.

2. Ἀκόμη λέγουν περὶ αὐτοῦ, ὅτι κάποτε ἐνεπιστεύθη εἰς μερικοὺς ἀδελφούς, ποὺ τὸν ἐπεσκέφθησαν κατὰ μόνας, ὅτι πολλάκις εἶδεν ὀφθαλμοφανῶς Ἀγγέλους νὰ συλλειτουργοῦν μαζί του καὶ νὰ ἐγγίζουν τὰ τίμια Δῶρα. Κατὰ τὴν ὥραν δὲ τῆς μεταλήψεως τοῦ Δεσποτικοῦ Σώματος ἔβλεπεν ἄλλους μὲν ἐκ τῶν προσερχομένων νὰ φωτίζωνται, ἄλλους δὲ πάλιν νὰ ἀμαυρώνωνται· ὅσοι δηλαδὴ δὲν ἦσαν ἄξιοι τοῦ φωτὸς ἐκείνου καὶ τῆς λαμπρότητος τῆς Ἁγίας Κοινωνίας.

3. Δι' αὐτό, λαμβάνων ἀφορμὴν ἀπὸ τὰς ὑπερφυσικὰς αὐτὰς ὀπτασίας, ἐνουθέτει τοὺς ἀδελφούς, διαμαρτυρόμενος διὰ τὴν προχειρότητα τῆς προσελεύσεως εἰς τὴν μετάληψιν τῶν θείων Δώρων, καὶ συμβουλεύων ἄριστα αὐτούς, ἐπὶ τῇ βάσει τοῦ Ἀποστόλου, ἔλεγεν, ὅτι ἕκαστος Χριστιανὸς πρέπει νὰ προσέχῃ καὶ νὰ ἐλέγχῃ μὲ ἀκρίβειαν τὸν ἑαυτόν του, ἐὰν εἶναι ἄξιος· ἔτσι δὲ μόνον μετὰ φρίκης νὰ μεταλαμβάνῃ ἐκ τοῦ Ἄρτου καὶ τοῦ Ποτηρίου. Ὁ προσερχόμενος—συνέχιζε διδάσκων ὁ Ἅγιος Εὐθύμιος—πρέπει νὰ γνωρίζῃ καλῶς, ὅτι ἐφ' ὅσον προσέρχεται ἀναξίως διὰ νὰ μεταλάβῃ, κατάκρισιν καὶ καταδίκην διὰ τὸν ἑαυτόν του «ἐσθίει καὶ πίνει» (Α' Κορ. ια' 29).

4. Διὰ τοῦτο, (ἐπειδὴ δηλαδὴ ἀξίως πρέπει νὰ προσερχώμεθα) καὶ ὁ Ἱερεύς, ὅταν ἑτοιμάζεται διὰ νὰ προσσφέρῃ τὴν πρώτην καὶ ὑπερτάτην θυσίαν, προσπαθεῖ νὰ περιφρουρήσῃ τὸ πλῆθος ἀπὸ πᾶσαν ἀναξιότητα καὶ δι' αὐτὸ λέγει πρὸς τοὺς παρευρισκομένους· «ἄνω σχῶμεν τὰς καρδίας». Ἀφοῦ δὲ λάβῃ παρ' αὐτῶν τὴν ὑπόσχεσιν «ἔχομεν πρὸς τὸν Κύριον», μόνον τότε λαμβάνει τὸ θάρρος νὰ προχωρήσῃ εἰς τὴν προσφορὰν τῆς θυσίας.

5. Μόλις δὲ συντελεσθῇ ἡ θυσία, ὑψώνει ὁ λειτουργὸς τὰς χεῖράς του πρὸς τὸν οὐρανὸν καὶ ὡς νὰ ὑποδεικνύῃ εἰς τοὺς παρευρισκομένους τὸ πρὸς χάριν τῆς σωτηρίας μας οἰκονομηθὲν Μυστήριον, λέγει μὲ καθαρὰν καὶ παραστατικὴν φωνήν· «τὰ Ἅγια τοῖς Ἁγίοις». Ἡ σύστασις αὐτὴ σημαίνει περίπου τὰ ἑξῆς: ἐπειδὴ βεβαίως καὶ ἐγὼ εἶμαι ἄνθρωπος ὁμοιοπαθής, ὅπως καὶ σεῖς, καὶ δὲν γνωρίζω τὶ ἔχει πράξει ὁ καθένας σας εἰς τὴν ζωήν του, δι' αὐτὸ σᾶς προκαταγγέλλω φανερὰ τὶ πρέπει νὰ προσέξετε καὶ ἔθεσα ἐνώπιον ὅλων σας τὸ κοινὸν αὐτὸ κριτήριον διὰ τὸν ἔλεγχον τῆς ἀξιότητος ἢ τῆς ἀναξιότητος τῆς συνειδήσεώς σας.

6. Ἐὰν λοιπὸν κανεὶς ἔχῃ νικηθῆ ἀπὸ μνησικακίαν, ἢ ἀπὸ μῖσος, ἢ ἀπὸ φθόνον, ἢ ἀπὸ ὑπερηφάνειαν, ἢ ἀπὸ λοιδορίαν, ἢ ἀπὸ αἰσχρολογίαν, ἢ ἀπὸ αἰσχρὰν ἐπιθυμίαν, ἢ ὁπωσδήποτε κατελήφθη ἀπὸ ἕνα οἱονδήποτε ἄλλο πάθος, ὁ τοιοῦτος ἂς μὴ πλησιάσῃ εἰς τὴν μετάληψιν τῶν θείων Δώρων, ἐὰν προηγουμένως δὲν καθαρίσῃ τὴν ψυχήν του ἀπὸ τὸ μίασμα, διὰ τῆς μετανοίας. Διότι, ὅπως λέγει τὸ Πνεῦμα τοῦ Θεοῦ διὰ τοῦ Λειτουργοῦ, τὰ Ἅγια δὲν ἁρμόζουν εἰς τοὺς βεβήλους, ἀλλὰ μόνον εἰς τοὺς Ἁγίους. Ὅσοι λοιπὸν ἔχετε καθαρὰν τὴν συνείδησιν καὶ σᾶς ἐμπνέει τὸ θάρρος νὰ πλησιάσετε τὸν Κύριον,

«προσέλθετε πρὸς Αὐτὸν καὶ φωτισθῆτε ἀπὸ Αὐτόν· νὰ εἶσθε δὲ βέβαιοι, ὅτι δὲν θὰ ἐντροπιασθῆτε» (Ψαλμ. λγ' 6).

Ε'. Ἐν τῷ Γεροντικῷ.

4. Οὕτω ὁ εὐλαβέστατος Ἐπίσκοπος Πόρτου, ὁ Φῆλιξ, ἀπὸ τὴν Σαβίναν, μοῦ διηγήθη τὸ ἑξῆς διὰ μίαν Μοναχὴν εἰς τὴν Σαβίναν. Ἡ Μοναχὴ αὐτὴ ἐγκρατεύετο μὲν ἀπὸ τὰς αἰσχρὰς ἡδονάς, δὲν ἐπεχείρει ὅμως νὰ διορθωθῇ ἀπὸ τὴν αὐθάδειαν καὶ τὴν ἀκαιρολογίαν.

5. Ὅταν ἀπέθανεν, ἐτάφη εἰς τὴν Ἐκκλησίαν. Ὁ φύλαξ λοιπὸν τῆς Ἐκκλησίας ἠξιώθη ἐκ Θεοῦ ἀποκαλύψεως καὶ εἶδεν, ὅτι ἡ ἀποθανοῦσα Μοναχὴ μετεφέρθη ἔμπροσθεν τοῦ Θυσιαστηρίου· ἐκεῖ τὴν ἔκο-

---

1) Κατὰ συνήθειαν τῶν χρόνων ἐκείνων οἱ ἐπιφανέστεροι τῶν νεκρῶν ἐθάπτοντο εἰς ἰδικὰς κρύπτας ἐντὸς τῶν Ναῶν ἢ ὑποκάτω αὐτῶν καὶ μάλιστα κάτωθεν τοῦ ἱεροῦ Βήματος. Τὴν συνήθειαν ταύτην κατεδίκασαν πολλοὶ Πατέρες τῆς Ἐκκλησίας, ὧν εἷς καὶ ὁ θεῖος οὗτος Γρηγόριος. Τὰ ἐν τῷ κεφαλαίῳ τούτῳ ἀναφερόμενα ὑπὸ τοῦ Ἁγίου φρικτὰ παραδείγματα μνημονεύονται αὐτολεξεὶ ἐν τῷ Ἱερῷ Πηδαλίῳ, ἐν τῇ ὑποσημειώσει τῆς ἑρμηνείας τοῦ ΠΓʹ Κανόνος τῆς Ἁγίας ϛʹ Οἰκουμενικῆς Συνόδου, σελ. 287—288.

ψαν μὲ πριόνι εἰς τὴν μέσην καὶ τὸ μὲν ἕνα μέρος τοῦ σώματος παρεδόθη εἰς τὸ πῦρ καὶ ἐκαίετο. ἐνῷ τὸ ἄλλο ἔμενεν ἀνέπαφον.

6. Ὅταν ἐξημέρωσεν, ἐξύπνησε καὶ ὁ φύλαξ καὶ ἀφηγήθη τὴν νυκτερινὴν ὀπτασίαν εἰς τοὺς γνωστοὺς καὶ συγγενεῖς του. Ἐξ αὐτῆς τῆς ἀποκαλύψεως ἀποδεικνύεται, ὅτι ὅσων ἀνθρώπων αἱ ἁμαρτίαι εἶναι τοιαῦται, ὥστε νὰ μὴ δύνανται οὗτοι νὰ ἀποφύγουν τὴν μετὰ θάνατον τιμωρίαν, οὐδόλως βοηθοῦνται ἀπὸ τὸν ἐνταφιασμὸν τῶν σωμάτων των εἰς ἱεροὺς τόπους.

7. Ἰδοὺ καὶ ἕτερον περιστατικόν· προσωπικῶς ἐγνώριζα τὸν πατρίκιον Βαλλεριανόν, ποὺ ἔζη εἰς τὴν πόλιν Βρίξαν. Εἰς αὐτὴν δὲ τὴν πόλιν καὶ ἀπέθανεν. Ὁ Ἐπίσκοπος τῆς πόλεως αὐτῆς ἔλαβε χρήματα ἀπὸ τοὺς συγγενεῖς τοῦ Βαλλεριανοῦ καὶ παρεχώρησεν ἕνα μέρος εἰς τὴν Ἐκκλησίαν τῆς πόλεως, διὰ νὰ ταφῇ ἐκεῖ. Ὁ Βαλλεριανὸς αὐτὸς μέχρι τῶν γηρατείων του ἔζησεν εἰς τὴν διαφθορὰν καὶ οὐδέποτε ἠθέλησε νὰ χαλιναγωγήσῃ τὰ πάθη του καὶ τὰς ἀταξίας του.

8. Ὅταν λοιπὸν ἐνεταφιάσθη εἰς τὴν Ἐκκλησίαν τοῦ Μάρτυρος Φαυστίνου, ἀμέσως τὴν ἑπομένην νύκτα παρουσιάζεται ὁ Ἅγιος οὗτος Μάρτυς εἰς τὸν προσμονάριον( ) τοῦ Ναοῦ καὶ τοῦ λέγει τὰ ἑξῆς μὲ αὐστηρότητα:

—Πήγαινε νὰ εἰπῇς εἰς τὸν Ἐπίσκοπον, νὰ πετάξῃ ἔξω ἀπὸ τὴν Ἐκκλησίαν μου τὸ βρωμισμένον σῶμα, ποὺ ἐτοποθέτησεν ἐδῶ. Ἐὰν δὲν τὸ κάμῃ αὐτό, τὴν τριακοστὴν ἡμέραν, ἀπὸ σήμερον, θὰ ἀποθάνῃ.

9. Ὁ προσμονάριος ἐφοβήθη νὰ ἀναφέρῃ εἰς τὸν Ἐπίσκοπον αὐτὴν τὴν ἀποκαλυπτικὴν ὀπτασίαν. Διὰ δευτέραν φορὰν εἶδε τὸ ἀποκαλυπτικὸν ἐνύπνιον, ἀλλὰ καὶ πάλιν ἀπέφυγε νὰ τὸ ἀναφέρῃ εἰς τὸν Ἐπίσκοπον.

Τί συνέβη λοιπόν; Μετὰ τριάκοντα ἡμέρας ὁ Ἐπίσκοπος, ἐνῷ ἦτο τελείως ὑγιής, ἔπεσε τὸ βράδυ εἰς τὸ κρεββάτι του, διὰ νὰ κοιμηθῇ, καὶ ὅλως αἰφνιδίως, ἀπὸ ἄγνωστον αἰτίαν, ἀπέθανεν. Ἀπὸ αὐτὸ δύναται νὰ συμπεράνῃ κανείς, πόσον ἐκ τοῦ ἐνταφιασμοῦ εἰς τὴν Ἐκκλησίαν κατεκρίθη ὁ ἁμαρτωλὸς Βαλλεριανός.

10. Εἶναι λοιπὸν ὁλοφάνερον, ὅτι ὅσοι ἔχουν διαπράξει εἰς τὴν ζωήν των βαρείας ἁμαρτίας, οὐδεμίαν βοήθειαν λαμβάνουν ἀπὸ τὸν ἐνταφιασμόν των εἰς ἱεροὺς τόπους, ἀλλὰ περισσότερον κατακρίνονται δι' αὐτήν των τὴν τόλμην. Ἐκτὸς δὲ αὐτῶν καὶ οἱ θάπτοντες τοιούτους ἀνθρώπους εἰς ἱεροὺς χώρους καθίστανται ἔνοχοι.

1) Βλέπε ὑποσημείωσιν σελίδος 12.

ΥΠΟΘΕΣΙΣ ΛΣΤ΄

῞Οτι καὶ τὸ ταφῆναι πολυτελῶς οὐ μικρὰ ζημιοῖ· διὸ καὶ οἱ θεοφιλεῖς τὸν εὐτελῆ ἐνταφιασμόν, ὡς ἐπωφελῆ, καὶ σφόδρα αἱροῦνται.

Καὶ ὁ πολυτελὴς ἐνταφιασμὸς δὲν εἶναι μικρὰ ζημία διὰ τὴν ψυχήν· δι' αὐτὸ καὶ αὐτοὶ ποὺ ἀγαποῦν τὸν Θεόν, ἐπιθυμοῦν πάρα πολὺ τὸν ἄσημον καὶ ἄδοξον ἐνταφιασμὸν καὶ τὸν προτιμοῦν.

Α΄ Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἐφραίμ.

Ο ΑΓΙΟΣ Ἐφραίμ, ἤδη μέλλων ἀπαίρειν, τοιαῦτα σφοδρῶς ἐπέσκηπτε.

2. «Μὴ ᾄσητε ᾆσμα ἐπὶ Ἐφραίμ· μὴ πολυτελεῖ ἐνθάψητε ἱματισμῷ· μὴ ἰδίᾳ τῷ σώματί μου τάφον ἐργάσησθε· λόγον γὰρ ἔχω μετὰ Θεοῦ, αὐλισθῆναί με σὺν τοῖς ξένοις· ξένος γὰρ ἐγὼ καὶ παρεπίδημος καθὼς πάντες οἱ Πατέρες μου· εἰ δέ τις, φησί, φιλοπάτωρ ὢν προητοιμάσατο ἡμῖν πολυτελῆ ἐσθῆτα, τὴν ὁρισθεῖσαν ταύτην εἰς ταφὴν δότω τοῖς δεομένοις».

3. Καὶ τοιαῦτα μὲν ἐκεῖνος πρὸς τοὺς περιεστῶτας ἐπέσκηπτεν· εἷς δέ τις αὐτῶν, καὶ οὗτος τῶν ἐπιφανεστέρων καὶ θερμοτέρων, ἐσθῆτα πολυτελῆ καὶ φιλότιμον ἑτοιμάσας, περιβαλεῖν αὐτῇ τὸ ἐκείνου σῶμα μετὰ θάνατον διεσκόπει· ἔπειτα τῆς ἐντολῆς ἀκούσας, ἤλγησε μᾶλλον ὡς τὸ θέλημα καὶ τὴν πρόθεσιν ἀποσκευασθείς.

4. Διὰ τοῦτο καὶ τὸ δοῦναι πένησιν αὐτὴν ἀνεβάλετο, βέλτιον εἶναι κρίνας χρυσίον μᾶλλον ἐκείνοις καταβαλεῖν, ὅσον ἂν ἡ ἐσθὴς ἐτιμᾶτο, ἄγνοιαν ὡς ἔοικεν ἀγνοήσας, ὅτι πολλῷ μᾶλλον οὗτος ἐφάνη οὕτω ποιῶν τῷ Ἐφραὶμ χαριζόμενος πένητι δούς, ἢ θελήματι ἰδίῳ καὶ κρίσει σκοπῶν.

5. Ταύτῃ τοι καὶ παθὼν ἔγνω· καὶ τῆς παρακοῆς εὐθὺς ὑπέσχε τὴν τιμωρίαν, πονηρῷ πληγεὶς δαίμονι καὶ λογισμῶν πονηρῶν, ἴσην πράξεως εἰσπραχθεὶς κόλασιν· ὅθεν καὶ τῇ τοῦ Ἁγίου κλίνῃ, μεταξὺ πάντων ὁρώντων, ἑαυτὸν προσαράττει, στρεβλῶν τὰς χεῖρας, διαστρέφων τοὺς ὀφθαλμούς, τρίζων τοὺς ὀδόντας καὶ ἀφρὸν ἀποπτύων τοῦ στόματος, καὶ τἄλλα ὅσα φανερᾶς μανίας ἔργα ποιῶν· θειοτέρας λόγοις οἰκονομίας τούτῳ παραδοθεὶς εἰς παιδείαν, ᾧ πεισθεὶς μᾶλλον, πατρικῆς ἠλόγησεν ἐντολῆς.

6. Τί οὖν ὁ τὰ κεκρυμμένα διορῶν ἐκεῖνος καὶ τῷ Πνεύματι τῷ θείῳ φθεγγόμενος; Συνῆκες τὸ πάθος ἁμαρτίας εἶναι καρπόν; καὶ τί σοι μὴ δεόντως πέπρακται, φησίν, ἄνθρωπε, ὅτι σε καὶ εἰς τηλικοῦτον ὤθησε κίνδυνον;

7. Καὶ ὅς, τῆς μανίας ἀνενεγκών, ἐξαγορεύει τὴν ἀνομίαν, ἐκκαλύπτει τὴν παρακοήν, ἐλέγχει τὴν τῶν λογισμῶν ἀσθένειαν, ὃν ὁ θεῖος Ἐφραὶμ τοῦ τε πάθους οἰκτείρας, καὶ ἀποδεξάμενος τῆς ἐξαγορεύσεως, εὐχῇ μόνῃ καὶ χειρῶν ἐπιθέσει τοῦ δαίμονος ἀπαλλάττει.

Ἑρμηνεία

Ὁ ΑΓΙΟΣ Ἐφραίμ, ὅταν ἐπρόκειτο νὰ ἀναχωρήσῃ ἐκ τοῦ κόσμου τούτου, διετύπωσε πρὸς τοὺς μαθητάς του μετ' αὐστηρότητος τὰς τελευταίας του αὐτὰς ὑποθήκας:

2. «Νὰ μὴ ψάλετε ᾆσμα εἰς τὸν νεκρὸν Ἐφραίμ, οὔτε νὰ μὲ θάψητε ἐντὸς τῆς γῆς, ἐνδύοντες τὸ νεκρὸν καὶ ἄψυχον σῶμα μου μὲ πολυτελῆ ἱμάτια· οὔτε καὶ νὰ χρησιμοποιήσητε διὰ τὸ νεκρόν μου σῶμα ἰδιαίτερον τάφον, διότι ἔχω δώσει λόγον εἰς τὸν Θεὸν νὰ ταφῶ μαζὶ μὲ τοὺς ξένους, ἐπειδὴ καὶ ἐγὼ εἶμαι ξένος καὶ παρεπίδημος εἰς αὐτὴν τὴν γῆν, ὅπως ὅλοι οἱ πατέρες μου. Ἐὰν δὲ κανεὶς ἐξ ὑμῶν, ἀπὸ ἀγάπην πρὸς τὸν πατέρα, μοῦ ἔχει προετοιμάσει πολυτελὲς νεκρικὸν ἔνδυμα, αὐτὸ ποὺ ἑτοιμάζουν συνήθως διὰ τὸν ἐνταφιασμόν, ἂς τὸ δώσῃ εἰς τοὺς πτωχούς».

3. Τοιαύτας ἐπιθανατίους συμβουλὰς ἔδιδεν ὁ Ἅγιος Ἐφραὶμ πρὸς τοὺς περικυκλοῦντας αὐτόν. Ἕνας δὲ ἀπὸ τοὺς μαθητάς του, ποὺ ἤκουσαν τὰς τελευταίας του αὐτὰς ὑποθήκας, ὅστις ἦτο ἀπὸ τοὺς πλέον ἐπισήμους καὶ θερμοτέρους εἰς τὰ πρὸς τὸν Ἅγιον Ἐφραὶμ αἰσθήματα καὶ ὅστις εἶχεν ἑτοιμάσει ἕνα νεκρικὸν ἔνδυμα, πολυτελὲς καὶ βαρύτιμον, καὶ ἐσκέπτετο νὰ περιβάλῃ μὲ αὐτὸ τὸ νεκρὸν σῶμα τοῦ Ἀσκητοῦ, μετὰ θάνατον, μόλις ἤκουσε τὴν ἐντολὴν αὐτήν, ἐλυπήθη, διότι δὲν θὰ ἐπραγματοποίει αὐτὸ ποὺ ἐσχεδίαζε καὶ ἤθελε νὰ κάμῃ.

4. Δι' αὐτὸ λοιπὸν ἀνέβαλε νὰ δώσῃ τὸ ἔνδυμα αὐτὸ ἐλεημοσύνην εἰς τοὺς πτωχοὺς κρίνας ὅτι ἦτο καλύτερον νὰ δώσῃ, εἰς τοὺς ἔχοντας ἀνάγκην, τόσον χρυσόν, ὅση ἦτο ἡ ἀξία τοῦ νεκρικοῦ ἐνδύματος. Ἀλλά, ὅπως φαίνεται, ἀπὸ βαθεῖαν ἄγνοιαν τῆς ὀφειλομένης ὑπακοῆς, ἐνόμισεν, ὅτι δίδων ἐλεημοσύνην εἰς τὸν πτωχὸν εὐχαριστεῖ τὸν Ὅσιον Ἐφραίμ, ἐνῷ ἔκαμε τὸ θέλημά του καὶ τὴν γνώμην του, ἐφ' ὅσον ὁ Ὅσιος Ἐφραὶμ διέταξε νὰ δώσουν τὸ νεκρικὸν ἔνδυμα ὡς ἐλεημοσύνην καὶ ὄχι χρήματα.

5. Μόνον δὲ ἀφοῦ ἔπαθεν ἀντελήφθη τὶ ἔκαμε· διότι ἀμέσως ἐτιμωρήθη διὰ τὴν παρακοήν του αὐτήν, καὶ καταληφθεὶς ἀπὸ δαίμονα, καὶ ἀπὸ πονηροὺς λογισμούς, εἰσέπραξε βάσανον, ἀνάλογον πρὸς τὴν πρᾶξιν του. Ὑπὸ τὸ κράτος δὲ τοῦ δαιμονικοῦ πάθους κινούμενος τρέχει, ἐνώπιον ὅλων, ἐμπρὸς εἰς τὴν κλίνην τοῦ Ἁγίου καὶ ἀρχίζει νὰ κτυπιέται, καὶ νὰ συμπεριφέρεται ὡς δαιμονιζόμενος· οὕτως ἐστράβωνε τὰς χεῖρας του, συνέστρεφε τοὺς ὀφθαλμούς του, ἔτριζε τοὺς ὀδόντας του, ἔβγαζεν ἀφροὺς ἀπὸ τὸ στόμα καὶ ἐν γένει ἔκαμνεν ὅλα ὅσα εἶναι χαρακτηριστικὰ γνωρίσματα παραφροσύνης. Παρεδόθη δέ, κατὰ θείαν οἰκονομίαν, εἰς τὸν δαίμονα διὰ νὰ τιμωρηθῇ ὑπ' αὐτοῦ, ἐπειδὴ ἐπείσθη εἰς ἐκεῖνον καὶ ἠδιαφόρησε διὰ τὴν πατρικὴν ἐντολήν.

6. Ὅταν λοιπὸν τὸν εἶδεν εἰς αὐτὴν τὴν κατάστασιν ἐκεῖνος, ποὺ ἀπὸ προορατικὸν χάρισμα ἔβλεπε καθαρὰ τὰς ἀποκρύφους σκέ-

ψεις καὶ τὰ ἀνεξομολόγητα ἔργα, δηλαδὴ ὁ Ἅγιος Ἐφραίμ, τί ἔκαμεν; Ἀμέσως ὁμιλῶν, μὲ φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, εἶπεν, ἀπευθυνόμενος πρὸς τὸν παρακούσαντα καὶ βασανιζόμενον:

—Ἀντελήφθης, ὅτι αὐτὸ τὸ ὁποῖον ἔπαθες εἶναι καρπὸς τῆς ἁμαρτίας; Τί λοιπὸν κακὸν ἔπραξες καὶ σὲ ἐξώθησεν εἰς τόσον μεγάλον καὶ φοβερὸν κίνδυνον;

7. Ὁ παθών, συνελθὼν τότε ἀπὸ τὴν μανίαν, ἐξομολογεῖται τὴν ἁμαρτίαν του, ἀποκαλύπτει τὴν παρακοὴν καὶ ἐλέγχει τὴν ἀσθένειαν τῶν λογισμῶν του, ποὺ τὸν ὡδήγησαν εἰς τὴν παρακοήν. Μετὰ τὴν εἰλικρινῆ αὐτὴν ἐξομολόγησιν τοῦ πάθους, τὸν ἐλυπήθη ὁ θεῖος Ἐφραὶμ καὶ δεχθεὶς τὴν ἐξαγόρευσιν, τὸν ἐλευθερώνει ἀπὸ τὸν δαίμονα, μὲ μόνην τὴν εὐχὴν καὶ τὴν ἐπίθεσιν τῶν χειρῶν ἐπὶ τῆς κεφαλῆς του.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Καλυβίτου.

ΗΔΗ τὴν τελευτὴν ἐγγίζουσαν μαθὼν ὁ θαυμαστὸς Ἰωάννης δι' ἀποκαλύψεως, αἰτεῖται τὴν τοῦ οἴκου κυρίαν ἰδεῖν, ἥτις ἦν καὶ μήτηρ αὐτοῦ.

2. Ἀχθεὶς οὖν παρ' ἐκείνην καὶ πλησίον ὁ παῖς τῆς μητρὸς γενόμενος τῆς ποθουμένης, ὁ διαφερόντως ποθούμενος, ἔτι ἐγκρατὴς ἦν γλώσσης τε καὶ καρδίας καὶ οὐδαμῶς ἑαυτὸν ὅς τις ἦν ἀπεκάλυψεν.

3. Εἶτα ἐν ταπεινῷ καὶ σχήματι καὶ φθέγματι, τὰ παρ' ὑμῶν εἰς ἐμέ, ἔφη, τὸν πένητα καὶ ξένον γεγενημένα, πρὸς τὸν κοινὸν οἴδατε διαβαίνειν Δεσπότην· Αὐτοῦ γὰρ ἡ φωνή, «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε».

4. Πλὴν ἀλλ' ἐμοὶ μὲν τὸ τοῦ βίου τέλος ἐγγύς· βούλομαι δὲ τελευταίαν ταύτην τὴν αἴτησιν, ὑπὸ Θεῷ τῷ πάντων ἐξεταστῇ καὶ μάρτυρι αἰτήσασθαι παρὰ σοῦ· ἡ δέ ἐστι, τὸ μήτε ἄλλοις ἐνταφίοις περιστεῖλαί μου τὸ σῶμα, μήτε ἐν ἑτέρῳ με καταθεῖναι τόπῳ, ἀλλ' αὐτοῖς ὡς ἔχω τοῖς ῥάκεσι τούτοις συνθάψαι με, ὅπου καὶ τὴν καλύβην αὐτὸς ἐμαῖς χερσὶν ἐπηξάμην.

5. Ταῦτα τῇ μητρὶ ἐπισκήψας, πειθομένην εἶχε καὶ πίστεις αὐτῷ δέδωκεν ἀσφαλεῖς, οὔπω γινώσκουσα ὅτι μήτηρ ἦν· τοῦτο γὰρ ἡ ἐκείνου προδιεσκέψατο σύνεσις, ἁρπάσαι τὸν καιρὸν εἰς πίστιν πρὸ τῆς ἀναγνωρίσεως. Εἶτα ὡς τελευτῶν ἤδη διεγνώσθη τοῖς γονεῦσιν, ὅτι αὐτὸς ἦν ὁ ζητούμενος αὐτοῖς Ἰωάννης, καὶ διὰ τὴν τῶν ὅρκων ἀνάγκην, οὓς αὐτῷ ἐκεῖνοι ἐπῆγον, ἑαυτὸν ἀπεκάλυψε καὶ μετὰ βραχὺ ἐτελεύτησεν.

6. Ἡ οὖν μήτηρ τῶν τοῦ παιδὸς ἐντολῶν ἐπιλαθομένη, εἴτε καὶ τῷ περὶ αὐτὸν ἡττηθεῖσα φίλτρῳ, ἀποδύει μὲν αὐτὸν εὐθὺς τὰ ῥάκια, περιβάλλει δὲ πολυτελῆ καὶ λαμπρά, καὶ αὐτίκα πάρεσις αὐτὴν τῶν μελῶν ἐλάμβανεν οὐ προϊεμένου τὸ γεγονὸς τοῦ παιδός. Ὢ τοῦ θερμοῦ πρὸς Χριστὸν ἔρωτος! ὅτι καὶ αὐτὰ τῶν ἄθλων τὰ σύμβολα, πολλῷ τῆς μητρὸς ἦγε δι' Αὐτὸν ποθεινότερα.

7. Ὁ γοῦν πατήρ, οὕτω παρεθεῖσαν τὴν γαμετὴν θεασάμενος, τῶν τοῦ παιδὸς αὐτὴν ἐντολῶν ἀνεμίμνησκε· καὶ ἅμα τὰ πολυτελῆ ἐκδυθείς, τὰ συνήθη περιεβάλετο, καὶ ἡ μήτηρ τὴν πάρεσιν ἀπεδύετο, καὶ ὁ παῖς πατέρων σωφρονιστὴς ἐδείκνυτο, δηλοῦντος ὡς ἔοικε τοῦ Θεοῦ, ὅτι μὴ μόναι ἐντολαὶ γονέων παισὶ φυλακῆς ἄξιαι, ἀλλὰ καὶ πατράσιν ἐπισκήψεις παίδων, ὅταν δηλονότι σκοποῦ τοῦ κατὰ Θεὸν ἔχωνται.

8. Θάπτεται τοίνυν ὁ γενναῖος ἀγωνιστὴς ἐν αὐτῇ τῇ καλύβῃ, ὥσπερ δὴ καὶ περὶ τούτου ἐπέσκηψεν· ᾔδει γὰρ ὅτι τὰ οὕτω ταπεινά, μᾶλλον ἡ λαμπρότης τῶν ἄνω διαδέχεται.

Ἑρμηνεία

ΟΤΑΝ ὁ θαυμαστὸς Ἅγιος Ἰωάννης ἔμαθε κατὰ θείαν πληροφορίαν, ὅτι ἐγγίζει πλέον τὸ τέλος του, ἐζήτησε νὰ ἴδῃ τὴν οἰκοδέσποιναν, ποὺ τὸν ἐφιλοξένει καὶ ἡ ὁποία ἦτο ἡ μητέρα του.

2. Ἀφοῦ λοιπὸν εὑρέθη πλησίον τῆς ποθουμένης μητρὸς ὁ ὑπ' αὐτῆς τόσον ἰσχυρῶς ποθούμενος καὶ ἀγνοούμενος υἱός, συνεκράτησε μετ' ἀξιοθαυμάστου ἐπιβολῆς τὴν γλῶσσαν καὶ τὴν καρδίαν του καὶ δὲν ἐφανέρωσε καθόλου εἰς αὐτὴν ποῖος ἦτο.


3. Ἐν συνεχείᾳ ἀπηυθύνθη πρὸς τὴν ἀγνοοῦσαν αὐτὸν μητέρα του καί, μὲ ταπεινὸν σχῆμα καὶ ἡσύχους λόγους τῆς εἶπε:

—Ὅσα καλὰ ἐκάματε εἰς ἐμὲ τὸν πτωχὸν καὶ ξένον, νὰ εἶσθε βέβαιοι, ὅτι διαβαίνουν ὡς πράξεις εὐγενεῖς καὶ καλαὶ εἰς τὸν κοινὸν ἡμῶν Δεσπότην, καθὼς τοῦτο καλῶς γνωρίζετε· διότι ἰδική του φωνὴ εἶναι ἡ λέγουσα· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» (Ματθ. κε' 40).

4. «Τώρα ὅμως—συνέχισε λέγων ὁ Ὅσιος Ἰωάννης—πλησιάζει τὸ τέλος μου, ἐπιθυμῶ δὲ ἕνα πρᾶγμα νὰ ζητήσω ἀκόμη ἀπὸ σέ, ἐπικαλούμενος ὡς μάρτυρα, δι' ὅσα θὰ εἴπω, τὸν γνωρίζοντα καὶ ἐλέγχοντα τὰς διαθέσεις ὅλων Θεόν. Λοιπὸν ἡ παράκλησίς μου εἶναι αὐτή: Ὅταν ἐντὸς ὀλίγου θὰ ἀποθάνω, νὰ μὴ περικοσμήσητε τὸ νεκρὸν σῶμα μου μὲ ἄλλα ἐντάφια ἐνδύματα, οὔτε καὶ νὰ τὸ ἐνταφιάσετε εἰς ἄλλον τόπον, ἐντὸς πολυτελοῦς τάφου· ἀλλὰ νὰ μὲ θάψετε μαζὶ μὲ αὐτὰ τὰ ράκη ποὺ φορῶ εἰς τὸ μέρος αὐτό, ὅπου, μὲ τὰς ἰδίας μου τὰς χεῖρας, ἔστησα τὴν καλύβην μου».

5. Ἀφοῦ παρήγγειλεν αὐτὰ τὰ πράγματα εἰς τὴν μητέρα του, τὴν ὑπεχρέωσε νὰ τὸν διαβεβαιώσῃ, ὅτι θὰ τὰ ἐκτελέσῃ. Ἐκείνη ἐδεσμεύθη μὲ ἀμετακλήτους διαβεβαιώσεις, διότι βεβαίως δὲν ἐγνώριζεν, ὅτι ἦτο μητέρα του. Ὡς συνετὸς δὲ ποὺ ἦτο ὁ Ἅγιος Ἰωάννης ἐσκέφθη νὰ λάβῃ ἐγκαίρως τὴν διαβεβαίωσιν αὐτήν, πρὶν ἀναγνωρισθῇ. Μετά, εἰς τὰς τελευταίας πλέον στιγμὰς εὑρισκόμενος, ἀνεγνωρίσθη ἀπὸ τοὺς γονεῖς, ὅτι αὐτὸς ἦτο ὁ ὑπ' αὐτῶν ἀναζητούμενος Ἰωάννης· ἀλλὰ καὶ ὁ ἴδιος, ἀφοῦ πλέον τοὺς εἶχε δεσμεύσει μὲ ὅρκους, ἀπεκαλύφθη εἰς αὐτοὺς καὶ ἀμέσως ἐτελεύτησεν.

6. Ἡ μητέρα τότε ἐλησμόνησεν ἀμέσως τὰς ἐντολὰς τοῦ παιδιοῦ της, νικηθεῖσα ἀσφαλῶς ἀπὸ τὴν πρὸς αὐτὸ ἀγάπην της· ἀμέσως λοιπὸν βγάζει ἀπὸ ἐπάνω του τὰ ράκη καὶ τὸν ἐνδύει μὲ λαμπρὰ καὶ πολυτελῆ ἐνδύματα. Μόλις ὅμως ἤρχισε νὰ ἐνεργῇ, κατὰ τὴν ἐπιθυμίαν της, ἀμέσως ἤρχισαν καὶ νὰ παραλύουν τὰ μέλη της, διότι τὸ νεκρὸν τέκνον της δὲν ἐπέτρεπε τὸ γεγονὸς αὐτὸ τῆς παραβάσεως τοῦ


Ὁ ἍΓΙΟϹ
ἸΩ
ὁ
καλυ
βίτηϲ

ὅρκου, καὶ δὲν ἠνείχετο πολυτελῆ ταφήν. Ὦ! πόσον, πράγματι, θερμὸν ἔρωτα εἶχε διὰ τὸν Χριστὸν εἰς τὴν ψυχήν του ὁ μακάριος Ἰωάννης, ὥστε νὰ θεωρήσῃ ποθεινότερα τὰ σύμβολα τῶν κατορθωμάτων του, τὰ ράκη, ἀπὸ τὴν μητρικὴν ἀγάπην!

7. Ὁ πατέρας λοιπὸν τοῦ θείου Ἰωάννου, μόλις εἶδεν ἔτσι παράλυτον τὴν σύζυγόν του, ἀμέσως τῆς ὑπενθύμισε τὰς ἐντολὰς τοῦ τέκνου των· δι' αὐτὸ καὶ ἐκδύουν τὸν νεκρὸν ἀπὸ τὰ πολυτελῆ ἐνδύματα καὶ τὸν ἐνδύουν πάλιν μὲ τὰ ράκη. Μόλις ἔγινεν αὐτὴ ἡ ἀντικατάστασις, τότε καὶ ἡ μητέρα συνῆλθεν ἀπὸ τὴν παράλυσιν καὶ τοιουτοτρόπως ὁ υἱὸς ἀνεδείχθη σωφρονιστὴς τῶν γονέων. Ὁ Θεός, ὅπως φαίνεται, ἐδήλωσε διὰ τῆς θαυματουργικῆς αὐτῆς ἐνεργείας, ὅτι δὲν εἶναι μόνον αἱ ἐντολαὶ τῶν γονέων ἀξιοσέβαστοι καὶ ἀξιοφύλακτοι ἀπὸ τὰ τέκνα, ἀλλὰ καὶ αἱ παραγγελίαι τῶν τέκνων πρέπει νὰ φυλάσσωνται ἀπὸ τοὺς γονεῖς, ὅταν ὁ σκοπός των εἶναι κατὰ Θεόν.

8. Θάπτεται λοιπὸν ὁ γενναῖος ἀγωνιστὴς εἰς τὸν χῶρον ὅπου ἦτο ἡ καλύβη του, ὅπως εἶχε διατάξει· διότι ἐγνώριζε πολὺ καλά, ὅτι τὰς ταπεινὰς αὐτὰς καταστάσεις διαδέχεται ἡ λαμπρότης τῆς οὐρανίου ἀπολαύσεως εἰς τὴν αἰωνιότητα.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου.

ΠΟΤΕ τοῦ Ἁγίου Παχωμίου ἐπισκεπτομένου τὰς Μονάς, ἃς αὐτός, Χάριτι Θεοῦ, συνεστήσατο, ὡς μιᾶς τούτων πλησίον ἐγένετο, ὑπαντᾷ προκομιδῇ τετελευτηκότος τινὸς ἀδελφοῦ ἐν ῥαθυμίᾳ ζήσαντος, καὶ τοῖς ἀδελφοῖς τῆς Μονῆς ἐκείνης ἀκολουθοῦσι τῷ ἐξοδίῳ μετὰ πολλῆς καὶ εὐαρμόστου ψαλμῳδίας, ὄντων ἐκεῖσε καὶ τῶν γονέων, καὶ τῶν συγγενῶν, καὶ φίλων πάντων τοῦ κατοιχομένου.

2. Οἳ καὶ θεασάμενοι τὸν Ἅγιον ἀπέθεντο τὴν κλίνην, ὅπως ὑπέρ τε αὐτῶν καὶ τοῦ τεθνεῶτος ἀδελφοῦ στὰς ποιήσηται προσευχήν· προσενεγκὼν τοίνυν τὴν ὀφειλομένην τῷ Θεῷ ἱκετίαν τε καὶ πρόσκύνησιν, καὶ στραφεὶς πρὸς αὐτούς, παύσασθε, ἔφη, τοῦ ψάλλειν· καὶ προστάξας ἐνεχθῆναι τὰ τοῦ τεθνεῶτος ἱμάτια, ἔμπροσθεν πάντων ἐκέλευσε καῆναι, καὶ ἐκτὸς τῆς νενομισμένης ψαλμῳδίας ταφῆναι τὸ λείψανον.

3. Τῶν οὖν γονέων καὶ τῶν συγγενῶν τοῦ ἀπελθόντος ἐπὶ τῷ καινῷ τούτῳ θεάματι ἐκπλαγέντων, καὶ ἱκετευόντων συγχωρῆσαι γενέσθαι ἐπ' αὐτῷ τὴν ἐξ ἔθους ψαλμῳδίαν, αὐτὸς οὐκ ἠνέσχετο.

4. Πάλιν δὲ αὐτῶν πρὸς αὐτὸν σχετλιαζόντων καὶ λεγόντων, τί τὸ καινὸν τοῦτο θέαμα, ὦ Πάτερ; τίς οὐκ ἂν ἠλέησε νεκρὸν κείμενον, εἰ καὶ ἐχθρὸς ὑπῆρχεν; Ἱκανῆς τῆς συμφορᾶς καὶ τὸ αὐτόχρημα θηρίον εἰς οἶκτον ἐναγαγεῖν, ἔτι τε λεγόντων, ὡς οὔτε τῇ σῇ ἁγιωσύνῃ πρέπει· καὶ ἡμῖν ὄνειδος μέγιστον ἐκ τούτου προσγίνεται, ἄλλα τε πλείονα, καὶ εἴθε μὴ παρεγενόμεθα, εἴθε μὴ ἐγεγόνει οὗτος Μοναχός, οὐ γὰρ ἂν κατέλιπε τὴν αἰωνίαν λύπην ἡμῖν.

5. Ταῦτα καὶ πολλὰ ὅμοια ἐκείνων λεγόντων, καὶ δεομένων ἀποδοθῆναι τὴν ψαλμῳδίαν τῇ οὐσίᾳ τοῦ τεθνεῶτος, ὁ Παχώμιος ἀποκριθεὶς αὐτοῖς εἶπεν· ἀληθῶς, ἀδελφοί, πλέον ὑμῶν οἰκτείρω τὸν κείμενον· καὶ τοσοῦτον, ὅσον, ὑμῖν μὲν τοῦ ὁρωμένου σκήνους τούτου ποιεῖσθαι πρόνοιαν, ἐμοὶ δὲ περὶ ψυχῆς ὁ λόγος, ἧς ἕνεκα ὡς πατὴρ τὸ τοιοῦτον προστέταχα.

6. Καὶ ὑμεῖς μέν, πλείονα αὐτῷ τὴν ἐκεῖσε ὀδύνην διὰ τῆς νομιζομένης τιμῆς περιποιεῖσθε· ἐγὼ δέ, κἂν γοῦν μερικὴν αὐτῷ ἀπολογίαν ἢ ἄνεσιν διὰ τῆς ἀτιμίας εὐτρεπίζω· τούτου ἕνεκα, οὐκ ἐπιμελοῦμαι τοῦ σώματος τοῦ νεκρωθέντος, ἀλλὰ ψυχῆς τῆς ἀθανάτου, τῆς καὶ πάλιν ἄφθαρτον τοῦτο ἀπολαμβανούσης ἐν τῇ ἀναστάσει.

7. Ἄλλωστε καὶ εἰ συγχωρήσω αὐτῷ, ὡς ἀνθρωπάρεσκος κριθήσομαι, ἕνεκεν προσκαίρου πληροφορίας, τὸ συμφέρον καταπροδοὺς τῆς ψυχῆς, τῆς μελλούσης ἐκεῖθεν αἰώνια βασανίζεσθαι.

8. Πηγὴ ὑπάρχων ἀγαθότητος ὁ Θεός, ζητεῖ προφάσεις δι' ὧν δράξεται ἀφορμῆς, τοῦ πηγάζειν δαψιλῶς τὴν ἑαυτοῦ χρηστότητα ἐφ' ἡμᾶς, καὶ ἀφιέναι ἁμαρτήματα, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· εἰπὼν γὰρ περὶ τῶν βλασφημούντων εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ὅτι· «οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι» συγχωρήσεως ἀπολαύειν, ἔδωκε νοεῖν κατὰ τὸ σιωπώμενον, ὡς εἴη τις συγγνώμη τισὶν ἁμαρτήμασι καὶ ἐπέκεινα τοῦ παρόντος βίου δυναμένη γενέσθαι.

9. Εἰ δὲ ἡμεῖς οἱ καταξιωθέντες τῆς θείας Αὐτοῦ ἰατρικῆς ἐπιστήμης τὴν ἐμπειρίαν δέξασθαι, μὴ ἑκάστῳ τὸ ἐπιτήδειον βοήθημα προσφέροιμεν, εἰκότως ὡς καταφρονηταὶ ἀκουσόμεθα τὸ γεγραμμένον, «ἴδετε οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε».

10. Διὰ τοῦτο παρακαλῶ, πρὸς τὸ τῶν ἐπηρτημένων δεινῶν ἐλευθερωθῆναι τὸν ἀπελθόντα καὶ ἀνέσεως τυχεῖν, χωρὶς ψαλμῶν θάψατε αὐτόν· δύναται γὰρ ὁ Θεὸς ἀγαθὸς ὢν καὶ πολυέλεος, καὶ ὑπὲρ τὴν ἡμετέραν παράκλησιν τὸν πρὸς Αὐτὸν ἀπελθόντα δέξασθαι.

11. Ἀπηνέχθη οὖν ὁ τελευτήσας ἀδελφὸς εἰς τὸ ὄρος, ἄνευ ψαλμῳδίας, ὡς ἐπέτρεψεν ὁ Ἅγιος, καὶ ἐκεῖ οὕτως ἐτάφη.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἅγιος Παχώμιος ἐπεσκέπτετο τὰς Μονάς, τὰς ὁποίας ὁ ἴδιος, μὲ τὴν Χάριν τοῦ Θεοῦ, ἵδρυσε. Καθὼς λοιπὸν προσήγγιζεν εἰς μίαν ἐξ αὐτῶν, συναντᾷ τὴν κηδείαν ἑνὸς ἀδελφοῦ τῆς Μονῆς, ὁ ὁποῖος ἔζησε μὲ ῥαθυμίαν εἰς τὴν ζωήν, χωρὶς νὰ ἀγωνισθῇ, ὅπως ἔπρεπε, διὰ τὰ καθήκοντά του. Τὸ νεκροκρέββατον τοῦ ἀποθανόντος ἠκολούθουν οἱ ἀδελφοὶ τῆς Μονῆς ἐκείνης καὶ τὸ συνώδευον με τὰ πολλῆς καὶ λαμπρᾶς ψαλμῳδίας. Μεταξὺ τῶν ἀκολουθούντων τὸ λείψανον τοῦ εἰς τάφον κατερχομένου Μοναχοῦ, εὑρίσκοντο καὶ οἱ γονεῖς καὶ οἱ συγγενεῖς καὶ ὅλοι οἱ φίλοι του.

2. Ὅλοι λοιπὸν αὐτοί, ποὺ ἀπήρτιζον τὴν πένθιμον ἀκολουθίαν, μόλις εἶδον τὸν Ἅγιον, ἄφησαν, πρὸς στιγμήν, τὴν νεκρικὴν κλίνην καὶ παρεκάλεσαν τὸν Ἅγιον νὰ προσευχηθῇ καὶ ὑπὲρ αὐτῶν, ἀλλὰ καὶ ὑπὲρ τοῦ ἀποθανόντος ἀδελφοῦ. Πράγματι ὁ Ἅγιος Παχώμιος ἐπετέλεσε τὴν ὀφειλομένην πρὸς Θεὸν παράκλησιν καὶ ἱκεσίαν καὶ ἔπειτα λέγει πρὸς τοὺς ἀκολουθοῦντας:

—Σταματήσατε τὰς ψαλμῳδίας.

Ἐν συνεχείᾳ διέταξε νὰ φέρουν τὰ ἐνδύματα τοῦ νεκροῦ καὶ νὰ τὰ καύσουν ἐνώπιον ὅλων, τὸ δὲ λείψανον αὐτοῦ νὰ ταφῇ χωρὶς τὴν καθιερωμένην νεκρώσιμον ἀκολουθίαν.

3. Ἡ ἐντολὴ αὐτή, ὅπως ἦτο φυσικόν, προεκάλεσε τὴν ἀντίδρασιν τῶν γονέων καὶ τῶν συγγενῶν τοῦ νεκροῦ, οἱ ὁποῖοι ἐξεπλάγησαν ἀπὸ τὸ περίεργον αὐτὸ θέαμα καὶ παρεκάλουν θερμῶς τὸν Ἅγιον νὰ ἐπιτρέψῃ νὰ τελεσθῇ ἡ συνηθισμένη εἰς τοὺς νεκροὺς ἀκολουθία. Ὁ Ἅγιος ὅμως δὲν ὑπεχώρει.

4. Οἱ συγγενεῖς λοιπὸν τοῦ νεκροῦ ἐξηκολούθουν νὰ γογγύζουν ἐναντίον τοῦ Ἁγίου Παχωμίου καὶ νὰ λέγουν πρὸς αὐτόν:

—Πάτερ, τί περίεργον πρᾶγμα εἶναι αὐτὸ ποὺ βλέπομεν; ποιὸς ἄνθρωπος δὲν θὰ ἐλεοῦσε ἕνα νεκρόν, ἔστω καὶ ἐὰν ἀκόμη αὐτὸς ἦτο ἐχθρός του;

Ὅσον ὅμως ὁ Ἅγιος Παχώμιος ἐσιώπα, ἐπὶ τοσοῦτον καὶ οἱ συγγενεῖς ἐξηκολούθουν νὰ ἐπικρίνουν τὸν Ἅγιον καὶ νὰ λέγουν:

—Εἶναι ἱκανὴ ἡ συμφορὰ τοῦ θανάτου καὶ αὐτὸ ἀκόμη τὸ πραγματικὸν θηρίον νὰ τὸ κάμῃ νὰ λυπηθῇ! Ἡ συμπεριφορὰ αὐτὴ πρὸς τὸν νεκρὸν δὲν ταιριάζει εἰς τὴν ἁγιωσύνην σου, ἀλλὰ καὶ ἡμεῖς δοκιμάζομεν, ἐξ αὐτοῦ, μεγάλην ἐντροπήν.

Ἄλλοι πάλιν, ἐκ τῶν συγγενῶν, ἐκραύγαζον ἐν ἀγανακτήσει:

—Καλλίτερα νὰ μὴ εἴχομεν ἔλθει. Καλλίτερα καὶ αὐτὸς ἐδῶ νὰ μὴ εἶχε γίνει Μοναχός, διότι δὲν θὰ μᾶς ἄφηνεν αἰώνιον λύπην.

5. Αὐτὰ καὶ πολλὰ ἄλλα παρόμοια ἔλεγον οἱ συγγενεῖς καὶ φίλοι, καὶ δι' αὐτῶν ἐπεδίωκον καὶ παρεκάλουν τὸν Ἅγιον Παχώμιον νὰ ἐπιτρέψῃ νὰ τελεσθῇ εἰς τὸν νεκρὸν ἡ νεκρώσιμος ἀκολουθία. Εἰς ὅλην αὐτὴν τὴν κατακραυγὴν καὶ ἀφοῦ κάπως ἐκόπασεν ὁ θόρυβος, ὁ Ἅγιος Παχώμιος ἀπήντησε μὲ ἠρεμίαν καὶ γαλήνην τὰ ἑξῆς:

—Πράγματι, ἀδελφοί μου, περισσότερον ἀπὸ σᾶς λυποῦμαι τὸν νεκρὸν αὐτόν· τόσον μᾶλλον περισσότερον, ὅσον ὑμεῖς μὲν ἐνδιαφέρεσθε καὶ φροντίζετε μόνον διὰ τὸ βλεπόμενον νεκρὸν σῶμα, ἐνῷ ἐγὼ διὰ τὴν ἀθάνατον ψυχήν του. Χάριν λοιπὸν τῆς ψυχῆς αὐτῆς, ὡς Πατήρ, διέταξα νὰ γίνῃ αὐτὸ τὸ πρᾶγμα, διὰ τὸ ὁποῖον διαμαρτύρεσθε».

6. «Καὶ σεῖς μὲν μὲ τὴν νομιζομένην αὐτὴν τιμὴν πρὸς τὸν ἀποθανόντα ἐπαυξάνετε δι' αὐτὸν τὴν πέραν τοῦ τάφου ὀδύνην· ἐνῷ ἐγώ, μὲ τὴν διατασσομένην προσβολὴν καὶ περιφρόνησιν πρὸς τὸ νεκρόν του σῶμα, προσπαθῶ νὰ τοῦ ἐξασφαλίσω μερικὴν ἀπολογίαν ἐνώπιον τοῦ ἀλανθάστου Κριτοῦ ἢ ὀλίγην ἀνακούφισιν. Δι' αὐτὸ ἀκριβῶς καὶ δὲν φροντίζω διὰ τὸ σῶμα, ποὺ ἐνεκρώθη, ἀλλὰ διὰ τὴν ἀθάνατον ψυχήν, ἡ ὁποία θὰ πάρῃ καὶ πάλιν, κατὰ τὴν προσδοκωμένην ἀνάστασιν τῶν νεκρῶν, τὸ σῶμα αὐτό, ἄφθαρτον πλέον».

7. «Ἐκτὸς ὅμως αὐτοῦ καὶ ἐγὼ ὁ ἴδιος θὰ κριθῶ ὑπὸ τοῦ Θεοῦ ὡς ἀνθρωπάρεσκος, ἐὰν ὑποχωρήσω εἰς αὐτό, διότι, διὰ νὰ ἐξασφαλίσω εἰς τὸν ἀποθανόντα ἀδελφὸν μίαν προσωρινὴν καὶ πρόσκαιρον καλὴν φήμην, κατεπρόδωσα τὸ πραγματικὸν συμφέρον τῆς ψυχῆς, ἡ ὁποία αἰωνίως θὰ βασανίζεται ἐκεῖ».

8. «Ὁ Θεός, ὡς πηγὴ ἀγαθότητος ποὺ εἶναι, ζητεῖ εὐκαιρίας,

ἀπὸ τὰς ὁποίας θὰ εὕρῃ τὴν ἀφορμήν, διὰ νὰ ἐκπηγάσῃ καὶ νὰ προσφέρῃ εἰς ἡμᾶς πλουσίως τὴν ἄφθονον καλωσύνην του, καὶ νὰ συγχωρήσῃ ἁμαρτήματα, ὄχι μόνον κατὰ τὴν παροῦσαν ζωήν, ἀλλὰ καὶ εἰς τὴν μέλλουσαν· διότι μὲ τὸ νὰ εἴπῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅτι οἱ βλασφημοῦντες εἰς τὸ Πανάγιον Πνεῦμα δὲν θὰ τύχουν συγχωρήσεως «οὔτε κατὰ τὴν παροῦσαν ζωήν, ἀλλ' οὔτε καὶ κατὰ τὴν μέλλουσαν» (Ματθ. ιβ' 32), μᾶς ἔδωσε σιωπηρῶς νὰ καταλάβωμεν, ὅτι ὑπάρχει εἰς ὡρισμένα ἁμαρτήματα συγγνώμη, ἥτις δύναται νὰ δοθῇ καὶ πέραν τοῦ παρόντος βίου»(1).

9. «Ἐὰν λοιπὸν ἡμεῖς ποὺ ἠξιώθημεν νὰ δεχθῶμεν, κατὰ θείαν δωρεάν, τὴν ἐμπειρίαν τῆς θεϊκῆς ἰατρικῆς ἐπιστήμης τοῦ Σωτῆρος, δὲν προσφέρωμεν εἰς τὸν καθένα τὸ κατάλληλον διὰ τὴν σωτηρίαν του φάρμακον, εἶναι πολὺ φυσικὸν νὰ χαρακτηρισθῶμεν ὡς καταφρονηταὶ τῆς ψυχῆς τῶν ἀδελφῶν καὶ νὰ ἀκούσωμεν αὐτό, ποὺ ἔχει γραφῇ· «ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε» (Ἀμβακ. α' 5).

10. «Δι' αὐτὸ παρακαλῶ, προκειμένου νὰ ἀπαλλαγῇ ὁ ἀπελθὼν ἀδελφὸς τῶν ἐπικρεμαμένων ἐπὶ τῆς ψυχῆς του φοβερῶν τιμωριῶν, εἰς τὴν ἄλλην ζωήν, καὶ νὰ δυνηθῇ ἡ ψυχή του νὰ ἀπολαύσῃ μίαν ἄνεσιν, θάψατέ τον χωρὶς ψαλμούς. Διότι δύναται ὁ Θεός, ὡς ἀγαθὸς καὶ πολυέλεος, ποὺ εἶναι, νὰ δεχθῇ τὸν ἀπελθόντα ἀδελφόν μας, καὶ χωρὶς τὴν ἐπικήδειον παράκλησίν μας».

11. Μετὰ τοὺς λόγους αὐτοὺς τοῦ Ἁγίου Παχωμίου, μετεφέρθη πράγματι ὁ ἀποθανὼν ἀδελφὸς καὶ ἐτάφη εἰς τὸ ὄρος, χωρὶς ψαλμῳδίας, ὅπως διέταξεν ὁ Ἅγιος.

Δ'. Ἐν τῷ Γεροντικῷ.

ΜΕΛΛΩΝ τελευτᾶν ὁ Ἀββᾶς Ἀρσένιος, παρήγγειλε τοῖς μαθηταῖς αὐτοῦ λέγων· μὴ φροντίσητε ποιεῖν ὑπὲρ ἐμοῦ· ἐγὼ γὰρ εἰ ἐποίησα ἐμαυτῷ ἀγάπην, ταύτην ἔχω εὑρεῖν.

2. Ὁρῶντες οὖν αὐτὸν οἱ μαθηταὶ ὅσον οὔπω τελευτήσοντα, ἐταράχθησαν. Ὁ δὲ λέγει αὐτοῖς· οὔπω ἦλθεν ἡ ὥρα· ὅτε δὲ ἔλθῃ, λέγω ὑμῖν· πλὴν κριθῆναι ἔχω μεθ' ὑμῶν ἐνώπιον τοῦ Χριστοῦ ἐπὶ τοῦ βήματος τοῦ φοβεροῦ, ἐὰν δῶτε τὸ λείψανόν μου τινί. Οἱ δὲ εἶπον· τί οὖν ποιήσωμεν; ὅτι οὐκ οἴδαμεν ἐνταφιάσαι. Λέγει αὐτοῖς ὁ Γέρων· οὐκ οἴδατε δῆσαι σχοινίον εἰς τὸν πόδα μου, καὶ ἆραί με εἰς τὸ ὄρος;

---

1) Τὸ νόημα εἶναι λεπτότατον καὶ χρῄζει μεγάλης προσοχῆς, διὰ νὰ μὴ ὑποπέσῃ κανεὶς εἰς πλάνας· ἡ Ἐκκλησία ἐχαρακτήρισεν ὡρισμένα ἁμαρτήματα θανάσιμα, ὡς ἀσυγχώρητα μετὰ θάνατον, ἐφ' ὅσον δὲν ἐξομολογηθοῦν. Δι' ἁμαρτήματα ὅμως συγγνωστά, δηλαδὴ ἰάσιμα, κατὰ τὴν γνώμην τοῦ Ἁγίου Παχωμίου, δύναται νὰ δοθῇ συγχώρησις, ἐὰν ὁ ἄνθρωπος εἶχε τὴν ἔφεσιν καὶ προαίρεσιν νὰ τὰ ἐξομολογηθῇ, δὲν ἠδυνήθη ὅμως. Ἐξ οὗ καὶ ἡ φράσις ἐν τῇ συγχωρητικῇ εὐχῇ «...καὶ ἀμελείᾳ ἢ ῥᾳθυμίᾳ χρησάμενος οὐκ ἔτυχε συγχωρήσεως...».

3. Ὡς δὲ ἐγγὺς ἦν τοῦ τελευτᾶν, εἶδον αὐτὸν οἱ ἀδελφοὶ κλαίοντα, καὶ λέγουσιν αὐτῷ· καὶ σὺ φοβῇ, Πάτερ; Ὁ δὲ εἶπεν αὐτοῖς· ἐν ἀληθείᾳ ὁ φόβος ὁ νῦν ὢν μετ' ἐμοῦ, ἔνεστί μοι ἀφ' οὗ ἐγενόμην Μοναχός. Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

4. Διηγήσατό τις τῶν Πατέρων, ὅτι Ἀναχωρητής τις ἦν ἐν τῇ ἐρήμῳ Νειλουπόλεως καὶ διηκόνει αὐτῷ κοσμικὸς πιστός. Ἦν δὲ ἐν τῇ πόλει ἄνθρωπος πλούσιος καὶ ἀσεβής· καὶ συνέβη αὐτὸν ἀποθανεῖν· καὶ προέπεμπεν αὐτὸν ἡ πόλις πᾶσα καὶ ὁ Ἐπίσκοπος μετὰ λαμπάδων καὶ θυμιαμάτων.

5. Ἐξῆλθε δὲ τότε καὶ ὁ διακονητὴς τοῦ Ἀναχωρητοῦ, κατὰ τὸ ἔθος, ἀπενεγκεῖν αὐτῷ ἄρτους· καὶ εὑρίσκει αὐτὸν βεβρωμένον ὑπὸ ὑαίνης.

6. Ἔπεσεν οὖν ἐπὶ πρόσωπον δεόμενος τοῦ Θεοῦ, καὶ λέγων· οὐκ ἐγείρομαι, Κύριε, ἕως οὗ πληροφορήσῃς με τί εἰσι ταῦτα; ὅτι ἐκεῖνος ὁ ἀσεβὴς καὶ μετὰ θάνατον τοσαύτην ἔσχε φαντασίαν, οὗτος δὲ ὁ δουλεύων σοι νύκτα καὶ ἡμέραν, οὕτως ἀπέθανεν;

7. Ἦλθε δὲ Ἄγγελος Κυρίου καὶ εἶπεν αὐτῷ· ἐκεῖνος ὁ ἀσεβὴς εἶχεν ἔργον μικρὸν καλόν, καὶ ἀπέλαβεν αὐτὸ ὧδε, ἵνα ἐκεῖ μηδὲ μίαν εὕρῃ ἀνάπαυσιν· οὗτος δὲ ὁ Ἀναχωρητής, ἐπειδὴ κεκοσμημένος ἦν πάσῃ ἀρετῇ, εἶχε δὲ ὡς ἄνθρωπος καὶ αὐτὸς μικρὸν σφάλμα, καὶ ἀπέλαβεν αὐτὸ ἐνταῦθα, ἵνα ἐκεῖ εὑρεθῇ καθαρὸς ἐνώπιον τοῦ Θεοῦ.

8. Καὶ πληροφορηθεὶς ὁ ἄνθρωπος ἀπῆλθε δοξάζων τὸν Θεὸν ἐπὶ τοῖς κρίμασιν Αὐτοῦ τοῖς δικαίοις καὶ ἀκαταλήπτοις.

9. Ἀδελφοῦ τινος σπουδαίου καὶ ἔχοντος τὸ πένθος διηνεκῶς, πλησίον ἔμενεν ἄλλος ἀδελφός· ἐν μιᾷ οὖν, κατερχόμενος οὗτος εἰς τὸ κάστρον, λέγει τῷ ἀδελφῷ ἐκείνῳ τῷ σπουδαίῳ· ποίησον ἀγάπην, ἀδελφέ, καὶ φρόντισον τοῦ κηπίου, ἕως οὗ ἐπανέλθω. Ἀπεκρίθη ἐκεῖνος· πίστευσον, ἀδελφέ, ὅσον δύναμαι οὐκ ἀμελήσω.

10. Ἀπελθόντος δὲ τοῦ ἀδελφοῦ, λέγει πρὸς ἑαυτόν· ταπεινέ, ὡς ὅτι εὗρες καιρόν, φρόντισον τοῦ κήπου. Καὶ σταθεὶς ἀφ' ἑσπέρας εἰς τὸν κανόνα μέχρι πρωΐας, οὐκ ἐπαύσατο μετὰ δακρύων ψάλλων, καὶ εὐχόμενος, ὡσαύτως καὶ ὅλην τὴν ἡμέραν.

11. Ὀψὲ οὖν ἐπανελθὼν ὁ ἀδελφός, εὗρεν ὅτι τὰ χοιρογρύλλια ἠφάνισαν τὸν κῆπον, καὶ φησὶ πρὸς τὸν ἀδελφόν· ὁ Θεὸς συγχωρήσαι σοι, ἀδελφέ, ὅτι οὐκ ἐφρόντισας τοῦ κήπου. Ὁ δὲ εἶπεν· ὁ Θεὸς οἶδεν, Ἀββᾶ, τὴν δύναμίν μου ἐποίησα καὶ ἐφύλαξα· καὶ ἐλπίζω, ἐλέει Θεοῦ, ἵνα δώσῃ ἡμῖν καρπὸν τὸ μικρὸν κηπίον. Λέγει ὁ ἀδελφός· φύσει, ἀδελφέ, ὅλον ἠρημώθη.

12. Ἀπεκρίθη ἐκεῖνος· οἶδα, ἀλλὰ πιστεύω τῷ Θεῷ ὅτι πάλιν ἀνθεῖ. Λέγει αὐτῷ ὁ κύριος τοῦ κήπου· ἐλθὲ ποτίσωμεν· ὁ δέ φησιν· ὕπαγε καὶ πότισον ἄρτι· κἀγὼ ποτίζω τῇ νυκτί.

13. Γενομένης δὲ ἀβροχίας, ἐλυπεῖτο ὁ κηπωρός· καὶ λέγει τῷ γείτονι αὐτοῦ· πίστευσον, ἀδελφέ, εἰ μὴ ὁ Θεὸς βοηθήσει, οὐκ ἔχομεν ὕδωρ ἐφέτος. Ἀπεκρίθη ἐκεῖνος· οὐαὶ ἡμῖν, ἀδελφέ· ἐὰν ξηρανθῶσιν αἱ πηγαὶ τοῦ κήπου, ἀληθῶς οὐκέτι ἔχομεν σωτηρίαν· αὐτὸς δὲ περὶ τῶν δακρύων ἔλεγε καὶ τοῦ τῆς καρδίας κήπου, τοῦ ὑπὸ τούτων ἀρδευομένου καὶ θάλλοντος.

14. Ὅτε οὖν ἔμελλεν ἀποθνήσκειν ὁ καλὸς οὗτος ἀγωνιστής, παρεκάλεσε τὸν ἀδελφὸν τὸν γείτονα αὐτοῦ λέγων· ποίησον ἀγάπην, μηδενὶ εἴπῃς ὅτι ἀσθενῶ, ἀλλὰ παράμεινον ὧδε τὴν σήμερον, καὶ ὅταν κοιμηθῶ, ἆρόν μου τὸ σῶμα, καὶ ῥίψον αὐτὸ εἰς τὴν ἔρημον, ἵνα καταφάγωσιν αὐτὸ τὰ θηρία καὶ τὰ πετεινά, διότι ἥμαρτε πολλὰ τῷ Θεῷ, καὶ οὐκ ἔστιν ἄξιον ταφῆναι.

15. Ἀπεκρίθη αὐτῷ ἐκεῖνος· πίστευσον, Ἀββᾶ, διακρίνεται ἡ ψυχή μου τοῦτο ποιῆσαι. Ἔφη αὐτῷ ὁ ἀσθενῶν· τὸ κρῖμα τοῦτο ἐπάνω μου· καὶ λόγον σοι

δίδωμι ὅτι, ἐάν μου ἀκούσῃς, καὶ οὕτω ποιήσῃς, καὶ δυνηθῶ, βοηθῶ σοι ἐκεῖ ὅπου ἀπέρχομαι.

16. Καὶ ἀποθανόντος αὐτοῦ αὐτῇ τῇ ἡμέρᾳ, ἐποίησεν ὁ ἀδελφὸς ὡς αὐτῷ διετάξατο, καὶ ἔῤῥιψε τὸ σῶμα αὐτοῦ γυμνὸν εἰς τὴν ἔρημον· ἔμενον γὰρ ἀπὸ εἴκοσι μιλίων τοῦ κάστρου.

17. Τῇ οὖν τρίτῃ ἡμέρᾳ φαίνεται αὐτῷ κατὰ τοὺς ὕπνους, καὶ λέγει· ὁ Θεός, ἀδελφέ, ἐλεήσαί σε, ὡς αὐτὸς ἠλέησάς με· πίστευσόν μοι, μεγάλα μοι εὐηργέτησεν ὁ Θεός, ὑπὲρ οὗ ἔμεινε τὸ σῶμά μου ἄταφον. Ἐῤῥέθη γάρ μοι, ὅτι· ἴδε διὰ τὴν πολλήν σου ταπείνωσιν, ἐκέλευσα εἶναί σε μετὰ Ἀντωνίου. Καὶ ἰδοὺ παρεκάλεσα περὶ σοῦ.

18. Λοιπὸν οὖν ἄφες τὸ αἰσθητὸν κηπίον καὶ φρόντισόν σου τοῦ νοητοῦ καὶ ἀφθάρτου κήπου τῆς ψυχῆς· καὶ γὰρ κἀγὼ μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ σώματος, ἔμαθον, ὅτι τὰ δάκρυά μου ἔσβεσαν ἀπ' ἐμοῦ τὸ πῦρ εἰς ὃ ἔμελλον ἀπελθεῖν.

Ἑρμηνεία

ΟΤΑΝ ὁ Ἀββᾶς Ἀρσένιος ἐπρόκειτο νὰ ἀπέλθῃ τοῦ κόσμου τούτου, ὀλίγας ἡμέρας ἐνωρίτερον ἔδωσε τὰς ἑξῆς παραγγελίας εἰς τοὺς μαθητάς του:

—Μὴ φροντίσετε νὰ κάμετε τίποτε δι' ἐμέ· διότι, ἐὰν ἐγὼ ἐτέλεσα ἔργα ἀγάπης, αὐτὰ ἔχω νὰ εὕρω τώρα.

2. Βλέποντες λοιπὸν αὐτὸν οἱ μαθηταί του μὲ ἐξησθενημένας δυνάμεις καὶ ὀλίγον ἀπέχοντα τοῦ θανάτου, ἐταράχθησαν. Τοῦτο ἀντιληφθεὶς ὁ Ἅγιος Ἀρσένιος τοὺς λέγει:

—Μὴ ἀνησυχῆτε· δὲν ἦλθεν ἀκόμη ἡ ὥρα μου· ὅταν ἔλθῃ, θὰ σᾶς εἰδοποιήσω. Σᾶς ἐπαναλαμβάνω ὅμως καὶ πάλιν, ὅτι θὰ σᾶς κρίνῃ ὁ Θεὸς ἐπάνω εἰς τὸ φοβερόν Του βῆμα, ἐὰν δώσετε εἰς κανένα τὸ λείψανόν μου (πρὸς ἀπονομὴν τιμῶν).

Μὲ κάποιαν ἀπορίαν τὸν ἐρωτοῦν οἱ μαθηταί:

—Καὶ τί λοιπὸν νὰ κάμωμεν; διότι δὲν γνωρίζομεν τὴν σειρὰν καὶ τὴν τάξιν τοῦ ἐνταφιασμοῦ.

Ὁ Ἀββᾶς Ἀρσένιος τοὺς ἀπαντᾷ:

—Δὲν γνωρίζετε νὰ δέσετε τὸ πόδι μου μὲ ἕνα σχοινὶ καὶ νὰ σύρετε τὸ σῶμα μου εἰς τὸ ὄρος; (διὰ νὰ τὸ φάγουν τὰ θηρία καὶ τὰ ὄρνεα).

3. Ὅταν ἔφθασαν αἱ τελευταῖαι στιγμαὶ τῆς ἐπιγείου ζωῆς του, εἶδον οἱ ἀδελφοὶ τὸν Ἀββᾶν Ἀρσένιον νὰ κλαίῃ καὶ τοῦ λέγουν μὲ κάποιαν ἀπορίαν:

—Καὶ σύ, Πάτερ, φοβεῖσαι τὸν θάνατον;

—Σᾶς διαβεβαιῶ, ὅτι τὸν φόβον αὐτὸν τὸν αἰσθάνομαι, ἀπὸ τότε ποὺ ἔγινα Μοναχὸς—ἀπήντησεν ὁ Ἀββᾶς:

Μὲ τοὺς λόγους δὲ αὐτοὺς ἐκοιμήθη.

4. Ἕνας ἐκ τῶν Πατέρων διηγήθη τὴν ἑξῆς ἱστορίαν:

—«Κάποτε ἔζη εἰς τὴν ἔρημον τῆς Νειλουπόλεως ἕνας Ἀναχωρητής. Αὐτὸν τὸν ἐξυπηρέτει ἕνας κοσμικός, μεταφέρων εἰς αὐτὸν τὰ

ἀπαραίτητα ἐκ τῆς πλησίον πόλεως. Εἰς τὴν ἰδίαν αὐτὴν πόλιν, ποὺ κατῴκει ὁ εὐλαβὴς διακονητὴς τοῦ Ἀναχωρητοῦ, διέμενε καὶ ἕνας πλούσιος ἄνθρωπος ἀσεβής.

Κάποτε ὁ ἀσεβὴς αὐτὸς πλούσιος ἀπέθανε. Τοῦ ἐγένετο δὲ λαμπρὰ καὶ ἐπιβλητικὴ κηδεία καὶ ὁλόκληρος ἡ πόλις, μὲ ἐπικεφαλῆς τὸν Ἐπίσκοπον, παρηκολούθησαν τὴν ἐκφορὰν τοῦ λειψάνου του· ἄνθη, ψαλμῳδίαι, θυμιάματα, τὰ πάντα ἐπεστρατεύθησαν διὰ νὰ καταστῇ μεγαλοπρεπέστερος ὁ ἐνταφιασμὸς τοῦ ἀσεβοῦς πλουσίου.

5. Τὴν ἡμέραν ἐκείνην μετέβη, κατὰ τὴν συνήθειάν του, καὶ ὁ εὐλαβὴς κοσμικὸς εἰς τὴν ἔρημον, μεταφέρων εἰς τὸν Ἀναχωρητὴν ὀλίγους ἄρτους. Ποίαν ὅμως δραματικὴν ἀπογοήτευσιν ἐδοκίμασεν, ὅταν δὲν τὸν εὗρε ζῶντα, ἀλλὰ κατασπαραγμένον ἀπὸ μίαν ὕαιναν. (Συνέκρινε, μέσα εἰς τὴν συνείδησίν του, τὴν εἰκόνα τῆς μεγαλοπρεποῦς κηδείας τοῦ ἀσεβοῦς πλουσίου καὶ τὸν τραγικὸν θάνατον τοῦ εὐσεβοῦς Ἀναχωρητοῦ, τοῦ ὁποίου τὰ αἱμόφυρτα μέλη εἶχον διασκορπισθῆ τῇδε κἀκεῖσε ὑπὸ τοῦ θηρίου, καὶ ὄχι μόνον ἐλυπήθη, ἀλλὰ καὶ κατεσκανδαλίσθη).

6. Ὑπὸ τὸ κράτος τῆς ψυχικῆς αὐτῆς ταραχῆς, περιέπεσεν εἰς θερμοτάτην καὶ πολυστένακτον δέησιν πρὸς τὸν Θεόν, λέγων γοερῶς:

—Κύριέ μου, δὲν σηκώνομαι ἀπὸ αὐτὴν τὴν στάσιν, ἐὰν δὲν μὲ πληροφορήσῃς τί νόημα ἔχουν αὐτά, ποὺ βλέπω· ἐκεῖνος ὁ ἀσεβὴς πλούσιος, καὶ μετὰ θάνατον ἀκόμη περιεβλήθη ἀπὸ τοιαύτην δόξαν καὶ τιμὴν ἐκ μέρους τῶν ἀνθρώπων· ἐνῷ αὐτὸς ἐδῶ ὁ Ἀναχωρητής, ποὺ σὲ ἐδούλευε ἡμέραν καὶ νύκτα, ἔσχε τόσον τραγικὸν καὶ ἄδοξον θάνατον· πῶς ἐξηγοῦνται ὅλα αὐτά;

7. Πράγματι, ὁ Θεός, ὅστις πάντοτε ἐπικάμπτεται ἀπὸ τὰς δεήσεις τῶν ἁπλῶν καὶ τῶν ἀσήμων, διὰ νὰ πληροφορήσῃ τὸν ἐνάρετον καὶ εὐσεβῆ διακονητήν, ἀποστέλλει Ἄγγελόν Του, ὅστις καὶ τοῦ λέγει μὲ γλυκύτητα:

—Πρόσεξε· ἐκεῖνος ὁ ἀσεβὴς εἶχε κάμει καὶ ἕνα μικρὸν καλὸν εἰς τὴν ζωήν του καὶ ἐπέτρεψεν ὁ Κύριος νὰ τὸ ἀπολαύσῃ ἐδῶ διὰ τῆς λαμπρᾶς καὶ ἐπιβλητικῆς αὐτῆς κηδείας, διὰ νὰ μὴ εὕρῃ οὐδεμίαν ἀνάπαυσιν εἰς τὴν ἄλλην ζωήν. Ὁ Ἀναχωρητὴς πάλιν, ὅστις ἦτο ἐστολισμένος μὲ πᾶσαν ἀρετήν, ὡς ἄνθρωπος, ὑπέπεσε καὶ αὐτὸς εἰς ἕνα παραμικρὸν σφάλμα, δι' αὐτὸ ἐπέτρεψεν ὁ Κύριος νὰ τιμωρηθῇ ἐδῶ, διὰ τοῦ τραγικοῦ θανάτου, ὥστε ἐκεῖ, εἰς τὴν ἄλλην ζωήν, νὰ εὑρεθῇ τελείως καθαρὸς ἐνώπιον τοῦ Θεοῦ.

8. Μετὰ τὴν ὀπτασίαν αὐτὴν ὁ καλὸς καὶ ἐνάρετος κοσμικὸς ἐπληροφορήθη πλέον, κατὰ συνείδησιν, ἐπὶ τοῦ ζητουμένου καὶ ἀνεχώρησε διὰ τὸ σπίτι του, δοξάζων τὸν Θεὸν διὰ τὰ δίκαια, ἀλλ' ἀκατανόητα, ὑπὸ τῶν ἀνθρώπων, κρίματά Του».

9. Πλησίον ἑνὸς σπουδαίου ἀδελφοῦ, ποὺ ἐδοκίμαζε διαρκῶς

εἰς τὴν ψυχήν του τὸ κατὰ Θεὸν πένθος, κατῴκει ἕνας ἄλλος ἀδελφός. Μίαν ἡμέραν, ποὺ αὐτὸς ὁ ἀδελφὸς ἐπρόκειτο νὰ κατέβῃ εἰς τὴν πόλιν, λέγει εἰς τὸν σπουδαῖον καὶ ἐνάρετον ἀδελφόν:

—Ἀδελφέ μου, κάμε ἀγάπην καὶ φρόντισε διὰ τὸ κηπάριόν μου, μέχρις ὅτου γυρίσω.

Ἐκεῖνος ἀπήντησε:

—Πίστευσέ με, ἀδελφέ μου, δὲν θὰ ἀμελήσω, ὅσον ἠμπορῶ.

10. Ἀφοῦ ἀνεχώρησε διὰ τὴν πόλιν ὁ γείτων, λέγει εἰς τὸν ἑαυτόν του ὁ ἀδελφός· «πτωχέ μου, τώρα ποὺ εὗρες καιρόν, φρόντισε διὰ τὸν κῆπον». Παρέμεινε δὲ ὄρθιος, διὰ τὸν κανόνα του, ἀπὸ τὸ βράδυ μέχρι τὸ πρωΐ, ἀλλὰ καὶ δὲν ἔπαυσε καὶ τὴν ἄλλην ἡμέραν, ὁλόκληρον, νὰ ψάλλῃ καὶ νὰ προσεύχεται μετὰ δακρύων.

11. Ἀργὰ ἐπέστρεψεν ὁ γείτων, καὶ διεπίστωσεν, ὅτι τὸν κῆπον του τὸν κατέστρεψαν οἱ σκαντζόχοιροι. Λέγει λοιπὸν μὲ κάποιαν πικρίαν πρὸς τὸν ἀδελφόν:

—Ὁ Θεὸς νὰ σὲ συγχωρήσῃ, ἀδελφέ μου, διότι δὲν ἐφρόντισες διὰ τὸν κῆπον.

Ὁ ἀδελφὸς ἀπήντησεν:

—Ἀββᾶ, γνωρίζει ὁ Θεός, ὅτι ἔκαμα τὸ κατὰ δύναμιν καὶ ἐφύλαξα τὸ κηπάριον· ἐλπίζω τὸ ἔλεος τοῦ Θεοῦ νὰ δώσῃ ἐν καιρῷ καρπόν.

—Πραγματικά, ἀδελφέ μου—ἀπεκρίθη ὁ κηπουρὸς—τελείως κατεστράφη καὶ ἐξεχερσώθη.

12. Ὁ σπουδαῖος ἐκεῖνος ἀδελφός, θέλων τότε νὰ παρηγορήσῃ τὸν κηπουρόν, τοῦ λέγει:

—Γνωρίζω, ἀδελφέ μου, τί μοῦ λέγεις· εἶναι ὅμως ἱκανὸς ὁ Θεὸς νὰ κάμῃ καὶ πάλιν τὸν κῆπον νὰ ἀνθοφορήσῃ καὶ νὰ καρποφορήσῃ.

—Ἔλα νὰ ποτίσωμεν—τοῦ λέγει ὁ κύριος τοῦ κήπου.

—Πήγαινε—ἀπήντησεν ὁ ἀδελφὸς—νὰ ποτίσῃς σὺ τώρα, καὶ ἐγὼ θὰ ποτίσω τὴν νύκτα.

13. Ἄλλην πάλιν φοράν, ποὺ εἶχεν ἀρκετὸν καιρὸν νὰ βρέξῃ, λέγει ὁ κηπουρὸς πρὸς τὸν σπουδαῖον ἐκεῖνον ἀδελφὸν μὲ λύπην:

—Πίστευσέ με, ἀδελφέ μου, πώς, ἐὰν δὲν βοηθήσῃ ὁ Θεός, ἐφέτος δὲν θὰ ἔχωμεν καθόλου νερό.

Καὶ ὁ ἀδελφὸς ἀπήντησεν:

—Ἀλλοίμονόν μας, ἀδελφέ μου, ἐὰν στειρεύσουν αἱ πηγαὶ τοῦ κήπου, τότε πράγματι δὲν θὰ ἔχωμεν σωτηρίαν.

Ἐνῷ ὅμως ὁ κηπουρὸς ὡμίλει διὰ τὸν αἰσθητὸν κῆπον, ὁ ἄλλος ἀδελφὸς ὑπενόει τὰ δάκρυα καὶ τὸν μυστικὸν τῆς καρδίας κῆπον, τὸν ὁποῖον ἐπότιζε καὶ περιεποιεῖτο διὰ νὰ θάλλῃ.

14. Ὅταν λοιπόν, μετὰ καιρόν, ἐπρόκειτο νὰ ἀποθάνῃ ὁ καλὸς αὐτὸς ἀγωνιστής, παρεκάλεσε τὸν ἀδελφὸν καὶ γείτονά του νὰ ἔλθῃ πλησίον του, καὶ τοῦ εἶπε:

—Κάμε ἀγάπην καὶ μὴ εἴπῃς εἰς οὐδένα, ὅτι εἶμαι ἄρρωστος·

σήμερα κάθησε κοντά μου. Όταν δὲ κοιμηθῶ, πάρε τὸ σῶμά μου καὶ πέταξέ το εἰς τὴν ἔρημον, διὰ νὰ τὸ φάγουν τὰ θηρία καὶ τὰ ὄρνεα, ἐπειδὴ πολλὰς ἁμαρτίας διέπραξεν ἐνώπιον τοῦ Θεοῦ καὶ δὲν εἶναι ἄξιον νὰ ἐνταφιασθῇ.

15. Ὁ κηπουρὸς ἀκούσας τοὺς λόγους τούτους ἀπήντησε:

—Πίστευσόν με, Ἀββᾶ, ἡ ψυχή μου δὲν μὲ ἀφήνει νὰ κάμω αὐτό, ποὺ μοῦ λέγεις.

Ὁ ἄρρωστος τοῦ λέγει ἐκ δευτέρου:

—Τὸ κρῖμα αὐτό, διὰ τὴν παράλειψιν τῆς ἐπικηδείου τιμῆς πρὸς τὸν νεκρόν, ἂς εἶναι ἐπάνω μου· σοῦ ὑπόσχομαι δέ, ὅτι ἐὰν μὲ ἀκούσῃς καὶ κάμῃς ὅπως σοῦ λέγω, καὶ ἠμπορέσω, θὰ σὲ βοηθῶ ἀπὸ ἐκεῖ, ποὺ θὰ ὑπάγω.

16. Πράγματι, κατὰ τὴν πρόρρησιν τοῦ ἀδελφοῦ, οὗτος ἐκοιμήθη τὴν ἰδίαν ἡμέραν. Ὁ δὲ κηπουρὸς ἔκαμεν, ὅπως τὸν διέταξεν ὁ ἀδελφός· ἐπέταξε δηλαδὴ τὸ σῶμα τοῦ νεκροῦ γυμνὸν εἰς τὴν ἔρημον. Καὶ οἱ δύο διέμενον εἴκοσι μίλια ἔξω ἀπὸ τὴν πόλιν.

17. Τὴν τρίτην ἡμέραν, ἀπὸ τοῦ θανάτου του, ἐμφανίζεται ὁ μεταστὰς καὶ λέγει εἰς τὸν κηπουρόν:

—Ἀδελφέ μου, εὔχομαι νὰ σὲ ἐλεήσῃ ὁ Θεός, ὅπως μὲ ἠλέησες καὶ σύ. Πίστευσέ με, ὅτι ὁ Θεὸς μὲ εὐηργέτησε πάρα πολύ, χάριν τῆς πρὸς τὸ σῶμά μου περιφρονήσεως, τὸ ὁποῖον παρέμεινεν ἄταφον. Μοῦ εἶπεν ὁ Θεός· «Ἰδὲ ὅτι διὰ τὴν πολλήν σου ταπείνωσιν, διέταξα νὰ εἶσαι μαζὶ μὲ τὸν Ἅγιον Ἀντώνιον». Μόλις δὲ μοῦ ἐδόθη ἡ εὐκαιρία, παρεκάλεσα καὶ διὰ σέ.

18. Λοιπὸν σὲ συμβουλεύω, νὰ ἀφήσῃς τὸν αἰσθητὸν κῆπον, καὶ νὰ φροντίσῃς διὰ τὸν νοητὸν καὶ ἄφθαρτον κῆπον τῆς ψυχῆς σου. Διότι καὶ ἐγώ, ἀφοῦ ἐξῆλθεν ἡ ψυχή μου ἐκ τοῦ σώματος, ἔμαθα, ὅτι τὰ δάκρυά μου ἔσβεσαν τὴν φωτιάν, εἰς τὴν ὁποίαν ἐπρόκειτο νὰ ἀπέλθω μετὰ θάνατον.



ΥΠΟΘΕΣΙΣ ΛΗ΄

Ὅτι οὐ παντός ἐστι τὸ διδάσκειν, ἀλλὰ μόνον τοῦ τῇ Θείᾳ Προνοίᾳ προβληθέντος εἰς τοῦτο, ὡς ἱκανοῦ, καὶ πράττοντος ἃ διδάσκει καὶ τὰ πάθη νικήσαντος· τὸν δὲ εὐτελῆ, ἑαυτῷ δεῖ προσέχειν, ἵνα μήπως ἄλλους θέλων οἰκοδομεῖν, ἑαυτὸν καταλύσῃ· καὶ ὅτι σπάνιοι μέν, ὅμως εὑρίσκονταί τινες ἐξ ἀρχῆς αὐτῶν ὑπὸ τοῦ Ἁγίου Πνεύματος ὁδηγούμενοι, οἵτινες ἀνθρωπίνης ὅλως ὁδηγίας οὐκ ἐδεήθησαν, ἀλλ' αὐτοὶ ὁδηγοὶ ἑτέρων γεγόνασιν ὕστερον· ὃ θαυμάζειν δεῖ μόνον ἡμᾶς καὶ οὐ μιμεῖσθαι, εἰς τὴν ἑαυτῶν ἀφορῶντας ἀσθένειαν.

Δὲν εἶναι ἴδιον τοῦ οἱουδήποτε ἡ διδασκαλία, ἀλλὰ μόνον ἐκείνου ὁ ὁποῖος προεβλήθη ὑπὸ τῆς Θείας Προνοίας ὡς ἱκανὸς εἰς τοῦτο καὶ ἐφαρμόζει ἐκεῖνα, τὰ ὁποῖα διδάσκει καὶ ἐνίκησε τὰ πάθη του. Ἐκεῖνος δὲ ποὺ δὲν ἔχει τὰ πρὸς διδασκαλίαν προσόντα, πρέπει νὰ προσέχῃ τὸν ἑαυτόν του, μὴ τυχόν, θέλων νὰ οἰκοδομήσῃ τοὺς ἄλλους, παραμελήσῃ καὶ ζημιώσῃ τὸν ἑαυτόν του. Ὑπάρχουν μερικοί, καίτοι σπάνιοι, οἱ ὁποῖοι ὡδηγήθησαν εὐθὺς ἐξ ἀρχῆς ὑπὸ τοῦ Ἁγίου Πνεύματος καὶ ὄχι μόνον δὲν ἔλαβον ἀνάγκην ἀπὸ ἀνθρωπίνην συμβουλὴν καὶ ὁδηγίαν, ἀλλὰ καὶ ἠδυνήθησαν ὕστερον νὰ γίνουν πνευματικοὶ ὁδηγοὶ ἄλλων. Τὸ φαινόμενον αὐτῶν τῶν ἀνθρώπων πρέπει νὰ τὸ θαυμάζωμεν, ἀλλὰ νὰ μὴ ἐπιδιώκωμεν νὰ τὸ μιμηθῶμεν, ἀποβλέποντες εἰς τὴν ἀδυναμίαν μας.

Α΄. Γρηγορίου τοῦ Διαλόγου.

ΒΑΛΕΝΤΙΟΥ τινὸς πατρικίου ἐν τοῖς τῆς Ἀμνίας χώρας μέρεσι χωρίον ὑπῆρχεν, ἐν ᾧ γεωργὸς αὐτοῦ υἱὸν ἔσχεν ὀνόματι Ὀνωράτον, ὃς ἐκ νηπίας αὐτοῦ ἡλικίας, εἰς τὸν πόθον τῆς ἐπουρανίου πατρίδος, διὰ νηστειῶν ἐξεκαύθη.

2. Προκόψας δὲ μεγίσταις δυνάμεσι, παρὰ τοῦ προλεχθέντος Βαλεντίου, τοῦ κυρίου αὐτοῦ, ἐλευθερίας ἔτυχε καὶ εἰς ἐκεῖνον τὸν τόπον, τὸν Φροῦδον λεγόμενον, Μοναστήριον ᾠκοδόμησεν, ἐν ᾧ διακοσίων λοιπὸν Μοναχῶν Πατὴρ γέγονεν.

3. Ἐν μιᾷ οὖν ἡμέρᾳ, ἐκ τοῦ ὄρους τοῦ τῆς Μονῆς ὑπερκειμένου, λίθος ἀπετμήθη· ὃς ἐκ πλαγίου τοῦ ὄρους κατιών, πτῶσιν τοῦ Μοναστηρίου καὶ πάντων τῶν ἀδελφῶν ἀπώλειαν ἠπείλει.

4. Ὃν οὕτω σφοδρῶς κατερχόμενον ὁ Ἅγιος θεασάμενος, συχνῇ τῇ φωνῇ τὸ τοῦ Χριστοῦ ἐπικαλούμενος ὄνομα, τὴν δεξιὰν ἐκτείνας, τὸν τύπον αὐτῷ τοῦ Τιμίου Σταυροῦ ἐπέβαλε· καὶ παραχρῆμα ἔστη ὁ λίθος τῆς πρόσω φορᾶς μετέωρος, καὶ μέχρι τοῦ νῦν οὕτω παρὰ πάντων ὁρᾶται κρεμάμενος καὶ μένων ἀκίνητος, καθὼς καὶ αὐτὸν ὁ Ἅγιος, τῇ τοῦ Χριστοῦ δυνάμει στῆναι παρεκελεύσατο.

Πέτρος

5. Ἐρωτῶ οὖν, τίμιε Πάτερ, ὁ περιφανὴς οὗτος ἄνθρωπος, ὁ ἐν ὑστέρῳ διδάσκαλος μαθητῶν γεγονώς, τὸ πρότερον ἔσχε διδάσκαλον;

Γρηγόριος

6. Οὐδαμῶς τοῦτον γεγονέναι τινὸς μαθητὴν ἀκήκοα· τοῦ δὲ Ἁγίου Πνεύματος τὸ δῶρον νόμῳ οὐ στεφανοῦται· ὅμως ἔθος τῆς ὀρθῆς ἀναστροφῆς ὑπάρχει, ἵνα προΐστασθαί τις μὴ τολμήσῃ, ὅστις ὑποτάσσεσθαι οὐ μεμάθηκε μηδὲ ὑπακοὴν τοῖς ὑποκειμένοις ἐπιτρέψαι, ἣν αὐτὸς ἐκ τῶν προηγουμένων ἐκτελέσαι οὐκ ἔγνω.

7. Εὑρίσκονται δέ τινες ἐκ τῆς τοῦ Πνεύματος διδαχῆς ἔνδοθεν διδασκόμενοι, ὥστε κἂν ἔξωθεν αὐτοῖς ἀνθρωπίνης διδαχῆς ἐπιστήμη οὐχ ὑπάρχει, ἀλλ' ἡ τοῦ ἔνδοθεν διδασκάλου σοφία οὐκ ἐκλείπει· τοῦτο δὲ συμβαίνει εἰς τελείους ἄνδρας, ὧν ἡ τῆς ζωῆς ἐλευθερία ἐκ τῶν ὑποδειγμάτων τῶν ἀσθενεστέρων καταπεσεῖν οὐ δύναται.

8. Προσέχειν δὲ ἄξιον, ἵνα μή τις ἑαυτὸν ὁμοίως Πνεύματος Ἁγίου πεπληρωμένον εἶναι νομίσας μαθητὴν ἀνθρώπου παροικτρώσηται, καὶ πλάνης διδάσκαλος γένηται· νοῦς δὲ ὁ τοῦ θείου πεπληρωμένος Πνεύματος, ἐμφανέστατα ἔχει τὰ σημεῖα Αὐτοῦ, ἅτινά εἰσι δύναμις καὶ ταπεινοφροσύνη· ἅπερ ἐὰν ἀμφότερα ἐν ἑνὶ λογισμῷ ὁλοκλήρῳ συνέλθωσι, σαφῶς τὴν τοῦ Ἁγίου Πνεύματος παρουσίαν σημαίνουσιν.

9. Οὕτως οὖν Ἰωάννης ὁ Βαπτιστὴς διδάσκαλον μὴ ἐσχηκέναι ἀναγινώσκεται· οὐδὲ γὰρ αὐτὴ ἡ ἀλήθεια, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, σωματικῇ παρουσίᾳ τοὺς Ἀποστόλους διδάξας, τοῦτον σωματικῶς μεταξὺ αὐτῶν συνήθροισεν· ἔνδοθεν δὲ μᾶλλον διδάσκων, ἔξωθεν ἐν ἐλευθερίᾳ κατέλιπεν.

10. Οὕτω Μωϋσῆς ἐν τῇ ἐρήμῳ ὑπὸ Ἀγγέλου ὁδηγηθείς, ἐντολὴν μεμάθηκεν, ἥνπερ δι' ἀνθρώπου οὐκ ἔγνω· ταῦτα δέ, καθὼς προείπομεν, τοῖς ἀσθενέστερον διακειμένοις σεβάσμιά εἰσι καὶ οὐ μιμητέα.

11. Τοιοῦτος καὶ ὁ Ὅσιος Πατὴρ ἡμῶν Βενέδικτος γέγονεν· οὗτος γὰρ ὥς τις Ἑωσφόρος ἀστὴρ ἐκ τῆς Νουρσίας χώρας προελθών, τῇ τῶν Ῥωμαίων ἀνέτειλε· καὶ ἔτι ἔφηβος ὤν, καὶ σφριγῶν τῷ σώματι, ὡς ξηρὸν πάντα κόσμον μετὰ τοῦ ἄνθους αὐτοῦ λογισάμενος ἀπεστράφη.

12. Καὶ καταλαβὼν τὴν ἔρημον ἐν τόπῳ τινί, ὃν Λάκκον ἐγχωρίως κατονομάζουσι, σπήλαιον εὑρών, ἐν τούτῳ κατῴκησε καὶ πᾶσαν ἀρετῆς ἰδέαν εἰς ἄκρον ἐξήσκησεν, ὑπὸ τῆς τοῦ Ἁγίου Πνεύματος ἰσχύος πληρούμενος, ὑφ' ἧς καὶ καλλιεργηθείσης αὐτοῦ τῆς καρδίας, εὔφορον καὶ τοῖς προσιοῦσι τὸν τῆς διδασκαλίας καρπὸν ἀπεδίδου.

13. Πολλοὶ γὰρ ἐκ τῶν ἔγγιστα συνέῤῥεον εἰς αὐτόν, οἰκοδομῆς χάριν πνευματικῆς· οὐ γὰρ ἦν δυνατὸν ἐπὶ πολὺ ὥσπερ μοδίῳ τῇ λήθῃ τὸ φῶς τῆς ἀρετῆς αὐτοῦ κρύπτεσθαι, ἀλλ' ἐπὶ τὴν λυχνίαν ὑπὸ τῆς Προνοίας ἀξίως ἐτέθη, ἵνα μεταδῷ καὶ τοῖς ἄλλοις τῆς οἰκείας λαμπρότητος.

14. Ὄντι οὖν αὐτῷ ἐν τῷ ῥηθέντι σπηλαίῳ καὶ ταῖς ἀστραπαῖς τῶν ἀρετῶν αὐτοῦ καὶ σημείων καὶ μεγίστων δυνάμεων, ὧν ἐποίει δι' αὐτοῦ ὁ Θεός, πολλοὺς ἐκκαλούμενος πρὸς ἑαυτόν, προσῆλθον τινὲς ὑπ' αὐτῷ ποιμανθῆναι αἰτούμενοι. Ὁ δὲ καὶ προσεδέξατο τούτους καὶ δώδεκα αὐτόθι, τῇ τοῦ Χριστοῦ δυνάμει, συνεστήσατο Μοναστήρια, ὧν ἑκάστῳ, δὶς δέκα Μοναχοὺς ἀπεκλήρωσε· μεθ' ἑαυτοῦ δὲ κατέσχεν ὀλίγους συνοικοῦντας αὐτῷ.

15. Τοιοῦτοι καὶ οἱ τῶν Πατέρων κορυφαῖοι· ὁ Μέγας Ἀντώνιος, καὶ Εὐθύμιος οἱ Μεγάλοι· καὶ οὗτοι γάρ, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν Θεὸν καὶ τὴν συνείδησιν σχόντες διδάσκαλον, τῆς οἰκουμένης φωστῆρες γεγόνασιν, οἷος ἦν ὁ Ὅσιος Ἀπολλώ, οἱ ἐν τοῖς στύλοις Δανιὴλ, καὶ Ἀλύπιος, καὶ ὁ μέγιστος Συμεών.

Ἑρμηνεία

ΕΝΑΣ πατρίκιος, ὀνομαζόμενος Βαλέντιος, εἶχεν εἰς τὴν περιοχὴν τῆς Ἀμνίας ἕνα κτῆμα. Ὁ γεωργὸς τοῦ κτήματος αὐτοῦ εἶχεν υἱόν, τὸν Ὀνωράτον. Ὁ Ὀνωράτος λοιπὸν ἐκ μικρᾶς ἡλικίας κατεφλέχθη ἀπὸ τὸν πόθον τῆς ἐπουρανίου πατρίδος, καὶ ἐπεδόθη εἰς μίαν προσπάθειαν νηστείας καὶ ἐγκρατείας.

2. Ἐνωρίτατα διεκρίθη εἰς μεγάλα πνευματικὰ κατορθώματα, ὁ δὲ κύριός του, ὁ Βαλέντιος, βλέπων τὴν τοιαύτην ἐπίδοσιν καὶ πρόοδόν του, τοῦ ἐχάρισε τὴν ἐλευθερίαν του. Οὗτος ἀνῳκοδόμησεν εἰς τὴν περιοχὴν Φρούδου Μοναστήριον, εἰς τὸ ὁποῖον συνηθροίσθησαν διακόσιοι Μοναχοί, τῶν ὁποίων ὁ Ὀνωράτος ἔγινεν Ἡγούμενος.

3. Μίαν ἡμέραν ἀπὸ τὸ βουνόν, ποὺ εὑρίσκετο ὑπεράνω τῆς Μονῆς, ἀπεσπάσθη ἕνας τεράστιος βράχος, ὁ ὁποῖος ἤρχισε νὰ κατρακυλᾷ εἰς τὴν πλαγιὰν τοῦ βουνοῦ, ἀπειλῶν νὰ καταστρέψῃ τὸ Μοναστήριον καὶ νὰ φονεύσῃ τοὺς ἀδελφούς.

4. Μόλις ὁ Ἅγιος ἄνθρωπος εἶδε τὸν βράχον νὰ κατρακυλᾷ μὲ τόσην ὁρμὴν πρὸς τὸ μέρος τῆς Μονῆς, ἤρχισεν ἀμέσως καὶ χωρὶς διακοπὴν νὰ ἐπικαλῆται τὸ ὄνομα τοῦ Σωτῆρος Χριστοῦ· ὑψώσας δὲ τὴν δεξιάν του χεῖρα ἔκαμε πρὸς τὴν κατεύθυνσιν τοῦ βράχου τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ. Καὶ ὢ τοῦ θαύματος! ὁ βράχος ἐσταμάτησε τὸ κατρακύλισμα καὶ παρέμεινε μετέωρος εἰς τὴν θέσιν ποὺ εὑρέθη, ὅπως εἶναι μέχρι σήμερον. Ὅλοι δὲ τὸν βλέπουν νὰ εἶναι κρεμασμένος καὶ νὰ παραμένῃ ἀκίνητος, ἐκεῖ ἀκριβῶς, ὅπου ὁ Ἅγιος, μὲ τὴν δύναμιν τοῦ Χριστοῦ, τὸν διέταξε νὰ σταματήσῃ.

Πέτρος

5. Σὲ ἐρωτῶ λοιπόν, τίμιε Πάτερ, αὐτὸς ὁ σπουδαῖος ἄνθρωπος, ὁ ὁποῖος μετὰ ταῦτα ἔγινε διδάσκαλος τόσων μαθητῶν, εἶχε προηγουμένως διδάσκαλον;

Γρηγόριος

6. Ποτὲ δὲν ἔτυχε νὰ ἀκούσω, ὅτι ἐχρημάτισε μαθητὴς ἄλλου. Ἡ δωρεὰ ὅμως αὐτὴ τοῦ Ἁγίου Πνεύματος δὲν εἶναι δυνατὸν νὰ θεμελιώσῃ νόμον καὶ τακτικὴν μεταξὺ τῶν ἀνθρώπων, ὥστε νὰ τολμήσῃ κανεὶς νὰ ἀναδειχθῇ προϊστάμενος ἄλλων, ἐφ' ὅσον προηγουμένως δὲν ἔχει μάθει νὰ ὑποτάσσεται ὁ ἴδιος· ἀλλ' οὔτε καὶ εἶναι θεμιτὸν νὰ ἀξιοῖ ὑπακοὴν ἀπὸ ὑποκειμένους εἰς αὐτόν, ἐὰν ὁ ἴδιος δὲν ἔμαθε προηγουμένως νὰ φυλάττῃ ὑπακοήν.

7. Ὑπάρχουν καὶ μερικοὶ ἄνθρωποι, οἱ ὁποῖοι διδάσκονται ἐσωτερικῶς, ἀπὸ τὴν διδαχὴν τοῦ Ἁγίου Πνεύματος, ὥστε καὶ ἐὰν ἀκόμη δὲν ἐδόθη εἰς αὐτοὺς ἡ εὐκαιρία νὰ ἐκμάθουν τὰ δέοντα ἀπὸ διδασκάλους, ἐν τούτοις δὲν τοὺς ἐγκαταλείπει ποτὲ ὁ ἐσωτερικὸς διδά-

σκαλος, ἡ πνευματοδίδακτος δηλαδὴ σοφία. Αὐτὸ ὅμως συμβαίνει μόνον εἰς τοὺς τελείους ἄνδρας, τῶν ὁποίων ἡ ζωὴ εἶναι τόσον ἐλευθέρα ἀπὸ τὰς ἐπιδράσεις τοῦ κακοῦ καὶ τῆς ἁμαρτίας, ὥστε δὲν εἶναι δυνατὸν νὰ περιπέσουν εἰς ἀσέβειαν ἢ ἀδιαφορίαν ἀπὸ τὰ παραδείγματα τῶν ἀσθενεστέρων κατὰ τὸν χαρακτῆρα καὶ τὴν πνευματικὴν ἐπίδοσιν.

8. Ἀξίζει δὲ νὰ προσέχῃ κανεὶς πάρα πολύ, ὥστε νὰ μὴ θεωρήσῃ καὶ τὸν ἑαυτόν του ὁμοίως πεπληρωμένον ἀπὸ τὸ Ἅγιον Πνεῦμα καὶ οὕτω ἀρνηθῇ οἰκτρῶς νὰ χρηματίσῃ μαθητὴς ἄλλου, γενόμενος οὕτω διδάσκαλος πλάνης. Νοῦς ὁ ὁποῖος ἔχει καταληφθῆ ἀπὸ τὸ Ἅγιον Πνεῦμα ἔχει ὁλοφάνερα τὰ σημεῖα τῆς τοιαύτης ἐπισκιάσεως, καὶ τὰ ὁποῖα εἶναι δύναμις (πνευματικὴ καὶ θαυματουργικὴ) καὶ ταπεινοφροσύνη. Ἐὰν δὲ ἡ δύναμις αὕτη καὶ ἡ ταπεινοφροσύνη συγκεντρωθοῦν εἰς ἕνα τέλειον καὶ ὡλοκληρωμένον στοχασμόν, φανερώνουν τότε σαφῶς τὴν παρουσίαν τοῦ Ἁγίου Πνεύματος.

9. Τοιουτοτρόπως, ὅπως ἀναγιγνώσκομεν εἰς τὴν Καινὴν Διαθήκην, ὁ Ἰωάννης ὁ Βαπτιστὴς δὲν εἶχε διδάσκαλον· οὔτε αὐτὴ ἡ Ἀλήθεια, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅστις ὡς ἄνθρωπος, διὰ σωματικῆς παρουσίας, ἐδίδαξε τοὺς Ἀποστόλους, ἐκάλεσε τοῦτον, διὰ νὰ τὸν προσθέσῃ εἰς τὸν χορὸν τῶν Ἀποστόλων, ἐδίδασκε δὲ μᾶλλον αὐτὸν δι' ἐσωτερικοῦ φωτισμοῦ, ἐνῷ φαινομενικῶς τὸν εἶχεν ἀφήσει ἐλεύθερον.

10. Τοιουτοτρόπως καὶ ὁ Μωϋσῆς ὡδηγήθη εἰς τὴν ἔρημον ὑπὸ Ἀγγέλου καὶ ἐκεῖ ἔμαθεν ἐντολήν, τὴν ὁποίαν δὲν ἐγνώρισε διὰ μέσου ἀνθρώπου [1]. Αὐτὰ ὅμως, ὅπως προείπομεν, διὰ τοὺς ἀσθενεστέρους εἶναι μὲν ἄξια σεβασμοῦ καὶ θαυμασμοῦ, ὄχι ὅμως καὶ περιπτώσεις πρὸς μίμησιν.

11. Τοιοῦτος πνευματοδίδακτος ἀνεδείχθη καὶ ὁ Ὅσιος Πατὴρ ἡμῶν Βενέδικτος· διότι καὶ αὐτός, ὅπως τὸ ἄστρον τῆς αὐγῆς, προερχόμενος ἀπὸ τὰ μέρη τῆς Νουρσίας, ἀνέτειλεν εἰς τὴν πόλιν τῶν Ρωμαίων. Ἐνῷ δὲ ἦτο ἀκόμη ἔφηβος καὶ μὲ ἀκμαῖον τὸ σωματικὸν σφρῖγος, ἐθεώρησεν ὁλόκληρον τὸν κόσμον καὶ τὸ ἄνθος αὐτοῦ, τὰς φευγαλέας καλλονάς του, ὡς ξηρὰ χόρτα, δι' αὐτὸ καὶ τὸν ἀπεστράφη.

12. Ἐγκατεστάθη δὲ εἰς ἕνα ἔρημον τόπον, τὸν ὁποῖον οἱ ἐντόπιοι ὀνομάζουν Λάκκον· εἰς αὐτὴν τὴν περιοχὴν εὗρεν ἕνα σπήλαιον, ὅπου παρέμεινεν ἀσκητεύων καὶ κατώρθωσε νὰ ἐφαρμόσῃ εἰς τὸ ἔπακρον ὅλας τὰς ἀρετάς· ὡς καθαρὸν δὲ καὶ πολύτιμον δοχεῖον ἐπληρώθη ἀπὸ τὴν δύναμιν τοῦ Ἁγίου Πνεύματος, ὑπὸ τῆς ὁποίας καὶ ἐκαλλιεργήθη ἡ καρδία του καὶ ἀπέδωσε πλουσίους καὶ ὡραίους τοὺς καρποὺς τῆς διδασκαλίας εἰς ὅσους προσήρχοντο πλησίον του.

13. Πράγματι πολλοὶ ἄνθρωποι συνέρρεον εἰς τὸ Ἀσκητήριόν

---

1) Ὑπαινίσσεται ἐνταῦθα ὁ Ἅγιος τὴν ἐντολὴν τῆς ἀπελευθερώσεως τῶν Ἑβραίων ἀπὸ τῆς δουλείας τῶν Αἰγυπτίων, τὴν ὁποίαν ἔλαβεν ὁ Μωϋσῆς, ὅταν εἶδε τὸ θαῦμα τῆς φλεγομένης καὶ μὴ κατακαιομένης βάτου (Ἐξ. γ' 2 καὶ ἑξ.).

του ἀπὸ τὰ γειτονικὰ μέρη χάριν τῆς πνευματικῆς των οἰκοδομῆς. Δὲν ἦτο δὲ δυνατὸν ἐπὶ πολὺ τὸ φῶς τῆς ἀρετῆς του νὰ ἀγνοῆται, ὡς νὰ ἐκρύπτετο ὑπὸ τὸν μόδιον (Ματθ. ε' 15)· ἀλλ' ὑπὸ τῆς Θείας Προνοίας ἐτέθη ἐπαξίως ἐπάνω εἰς τὴν λυχνίαν, διὰ νὰ μεταδώσῃ καὶ εἰς ἄλλους ἀνθρώπους ἀπὸ τὴν λαμπρότητά του.

14. Ἀσκητεύων λοιπὸν ὁ Ὅσιος Βενέδικτος εἰς τὸ προαναφερθὲν σπήλαιον, προσείλκυε πλησίον του, μὲ τὰς ἀστραπὰς τῶν ἀρετῶν του, τῶν σημείων καὶ τῶν καταπληκτικῶν θαυμάτων, τὰ ὁποῖα δι' αὐτοῦ ἐνήργει ὁ Θεός, ἀρκετοὺς εὐσεβεῖς Χριστιανούς· μεταξὺ αὐτῶν προσῆλθον καὶ μερικοὶ ἐξαιτούμενοι νὰ κυβερνηθοῦν ψυχικῶς ὑπ' αὐτοῦ, ὅπως τὰ πρόβατα ἀπὸ τὸν καλὸν ποιμένα. Ὁ Ἅγιος Βενέδικτος, πράγματι, τοὺς ἐδέχθη καὶ ἀνέλαβε τὴν πνευματικήν των ἐπιστασίαν. Μὲ τὴν δύναμιν δὲ τοῦ Χριστοῦ ἵδρυσεν εἰς τὸ μέρος ἐκεῖνο δώδεκα Μοναστήρια, εἰς ἕνα ἕκαστον τῶν ὁποίων ἐγκατέστησεν ἀνὰ εἴκοσι Μοναχούς. Μαζί του ἐκράτησεν ὀλίγους μετὰ τῶν ὁποίων συνησκήτευε.

15. Τοιοῦτοι ὑπῆρξαν καὶ οἱ κορυφαῖοι Πατέρες, ὁ Μέγας Ἀντώνιος καὶ ὁ Μέγας Εὐθύμιος καὶ ἄλλοι μεγάλοι Πατέρες τῆς ἐρήμου. Καὶ αὐτοί, ὅπως ὁ Ἅγιος Βενέδικτος, δὲν εἶχον ὡς διδάσκαλον ἄνθρωπον, ἀλλὰ τὸν Θεὸν καὶ τὴν συνείδησίν των· δι' αὐτὸ καὶ ἀνεδείχθησαν φωστῆρες τῆς οἰκουμένης. Τοιοῦτοι ὑπῆρξαν καὶ ὁ Ὅσιος Ἀπολλὼς καὶ οἱ στυλῖται Δανιήλ, Ἀλύπιος καὶ ὁ Μέγιστος Συμεών.

Β'. Ἐν τῷ βίῳ τῆς Ὁσίας Συγκλητικῆς.

ἜΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι ἐπικίνδυνον λίαν τὸν μὴ διὰ τοῦ πρακτικοῦ ἀναχθέντα βίου διδάσκειν ἐπιχειρεῖν· ὥσπερ γὰρ ὁ οἰκίαν ἔχων σαθρὰν καὶ ὑποδεξάμενος ξένους, τῇ τοῦ οἰκήματος πτώσει καὶ ἑαυτῷ κἀκείνοις τὴν ἀπώλειαν προεξένησεν, οὕτω καὶ ὁ μὴ ἑαυτὸν πρότερον ἀσφαλῶς οἰκοδομήσας καὶ διδάσκειν ἐπιχειρῶν, καὶ ἑαυτὸν καὶ τοὺς προσελθόντας κινδύνῳ χαλεπῷ περιέβαλε.

2. Τοῖς μὲν λόγοις, εἰς σωτηρίαν τούτους προσεκαλέσατο· τῷ δὲ ἔργῳ, ἀπώλειαν αὐτοῖς ἐμνηστεύσατο· ἡ μὲν γὰρ ψιλὴ τῶν λόγων ἔκθεσις, ἔοικε γραφαῖς διὰ χρωμάτων εὐαποπτύστων συστάσαις.

3. Ἅς τινας καὶ ὁ βραχύτατος χρόνος διέλυσε, καὶ ἀνέμων ῥιπαῖς καὶ ὑετῶν σταγόσι· τὴν δὲ ἔμπρακτον διδασκαλίαν, οὐδ' ὁ πᾶς αἰὼν διαλῦσαι δύναται· τὰ γὰρ στερεὰ τῆς ψυχῆς ἡ πρᾶξις ἐγκολάπτουσα σὺν τῷ λόγῳ, αἰώνιον ἄγαλμα τοῖς πιστοῖς δωρεῖται.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν: Εἶναι πάρα πολὺ ἐπικίνδυνον νὰ ἐπιχειρῇ νὰ διδάσκῃ ἐκεῖνος, ὁ ὁποῖος προηγουμένως, διὰ τοῦ πρακτικοῦ βίου, δὲν ἀνῆλθεν εἰς τὸ ὕψος τῆς τελειότητος. Εἰς τὴν περίπτωσιν αὐτὴν θὰ συμβῇ τὸ ἴδιον μὲ ἐκεῖνον, ποὺ ὑποδέχεται ξένους ἐντὸς ἑτοιμορρόπου οἰκίας· ὅπως δηλαδὴ ὁ ἀπερίσκεπτος αὐτὸς ἄνθρωπος, διὰ τῆς πτώσεως τοῦ ἑτοιμορρόπου οἰκήματος, ἐγένετο

πρόξενος τῆς καταστροφῆς τοῦ ἑαυτοῦ του καὶ ἐκείνων, τοιουτοτρόπως καὶ αὐτὸς ποὺ ἀποτολμᾷ νὰ διδάξῃ ἄλλους, χωρὶς νὰ στερεώσῃ προηγουμένως τὸν ἑαυτόν του, διὰ πνευματικῆς οἰκοδομῆς, θέτει εἰς τρομακτικὸν κίνδυνον καὶ τὸν ἑαυτόν του καὶ τοὺς προσελθόντας.

2. Οὗτος, διὰ μὲν τῶν λόγων τῆς διδασκαλίας, προσεκάλεσε τοὺς ἀκροατάς του εἰς σωτηρίαν, ἐνῷ, μὲ τὴν ἀπροσεξίαν καὶ τὰ ἔργα του, τοὺς παραδειγματίζει κακῶς, ὥστε νὰ τοὺς προετοιμάζῃ διὰ τὴν ἀπώλειαν τῆς ψυχῆς των. Ἡ ξηρὰ διδασκαλία, ποὺ δὲν συνοδεύεται ἀπὸ τὰ ἔργα τοῦ διδάσκοντος, ὁμοιάζει μὲ εἰκόνας, ποὺ ἔχουν ζωγραφηθῆ μὲ εὐκολόσβυστα χρώματα.

3. Τὰς εἰκόνας αὐτὰς διέλυσεν ἐλάχιστον χρονικὸν διάστημα, μὲ τὰς πνοὰς τῶν ἀνέμων καὶ τὰς σταγόνας τῶν βροχῶν· ἐνῷ τὴν διδασκαλίαν, τὴν ὁποίαν συνοδεύει ἡ ἔμπρακτος καὶ ταπεινόφρων ἐφαρμογὴ τῶν διδασκομένων, οὐδ' ὁλόκληρος ἡ αἰωνιότης δύναται νὰ ἐκμηδενίσῃ. Διότι ἡ πρᾶξις τῆς ἀρετῆς μαζὶ μὲ τὸν λόγον, δηλαδὴ τὴν διδασκαλίαν, σφυρηλατεῖ τὰ στερεὰ κατορθώματα τῆς ψυχῆς καὶ οὕτω χαρίζει εἰς τοὺς πιστοὺς αἰώνιον πρότυπον ἀρετῆς καὶ καλωσύνης.

Γ'. Ἐν τῷ Γεροντικῷ.

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ποιμήν, ὅτι τὸ διδάξαι τὸν πλησίον ὑγιαίνοντός ἐστι καὶ ἀπαθοῦς· ἐπεὶ τίς χρεία οἰκοδομῆσαί τινα ἄλλου οἰκίαν, καὶ τὴν ἰδίαν καταστρέψαι;

2. Εἶπε πάλιν· ἄνθρωπος διδάσκων, καὶ μὴ ποιῶν ἃ διδάσκει, ἔοικε πηγῇ, ἥτις πάντας ποτίζει καὶ πλύνει, ἑαυτὴν δὲ οὐ δύναται καθαρίσαι, ἀλλὰ πᾶσα ῥυπαρία καὶ ἀκαθαρσία παρ' αὐτῇ ἐστιν.

3. Ἀπῆλθέ ποτε ὁ Ἀββᾶς Σερῖνος πρὸς τὸν Ἀββᾶν Ποιμένα μετὰ τοῦ μαθητοῦ αὐτοῦ Ἰσαάκ· καὶ λέγει αὐτῷ· τί ποιήσω τῷ Ἰσαὰκ τούτῳ; ὅτι ἡδέως ἀκούει μου τοῦ λόγου. Ἀπεκρίθη αὐτῷ ὁ Ἀββᾶς Ποιμήν· ἐὰν θέλῃς ὠφελῆσαι αὐτόν, ἔργῳ δεῖξον αὐτῷ τὴν ἀρετήν· ἐπεὶ ὁ τῷ λόγῳ προσέχων, ἀργὸς μένει· ἐὰν δὲ ἔργῳ δείξῃς αὐτῷ, τοῦτο παραμενεῖ αὐτῷ.

4. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· σοφὸς ἀληθῶς ἐστιν οὐχ ὁ τῷ λόγῳ διδάσκων, ἀλλ' ὁ τῷ ἔργῳ παιδεύων.

5. Εἶπε Γέρων, ὅτι ἡ ψυχή, ἐὰν λόγον ἔχῃ, ἔργον δὲ οὐκ ἔχῃ, ἔοικε δένδρῳ ἔχοντι φύλλα, καρπὸν δὲ οὔ· ὥσπερ γὰρ δένδρον πλῆρες καρποῦ εὐθαλῆ αὐτοῦ ἐστι καὶ τὰ φύλλα, οὕτως ἁρμόζει λόγος ψυχῇ, ἐχούσῃ ἀγαθὴν ἐργασίαν.

6. Εἶπε Γέρων· ἐὰν ἴδῃς τινὰ ἐμπεσόντα, καὶ δύνασαι αὐτῷ βοηθῆσαι, χάλασον αὐτῷ τὴν ῥάβδον σου, καὶ ἕλκυσον αὐτόν· εἰ δὲ οὐ δυνηθῇς ἑλκύσαι αὐτόν, κατάλιπε αὐτῷ τὴν ῥάβδον σου, ἵνα μὴ σὺν αὐτῷ καὶ σὺ ἀπόλλῃ.

7. Εἰ δὲ δώσεις αὐτῷ τὴν χεῖρά σου, καὶ μὴ δυνηθῇς ἑλκύσαι αὐτόν, ἕλξει σε αὐτὸς κάτω, καὶ ἀμφότεροι ἀποθανεῖσθε. Τοῦτο δὲ ἔλεγε πρὸς τοὺς ἐμβάλλοντας ἑαυτοὺς βοηθῆσαι τινὶ ὑπὲρ τὸ μέτρον αὐτῶν.

8. Εἶπε Γέρων· οὐδὲν πτωχότερον διανοίας, ἐκτὸς τοῦ Θεοῦ φιλοσοφοῦ-

σης τὰ τοῦ Θεοῦ. Ὀφείλει γὰρ ὁ διδάσκων εἴτε ἐν Ἐκκλησίᾳ εἴτε ἐν κελλίῳ, ἵνα αὐτὸς ποιήσῃ πρῶτον ἃ λέγει καὶ διδάσκει· «τὸν κοπιῶντα», γάρ φησι, «γεωργόν, δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν».

9. Εἶπε Γέρων ἑτέρῳ Γέροντι ἔχοντι ἀγάπην, καὶ συμβαλλομένῳ Μοναχοῖς καὶ κοσμικοῖς, ὅτι ὁ λύχνος πολλοὺς φαίνει, τὸ δὲ ἑαυτοῦ στόμα καίει.

10. Εἶπεν ὁ Ἀββᾶς Ὀρσίσιος· πλίνθος ὠμὴ βαλλομένη εἰς θεμέλιον ἐγγὺς ποταμοῦ, οὐχ ὑπομένει μίαν ἡμέραν· ὀπτὴ δέ, ὡς λίθος διαμένει. Οὕτω καὶ ὁ ἄνθρωπος ὁ σαρκικὸν φρόνημα ἔχων ἔτι, καὶ μὴ πυρωθεὶς κατὰ τὸν Ἰωσὴφ τῷ φόβῳ τοῦ Θεοῦ, λύεται προσελθὼν εἰς ἀρχήν.

11. Πολλοὶ γὰρ τῶν τοιούτων οἱ πειρασμοὶ ἐν μέσῳ ἀνθρώπων ὄντων· καλὸν δέ τινα εἰδότα τὰ ἴδια μέτρα, ἀποφεύγειν τὸ βάρος τῆς ἀρχῆς· οἱ δὲ ἑδραῖοι τῇ πίστει, καὶ ἀμετακίνητοί εἰσι.

12. Περὶ αὐτοῦ γὰρ τοῦ Ἁγίου Ἰωσήφ, εἰ σκοπεῖ τις, εὑρήσει ὅτι οὐκ ἐπίγειος ἦν· πόσα γὰρ ἐπειράσθη; Καὶ ἐν ποίᾳ χώρᾳ; Καὶ οὐκ ἐξέστη τῆς ἀρετῆς. Καὶ ἡμεῖς οὖν, ἐπιγνόντες τὰ ἑαυτῶν μέτρα, ἀγωνισώμεθα ἐκφυγεῖν τὴν κρίσιν τοῦ Θεοῦ.

13. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἄνθρωπος, ἐὰν τὴν τάξιν αὐτοῦ φυλάξῃ, οὐ ταράσσεται.

14. Εἶπε πάλιν· ὁ ἑωρακὼς ἄνθρωπος καὶ οὐκ ἐφύλαξε, πῶς τὸν πλησίον δύναται διδάξαι;

15. Ἀδελφὸς ἠρώτησεν αὐτὸν λέγων· ἀδελφοὶ οἰκοῦσι μετ' ἐμοῦ· θέλεις κελεύσω αὐτοῖς; Ἀπεκρίθη ὁ Γέρων· οὐχί· ἀλλὰ ποίησον πρῶτον τὸ ἔργον, καὶ ἐὰν θέλωσι ζῆν, ἑαυτοῖς βλέπουσι. Καὶ λέγει ὁ ἀδελφός· θέλουσιν αὐτοί, Πάτερ, ἵνα κελεύσω αὐτοῖς. Καί φησιν ὁ Γέρων· ἀλλὰ γενοῦ αὐτοῖς τύπος καὶ μὴ νομοθεσία.

16. Ἀδελφὸς ἠρώτησε Γέροντα· ἐὰν ἀδελφὸς εἰσάξῃ λόγους ἔξωθεν πρός με, θέλεις, Ἀββᾶ, ἵνα εἴπω αὐτῷ μή μοι φέρῃ αὐτούς; Ἔφη αὐτῷ ὁ Γέρων· μηδαμῶς. Λέγει ὁ ἀδελφός· διατί; Καὶ εἶπεν ὁ Γέρων· καθότι οὐδὲ ἡμεῖς ἠδυνήθημεν τοῦτο φυλάξαι, μήποτε λέγοντες τῷ πλησίον μὴ ποιεῖν τοῦτο, εὑρεθῶμεν ἡμεῖς μετὰ ταῦτα ποιοῦντες αὐτό. Ἔφη ὁ ἀδελφός· τί οὖν δεῖ ποιεῖν; Ἔφη ὁ Γέρων· ἐὰν θέλωμεν σιωπᾶν, ὁ τρόπος ἀρκεῖ τῷ πλησίον.

17. Ἠρώτησεν ὁ Ἀββᾶς Πέτρος τὸν Ἀββᾶν Ἡσαΐαν· τί ἐστι δοῦλος Θεοῦ; Καὶ ἀπεκρίθη ὁ Γέρων· ὅτι ἐν ὅσῳ δουλεύει τις οἱῳδήποτε πάθει, οὔπω ἐλογίσθη εἰς δοῦλον Θεοῦ, ἀλλὰ δοῦλός ἐστιν ἐκείνου, ὑφ' οὗ κατακυριεύεται· ἐν ὅσῳ γὰρ αὐτός ἐστιν ἐν κατοχῇ, τὸν ὑπὸ τοῦ αὐτοῦ πάθους κατακυριευόμενον διδάσκειν οὐ δύναται. Αἰσχύνη γὰρ αὐτῷ ἐστι διδάξαι, πρὸ τοῦ ἐλευθερωθῆναι αὐτὸν ὑπ' ἐκείνου, ἢ αἰτήσασθαι τὸν Θεὸν περὶ τούτου ὑπὲρ τοῦ πλησίον, αὐτὸς ἔτι ἐν τούτῳ κατεχόμενος.

18. Εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας· πόθεν οἶδα ἐγὼ ὅτι προσεδέχθην παρὰ τῷ Θεῷ, ἵνα εἴπω ἄλλῳ, ποίησον τοῦτο ἢ ἐκεῖνο, αὐτὸς ἐγὼ ὑπὸ μετάνοιαν ὢν διὰ τὰς ἁμαρτίας μου; Ὁ γάρ ποτε πεσὼν ἄνθρωπος, ὑπὸ μετάνοιάν ἐστι, καὶ οὐκ ἔχει τὸ ἀσφαλές, ἐφ' ὅσον οὐκ οἶδεν εἰ γέγονεν αὐτῷ συγχώρησις τῶν ἀνομιῶν· τοῦτο δὲ σημεῖον ἐστιν ἐὰν μηδὲν κινηθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ὧν ἥμαρτεν, ἢ ἄλλου λαλοῦντος αὐτῷ περὶ αὐτῶν. Φόβος γάρ ἐστι, καὶ τρόμος περὶ αὐτῶν, ἕως εἰς τὸ βῆμα τοῦ Θεοῦ ἀπαντήσει.

19. Εἰ δέ τις αἰτήσει σε δεῖξαι αὐτῷ τι, καὶ δοὺς τὴν ψυχήν σου εἰς θάνατον, εἴπῃς αὐτῷ τὴν ἐλευθερίαν, καὶ ἐπιστρέψει πρός σε πάλιν τὰ αὐτὰ λέγων, εἰς οὐδὲν προκόψας ἐξ ὧν εἶπας αὐτῷ, ἄρα οὐκ εἰργάσατο αὐτά, ἀπόστα οὖν ἀπ' αὐτοῦ, ἐπεὶ θανατοῖ τὴν ψυχήν σου.

20. Τοῦτο γὰρ μέγα ἐστὶ τῷ ἀνθρώπῳ, ἵνα ἀφῇ τὸ ἴδιον δικαίωμα, ὃ νομίζει κατὰ Θεὸν εἶναι, καὶ φυλάξῃ τὸ ῥῆμα τοῦ κατὰ Θεὸν αὐτὸν διδάσκοντος.

21. Ὁ γὰρ ἄνθρωπος τοῦ Θεοῦ ὁ Ἀββᾶς Νισθερῶ, ἰδὼν τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἔχων τοὺς υἱοὺς τῆς ἀδελφῆς αὐτοῦ συνοικοῦντας αὐτῷ, εἰς οὐδὲν αὐτοῖς διετάξατο, ἀλλ' εἴασεν ἕκαστον ἐν τῷ ἰδίῳ θελήματι, εἴτε καλοὶ ἐγένοντο, εἴτε κακοί, μὴ μεριμνῶν περὶ αὐτῶν.

22. Ἔλεγον περὶ τοῦ Κάϊν καὶ Ἄβελ, ὅτι μήπω νόμου ὄντος μήτε Γραφῆς, τίς ἐδίδαξεν αὐτοὺς τοῦτο ἢ ἐκεῖνο ποιῆσαι; Διότι εἰ μὴ ὁ Θεὸς διδάξει τὸν ἄνθρωπον, εἰς μάτην κοπιᾷ.

23. Εἶπε πάλιν· τὸ διδάξαι τὸν πλησίον, ἔκπτωσίς ἐστι ψυχῆς· καὶ τὸ θέλειν αὐτὸν ἀναγαγεῖν ἐν καλῇ φύσει, μέγα σύντριμμά ἐστι τῆς ψυχῆς· ἐν ὅσῳ γὰρ διδάσκεις τὸν πλησίον, ὅτι ποίησον τοῦτο ἢ ἐκεῖνο, κατανόησον σαυτὸν καὶ νόμισον ὅτι σκαλίδην κατέχεις καταστρέφων τὸν οἶκόν σου, θέλων τὸν οἶκον ἐκείνου οἰκοδομῆσαι.

24. Ὁ ἀφεὶς τὰς ἁμαρτίας ἑαυτοῦ, κἂν μεριμνῶν τοῦ διορθώσασθαι ἄλλον, ἀργός ἐστιν ἀπὸ τῆς ἐξ ὅλης καρδίας δεήσεως, καὶ τῆς ἐν γνώσει πρὸς τὸν Θεὸν παρακλήσεως.

25. Εἶπε πάλιν περὶ τοῦ διδάξαι, ὅτι φόβος ἐστὶ μὴ παραπεσεῖν εἰς ὃ διδάσκεις· ἐν ὅσῳ γὰρ πίπτεις εἰς αὐτό, οὐ δύνασαι διδάξαι.

26. Εἶπε πάλιν· οὐαὶ ἡμῖν ὅτι ἐγκλημάτων πλήρεις ὄντες, τοὺς πολλῷ μᾶλλον διαφέροντας ἡμῶν νουθετοῦμεν καὶ διδάσκομεν, καὶ τὴν δοκὸν ἔχοντες ἐν τῷ ὀφθαλμῷ, περὶ τῶν λεπτοτάτων σφαλμάτων τοῖς ἀδελφοῖς ἡμῶν ὡς ἀμώμητοι ἐγκαλοῦμεν καὶ ὀργιζόμεθα καὶ δεσμοῦμεν ἑτέροις «φορτία βαρέα, καὶ δυσβάστακτα», αὐτοὶ δέ, ὡς ἀσθενέστεροι, δῆθεν, τῷ σώματι, προσψαῦσαι αὐτοῖς παραιτούμεθα.

27. Οὐαὶ ἡμῖν, ὅτι ἐργασίας μοναδικῆς ἀπολειπόμενοι, διδάσκειν ἑτέρους τὴν πρακτικὴν ἀρετὴν προπετευόμεθα· οὐαὶ τῷ πονοῦντι ἑτέροις, ἐπὰν τῶν ἰδίων πόνων ἑαυτὸν ἀποστερῇ· οὐαὶ ἡμῖν, ὅτι τὰ δίκαια ὁρίζομεν καὶ κρίνομεν καὶ διδάσκομεν, τῆς δὲ ἐργασίας τοῦ ἀγαθοῦ πόρρω ἀφεστήκαμεν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ποιμὴν εἶπε: Τὸ νὰ διδάξῃ κανεὶς τὸν πλησίον εἶναι ἔργον ὑγιαίνοντος καὶ ἀπαθοῦς ἀνθρώπου· διότι ποία ἀνάγκη ὑπάρχει νὰ οἰκοδομήσῃ κανεὶς κατοικίαν ἄλλου καὶ νὰ καταστρέψῃ τὴν ἰδικήν του;

2. Ὁ ἴδιος πάλιν εἶπεν: ὁ ἄνθρωπος, ὁ ὁποῖος διδάσκει τοὺς ἄλλους καὶ δὲν ἐφαρμόζει εἰς τὸν ἑαυτόν του αὐτὰ ποὺ διδάσκει, ὁμοιάζει μὲ πηγήν, ἡ ὁποία, ἐνῷ ποτίζει καὶ καθαρίζει ὅλους τοὺς ἄλλους, δὲν δύναται ἡ ἰδία νὰ καθαρισθῇ, ἀλλὰ κάθε ῥυπαρότης καὶ ἀκαθαρσία ἔχουν συγκεντρωθῆ εἰς αὐτήν.

3. Κάποτε ὁ Ἀββᾶς Σερῖνος ἐπεσκέφθη τὸν Ἀββᾶν Ποιμένα μαζὶ μὲ τὸν ὑποτακτικόν του τὸν Ἰσαὰκ καὶ τοῦ λέγει: Τί νὰ κάμω, Ἀββᾶ μου, εἰς αὐτὸν τὸν ὑποτακτικόν μου, τὸν Ἰσαάκ, ὁ ὁποῖος εὐχαρίστως ἀκούει τὴν διδασκαλίαν μου; Ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἀπήντησεν: Ἐὰν θέλῃς νὰ τὸν ὠφελήσῃς, νὰ τοῦ ὑποδείξῃς ἐμπράκτως, διὰ τοῦ παραδείγματός σου, τὴν ἀρετήν, διότι αὐτὸς ποὺ προσέχει μόνον εἰς τοὺς λόγους καὶ τὰς ὁμιλίας τοῦ ἄλλου, παραμένει ἀργὸς εἰς τὴν ἐξάσκησιν τῆς ἀρετῆς· ὅτι ὅμως, τοῦ ὑποδείξῃς ἐμπράκτως μὲ τὸ παράδειγμά σου, αὐτὸ θὰ παραμείνῃ μονίμως εἰς τὴν συνείδησίν του, καὶ θὰ τὸν παρακινῇ εἰς ἐφαρμογήν.

4. Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν: σοφὸς πράγματι εἶναι ἐκεῖνος, ποὺ διδάσκει ὄχι μὲ ὡραίους λόγους, ἀλλὰ μὲ τὰ ἔργα του.

5. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν: ἐὰν ἡ ψυχὴ ἔχῃ τὴν ἱκανότητα νὰ ὁμιλῇ μὲ ὡραίους καὶ κομψοὺς λόγους, δὲν ἔχει ὅμως νὰ ἐπιδείξῃ ἔργα, ὁμοιάζει μὲ δένδρον, ποὺ ἔχει πολλὰ πράσινα φύλλα, δὲν δίδει ὅμως καρπόν. Ὅπως δὲ ἀκριβῶς ἕνα δένδρον, ποὺ εἶναι γεμᾶτον καρπούς, ἔχει καὶ φύλλα καταπράσινα, τοιουτοτρόπως καὶ εἰς τὴν ψυχήν, ποὺ ἐργάζεται τὸ ἀγαθόν, ταιριάζει καὶ ἡ διδασκαλία.

6. Ἕνας Γέρων εἶπεν: ἐὰν ἰδῇς κάποιον ποὺ ἔπεσεν (εἰς περιοχὴν βαλτώδη ἢ τελματώδη) καὶ ἠμπορῇς νὰ τὸν βοηθήσῃς, πρόσφερέ του τὸ ραβδί σου καὶ τράβηξέ τον· ἐὰν ὅμως δὲν ἠμπορῇς νὰ τὸν τραβήξῃς, ἄφησέ του τὸ ραβδί σου, διὰ νὰ μὴ χαθῇς καὶ σὺ μαζὶ μὲ αὐτόν.

7. Ἐὰν δὲ ἐπιχειρήσῃς νὰ τοῦ δώσῃς τὴν χεῖρα σου καὶ δὲν ἠμπορέσῃς νὰ τὸν τραβήξῃς, εἶναι κίνδυνος νὰ σὲ παρασύρῃ αὐτὸς πρὸς τὰ κάτω καὶ νὰ ἀποθάνετε καὶ οἱ δύο. Αὐτὸ τὸ ἔλεγε δι' ἐκείνους, ποὺ ἐπιζητοῦν νὰ βοηθήσουν ἄλλους περισσότερον ἀπὸ τὸ μέτρον τῶν ἰδικῶν των δυνάμεων.

8. Ἕνας ἄλλος Γέρων ἔλεγε: δὲν ὑπάρχει πτωχοτέρα διάνοια ἀπὸ ἐκείνην ποὺ ἐπιχειρεῖ νὰ φιλοσοφήσῃ τὰ τοῦ Θεοῦ, χωρὶς νὰ ἐπισκιάζεται ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ. Ἔχει ὑποχρέωσιν αὐτὸς ποὺ διδάσκει, εἴτε εἰς τὴν Ἐκκλησίαν, εἴτε εἰς τὸ κελλίον του, νὰ ἐφαρμόσῃ πρῶτος αὐτά, ποὺ διδάσκει. Διότι, ὅπως λέγει καὶ ἡ Καινὴ Διαθήκη, «ὁ γεωργὸς ποὺ κοπιάζει, πρέπει πρῶτος νὰ γεύεται τοὺς καρποὺς του» (Β' Τιμ. β' 6).

9. Ἕνας Γέρων εἶπε κάποτε δι' ἄλλον Γέροντα, ποὺ ἔτρεφε πρὸς ὅλους ἀγάπην καὶ ἐπεσκέπτετο Μοναχοὺς καὶ κοσμικούς: Ὁ λύχνος πολλοὺς φωτίζει, καίει ὅμως τὸ στόμα του.

10. Ὁ Ἀββᾶς Ὀρσίσιος εἶπε: πλίνθος ὠμή, ὅταν τοποθετηθῇ εἰς θεμέλιον πλησίον ποταμοῦ, δὲν ἀντέχει εἰς τὴν ὑγρασίαν οὔτε μίαν ἡμέραν· ὅταν ὅμως ψηθῇ καλὰ μέσα εἰς τὸ καμίνι, τότε ἀντέχει ὡς πέτρα. Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν ἄνθρωπον, ποὺ ἔχει ἀκόμη τὸ σαρκικὸν φρόνημα, καὶ δὲν ἔχει, ὅπως ὁ Ἰωσήφ, πυρωθῇ (Ψαλμ. ρδ' 17—19) ἀπὸ τὸν φόβον τοῦ Θεοῦ· ὁ ἄνθρωπος αὐτός, ὅταν ἀναλάβῃ ἀξίωμα καὶ ἀνέλθῃ εἰς ἀρχήν, διαλύεται καὶ καταστρέφεται, κατὰ τὴν πνευματικήν του οἰκοδομήν.

11. Οἱ τοιοῦτοι ἄνθρωποι ἀντιμετωπίζουν πολλοὺς πειρασμοὺς εὑρισκόμενοι μεταξὺ τῶν ἀνθρώπων. Ὁ ἄνθρωπος, ποὺ γνωρίζει καλῶς τὰς ἱκανότητάς του, εἶναι ὀρθὸν νὰ ἀποφεύγῃ νὰ ἀναλαμβάνῃ ἀξιώματα. Ἐκεῖνοι, ποὺ εἶναι καλὰ στερεωμένοι εἰς τὴν πίστιν, δὲν ἔχουν φόβον νὰ μετακινηθοῦν.

12. Ἐὰν κανεὶς ἐξετάσῃ ἐπακριβῶς τὴν πολιτείαν τοῦ παγκάλου Ἰωσήφ, θὰ διαπιστώσῃ, ὅτι δὲν ἦτο ἐπίγειος. Διότι, σκεφθῆτε πόσους πειρασμοὺς ὑπέμεινε; Καὶ εἰς ποίαν χώραν εὑρισκόμενος; Καὶ ὅμως, παρ' ὅλα ταῦτα, δὲν παρεστράτησεν ἀπὸ τὸν δρόμον τῆς ἀρετῆς. Καὶ ἡμεῖς λοιπόν, γνωρίζοντες καλῶς τὰ μέτρα τῆς ἱκανότητός μας, ἃς ἀγωνισθῶμεν ἐναντίον τοῦ κακοῦ, διὰ νὰ ξεφύγωμεν ἀπὸ τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ.

13. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν: ἐὰν ὁ ἄνθρωπος φυλάξῃ τὴν τάξιν του, δὲν θὰ ταραχθῇ ποτέ.

14. Ὁ ἴδιος πάλιν Ἀββᾶς εἶπεν: Ὁ ἄνθρωπος ποὺ γνωρίζει, καὶ δὲν φυλάττει τὴν τάξιν καὶ τὴν ἀκρίβειαν, πῶς τότε δύναται νὰ διδάξῃ τὸν πλησίον του;

15. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα: Μαζί μου συγκατοικοῦν ἄλλοι ἀδελφοί· θέλεις νὰ τοὺς διευθύνω; Ὁ Γέρων ἀπήντησεν: Ὄχι· ἀλλὰ νὰ κάμῃς πρῶτα σὺ τὸ ἐπιβαλλόμενον πνευματικὸν ἔργον, καὶ ἐὰν αὐτοὶ ἐπιθυμοῦν ἀνωτέραν πνευματικὴν ζωήν, βλέπουν τὸ παράδειγμά σου καὶ πράττουν καὶ ἐκεῖνοι. Ὁ ἀδελφὸς ἠρώτησεν ἐκ δευτέρου τὸν Ἀββᾶν Ποιμένα: Αὐτοί, Πάτερ μου, θέλουν νὰ τοὺς διευθύνω. Τότε εἶπε πάλιν ὁ Ἀββᾶς Ποιμήν: Τοὐλάχιστον προσπάθησε νὰ γίνῃς εἰς αὐτοὺς τύπος καὶ ὑπόδειγμα ἀρετῆς καὶ πνευματικῆς ἐργασίας, καὶ ὄχι νομοθέτης.

16. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:—Ἐάν, Ἀββᾶ, ἕνας ἀδελφός μοῦ μεταφέρῃ συζητήσεις καὶ λόγους, ποὺ ἐγένοντο ἔξω ἀπὸ τὸ κελλί, θέλεις νὰ τοῦ εἰπῶ: σταμάτησε, μὴ μοῦ μεταφέρῃς συζητήσεις ἀπ' ἔξω;

—Καθόλου—ἀπήντησεν ὁ Γέρων.


Ο ΟϹΙΟϹ ΑΒΒΑϹ ΟΡϹΙϹΙΟϹ

—Διατί;—ἠρώτησεν ὁ ἀδελφός.

—Διότι—εἶπεν ὁ Γέρων—οὔτε ἡμεῖς ἠμπορέσαμεν νὰ κρατήσωμεν τοιαύτην ἀκρίβειαν ἐπ' αὐτοῦ. Ὑπάρχει λοιπὸν φόβος, λέγοντες εἰς τὸν πλησίον μας νὰ μὴ κάμῃ αὐτὸ τὸ πρᾶγμα, νὰ φθάσωμεν μετὰ ταῦτα ἡμεῖς εἰς τὸ σημεῖον νὰ τὸ κάμωμεν.

—Τί πρέπει λοιπὸν νὰ κάμω;—ἠρώτησε πάλιν ὁ ἀδελφός.

—Ἐὰν θελήσωμεν νὰ σιωπήσωμεν—ἀπήντησεν ὁ Γέρων—αὐτὸς ὁ τρόπος εἶναι ἀρκετὸς εἰς τὸν πλησίον, διὰ νὰ ἀντιληφθῇ τὸ ὀρθόν

17. Ὁ Ἀββᾶς Πέτρος ἠρώτησε τὸν Ἀββᾶν Ἡσαΐαν:

—Τί εἶναι δοῦλος Θεοῦ;

Καὶ ὁ Ἀββᾶς Ἡσαΐας ἀπήντησεν:

—Ἐφ' ὅσον ἕνας ἄνθρωπος δουλεύει εἰς ὁποιοδήποτε πάθος, δὲν θεωρεῖται ἀκόμη δοῦλος Θεοῦ, ἀλλ' ἐξακολουθεῖ νὰ εἶναι δοῦλος τοῦ πάθους ἐκείνου, ἀπὸ τὸ ὁποῖον κατακυριεύεται. Ἐν ὅσῳ λοιπὸν εὑρίσκεται ὑπὸ τὴν κυριαρχίαν τοῦ πάθους, δὲν δύναται νὰ διδάξῃ ἄλλον ποὺ κατέχεται ἀπὸ τὸ ἴδιον πάθος· διότι εἶναι ἐντροπὴ εἰς αὐτὸν νὰ διδάσκῃ, πρὶν νὰ ἐλευθερωθῇ ἀπὸ τὸ πάθος, ἐναντίον τοῦ ὁποίου διδάσκει, ἢ ἀκόμη καὶ νὰ παρακαλέσῃ τὸν Θεὸν διὰ τὴν ἀπαλλαγὴν τοῦ πλησίον ἀπὸ τὸ πάθος αὐτό, ἐφ' ὅσον ὁ ἴδιος ἐξακολουθεῖ ἀκόμη νὰ κατέχεται ὑπ' αὐτοῦ.

18. Ὁ Ἀββᾶς Ἡσαΐας ἔλεγεν: «Ἀπὸ ποῦ γνωρίζω ἐγώ, ὅτι μὲ ἐδέχθη ὁ Θεός, διὰ νὰ εἴπω εἰς τὸν ἄλλον, κάμε αὐτὸ ἢ ἐκεῖνο; Πῶς νὰ διατάξω ἄλλον, ἐνῷ ἐγὼ ἀκόμη διατελῶ ὑπὸ μετάνοιαν, διὰ τὰς ἁμαρτίας μου; Διότι ἐκεῖνος ποὺ ἔπεσε κάποτε εἰς ἁμαρτίαν, ἐξακολουθεῖ νὰ εἶναι ὑπὸ μετάνοιαν καὶ δὲν δύναται νὰ εἶναι ἀσφαλής, ἐφ' ὅσον δὲν ἐγνώρισεν, ἐὰν τοῦ ἐγένετο συγχώρησις τῶν ἁμαρτιῶν του. Σημεῖον δέ, ὅτι συνεχωρήθη ὑπὸ τοῦ Θεοῦ διὰ τὰς ἀνομίας του, εἶναι αὐτό· ἐφ' ὅσον δὲν κινηθῇ εἰς τὴν καρδίαν αὐτοῦ κανένα πάθος, ἀπὸ ἐκεῖνα ποὺ τὸν ἔκαμαν νὰ ἁμαρτήσῃ καὶ ὅταν ἀκόμη ἄλλος ὁμιλῇ εἰς αὐτὸν περὶ τῶν παθῶν αὐτῶν. Ἀπὸ τὰ πάθη αὐτὰ ὑπάρχει φόβος καὶ τρόμος μέχρι νὰ παρουσιασθῇ ἡ ψυχὴ εἰς τὸ βῆμα τοῦ Θεοῦ.

19. Ἐὰν κάποιος ζητήσῃ ἀπὸ σὲ νὰ τοῦ ὑποδείξῃς κάτι, καὶ σὺ ἐκθέσῃς τὴν ψυχήν σου εἰς κίνδυνον θανάτου καὶ τοῦ ὑποδείξῃς τὴν ἐλευθερίαν (ἀπὸ τὰ πάθη), καὶ γυρίσῃ πάλιν αὐτὸς καὶ σοῦ λέγει τὰ ἴδια, χωρὶς νὰ ἔχῃ προκόψει καθόλου εἰς ὅ,τι τοῦ ὑπέδειξες, εἶναι φανερόν, ὅτι τίποτε δὲν ἔκαμεν ἀπὸ ὅσα τοῦ εἶπες. Καὶ σὺ λοιπὸν νὰ ἀπομακρυνθῇς ἀπὸ αὐτόν, διότι αὐταὶ αἱ ἄκαρποι καὶ στεῖραι συνομιλίαι καὶ συζητήσεις θανατώνουν τὴν ψυχήν σου.

20. Εἶναι μεγάλο κατόρθωμα διὰ τὸν ἄνθρωπον νὰ θυσιάσῃ ἢ νὰ ἐγκαταλείψῃ τὸ δικαίωμά του, τὸ ὁποῖον ὁ ἴδιος θεωρεῖ, ὅτι εἶναι κατὰ Θεόν, καὶ νὰ ἐφαρμόσῃ τὴν συμβουλὴν ἐκείνου, ποὺ τὸν διδάσκει κατὰ Θεόν.

21. Ὁ ἄνθρωπος τοῦ Θεοῦ Ἀββᾶς Νισθερώ, ποὺ εἶδε τὴν δόξαν τοῦ Θεοῦ, συγκατοικῶν μὲ τοὺς υἱοὺς τῆς ἀδελφῆς του, τοὺς ἀνεψιούς του, εἰς τίποτε δὲν τοὺς διέταξεν, ἀλλ' ἄφησε τὸν καθένα νὰ πορεύεται κατὰ τὸ θέλημά του, εἴτε καλοὶ ἐγένοντο, εἴτε κακοί, χωρὶς νὰ μεριμνᾷ δι' αὐτούς(1).

22. Ἔλεγον διὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ὅτι ἀφοῦ κατὰ τὴν ἐποχήν των δὲν ὑπῆρχεν ἀκόμη οὔτε ὁ Νόμος, οὔτε ἡ Ἁγία Γραφή, ποῖος ἐδίδαξεν αὐτοὺς νὰ κάμουν τοῦτο ἢ ἐκεῖνο; Ἐὰν ὁ Θεὸς δὲν διδάξῃ τὸν ἄνθρωπον αὐτὸ τὸ ὁποῖον πρέπει νὰ κάμῃ, ματαίως ὁ ἄνθρωπος κοπιάζει.

23. Εἶπε πάλιν (ὁ Ἀββᾶς Ἠσαΐας)· τὸ νὰ διδάξῃ κανεὶς τὸν πλησίον, συνιστᾷ κίνδυνον ἐκτροπῆς τῆς ψυχῆς (ἀπὸ τὸ κύριον ἔργον τῆς ἐσωτερικῆς οἰκοδομῆς) καὶ ἐκπτώσεως αὐτῆς· μὲ τὸ νὰ θέλῃ δὲ κανεὶς νὰ ἐπαναφέρῃ τὸν πλησίον εἰς τὴν κατάστασιν τῆς καλῆς φύσεως ἐκθέτει τὴν ψυχήν του εἰς τὸν τρομακτικὸν κίνδυνον τῆς συντριβῆς καὶ ἀπωλείας. Διότι κατὰ τὸ διάστημα ποὺ διδάσκεις τὸν πλησίον, λέγων εἰς αὐτὸν κάμε αὐτὸ τὸ πρᾶγμα ἢ τὸ ἄλλο, πρέπει νὰ σκεφθῇς καλὰ τὶ κάμνεις καὶ νὰ ἔχῃς ὑπ' ὄψιν σου, ὅτι, θέλων νὰ οἰκοδομήσῃς τὸν οἶκον τοῦ πλησίον, κρατᾷς ἀξίνην καὶ καταστρέφεις τὸν οἶκον τῆς ψυχῆς σου.

24. Ἐκεῖνος ποὺ ἀδιαφορεῖ διὰ τὰς ἁμαρτίας του, καὶ ἐὰν ἀκόμη φροντίζῃ νὰ διορθώσῃ τὸν ἄλλον, παραμένει ἀργὸς ἀπὸ τοῦ νὰ δέεται μὲ ὅλην του τὴν καρδιὰ καὶ νὰ παρακαλῇ τὸν Θεὸν (ἔχων ἐπίγνωσιν τῆς ἀθλιότητος καὶ ἀδυναμίας του).

25. Εἶπε πάλιν ὁ ἴδιος περὶ τοῦ θέματος τῆς διδασκαλίας τῶν ἄλλων· ὑπάρχει φόβος διὰ σὲ τὸν διδάσκοντα νὰ περιπέσῃς εἰς ἐκεῖνο, ποὺ διδάσκεις τοὺς ἄλλους νὰ ἀποφεύγουν· ἐὰν ὅμως περιπίπτῃς εἰς αὐτὸ τὸ σφάλμα, δὲν δύνασαι νὰ διδάσκῃς τοὺς ἄλλους.

26. Εἶπε πάλιν: Ἀλλοίμονον εἰς ἡμᾶς· διότι ἐνῷ εἴμεθα γεμᾶτοι ἀπὸ ἐγκλήματα, νουθετοῦμεν καὶ διδάσκομεν αὐτούς, ποὺ διαφέρουν πάρα πολὺ ἀπὸ ἡμᾶς καὶ εἶναι καλύτεροί μας· καὶ ἔχοντες εἰς τὸν ὀφθαλμόν μας μέσα ὁλόκληρον δοκάρι (Ματθ. ζ' 3), κατηγοροῦμεν τοὺς ἀδελφούς μας διὰ μικρότατα σφάλματα καὶ ὀργιζόμεθα ἐναντίον

1) Τὸ πνεῦμα τῆς ὅλης περικοπῆς, ποὺ ἀπολήγει εἰς τὸ παράδειγμα τοῦ Ἀββᾶ Νισθερώ, εἶναι τὸ ἑξῆς: Ὁ ἄνθρωπος κατὰ κύριον λόγον ὀφείλει νὰ ἀσχολεῖται μὲ τὴν ἐσωτερικήν του πνευματικὴν οἰκοδομὴν καὶ νὰ ἀποφεύγῃ νὰ κάμνῃ τὸν διδάσκαλον τοῦ ἄλλου, ἐφ' ὅσον ὁ ἴδιος δὲν ἔφθασεν εἰς τὸ μέτρον τῆς ἀκριβείας τῶν διδασκομένων. Τοῦθ' ὅπερ καὶ ὁ θεῖος Ἰάκωβος συνιστᾷ «Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα» (Ἰακ. γ' 1).

αὐτῶν, ὡς νὰ εἴμεθα τελείως ἄψογοι· «φορτώνομεν τοὺς ἄλλους μὲ βαρέα καὶ δυσβάστακτα φορτία, ἐνῷ ἡμεῖς, ὡς ἀσθενέστεροι τάχα κατὰ τὸ σῶμα, παραιτούμεθα καὶ ἀπὸ τοῦ νὰ ἐγγίσωμεν ἁπλῶς τὰ φορτία αὐτά» (Ματθ. κγ' 4).

27. Ἀλλοίμονον εἰς ἡμᾶς, διότι ἐγκαταλείπομεν τὴν μοναδικὴν ἐργασίαν, καὶ σπεύδομεν μὲ προπέτειαν καὶ αὐθάδειαν νὰ διδάξωμεν τοὺς ἄλλους τὴν πρακτικὴν ἀρετήν, μὲ τὴν ὁποίαν ἔπρεπε νὰ ἐνασχολούμεθα. Ἀλλοίμονον εἰς ἐκεῖνον ποὺ ὑποβάλλει εἰς κόπους τοὺς ἄλλους, ἐνῷ ὁ ἴδιος ἀποφεύγει τοὺς ἐπιβαλλομένους κόπους διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς. Ἀλλοίμονον εἰς ἡμᾶς, οἱ ὁποῖοι στήνομεν δικαστήρια καὶ κρίνομεν καὶ διδάσκομεν τοὺς ἄλλους, ἡμεῖς ὅμως ἔχομεν ἀπομακρυνθῆ πάρα πολὺ ἀπὸ τὴν προσπάθειαν νὰ ἐργασθῶμεν τὸ ἀγαθόν.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου.

Ο ΕΚΤΟΣ ἔργου σοφιζόμενος καὶ λαλῶν λόγον, πλουτεῖ ἐξ ἀδικίας, καὶ οἱ πόνοι αὐτοῦ, κατὰ τὴν Γραφήν, «εἰς οἴκους ἀλλοτρίων» εἰσέρχονται.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ παριστᾷ τὸν σοφὸν καὶ διδάσκει, χωρὶς νὰ ἐργάζεται τὸ ἀγαθόν, πλουτίζει ἀπὸ ἀδικίαν καὶ οἱ κόποι του, κατὰ τὴν Ἁγίαν Γραφήν, εἰσέρχονται «εἰς ξένα σπίτια» (Παροιμ. ε' 10).

Ε'. Τοῦ Ἀββᾶ Ἰσαάκ.

ΜΗ παραδῷς τινι ὅπερ οὔπω κατέλαβες, ἵνα μὴ καταισχυνθῇς καθ' ἑαυτόν, καὶ ἐκ τῆς συγκρίσεως τῆς σῆς διαγωγῆς, ἀποκαλυφθῇ σου τὸ ψεῦδος. Ἐὰν δὲ χρεία ἐστὶν εὔλογος λαλῆσαι, ἐν τάξει μανθάνοντος λάλησον, καὶ μὴ μετὰ αὐθεντίας καὶ ἀναιδείας· καὶ προκατάλαβε κατακρίνων ἑαυτόν, καὶ δεικνύων ὅτι ὑποδεέστερος εἶ ἐκείνου, πρὸς ὃν τὸν λόγον ποιεῖς.

2. Καλόν ἐστι τὸ διδάξαι τοὺς ἀνθρώπους τὸ ἀγαθόν, καὶ ἐπισπάσασθαι αὐτοὺς ἐν τῇ διανομῇ τῆς προνοίας ἐκ τῆς πλάνης εἰς ἐπίγνωσιν ἀληθείας· οὗτος γὰρ ἦν ὁ τοῦ Χριστοῦ καὶ τῶν Ἀποστόλων τρόπος, καὶ ἔστιν ὑψηλὸς πάνυ.

3. Ἐὰν δέ τις αἰσθάνηται ἑαυτοῦ ἐκ τῆς διαγωγῆς ταύτης καὶ τῆς συνεχοῦς κοινωνίας, ὅτι ἀσθενεῖ ἡ συνείδησις αὐτοῦ πρὸς τὴν θεωρίαν τῶν ὄντων, καὶ ταράσσεται ἡ γαλήνη τῆς καρδίας αὐτοῦ, καὶ ἡ γνῶσις σκοτίζεται διὰ τὸ δέεσθαι τὴν διάνοιαν αὐτοῦ φυλακῆς καὶ τῆς τῶν αἰσθήσεων ἀποταγῆς· καὶ ἐν τῷ θέλειν ἄλλους θεραπεύειν τὴν ἰδίαν ὑγείαν ἀπόλλυσι, καὶ ἐξέρχεται ἐκ τῆς ἐλευθερίας τοῦ ἰδίου θελήματος εἰς τὴν ταραχὴν τοῦ νοός, ὁ τοιοῦτος μνημονευσάτω τοῦ Ἀποστόλου.

4. Λέγει γὰρ ὁ Ἀπόστολος· «Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή» ἤτοι τῶν ὑγιαινόντων τὰ αἰσθητήρια καὶ γεγυμνασμένα ἐχόντων, καὶ δυναμένων δέξασθαι πᾶσαν τροφήν· λέγω δὴ τὰς προσβολὰς τῶν αἰσθήσεων καὶ μὴ βλαβῆναι τὴν καρδίαν ἐκ πάντων τῶν συναντημάτων, διὰ τὴν γυμνασίαν τῆς τελειότητος, καὶ εἰς τοὐπίσω στραφήτω, ἵνα μὴ ἀκούσῃ ὡς ἐν ὑποδείγματι· «ἰατρέ, θεράπευσον σεαυτόν».

5. Κατακρινέτω τε ἑαυτόν, καὶ τὴν ἰδίαν ἀξίαν φυλαττέτω, καὶ ἀντὶ τῶν αἰσθητῶν αὐτοῦ λόγων, ἡ ἀγαθὴ αὐτοῦ πολιτεία διακονείτω, καὶ ἡ πρᾶξις αὐτοῦ διδασκέτω· εἰ δὲ καὶ ἔστι μακρὰν τῶν ἀνθρώπων, μᾶλλον δύναται αὐτοὺς εὐεργετῆσαι ἐν τῷ ζήλῳ τῶν ἀγαθῶν ἔργων, εἴπερ ἐν λόγοις, ἄῤῥωστος καὶ αὐτὸς ὢν ἔτι, καὶ χρῄζων ἰατρείας ὁμοίως ἐκείνοις· «τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ» φησὶν «ἀμφότεροι εἰς βόθυνον πεσοῦνται».

Ἑρμηνεία

Μὴ ἐπιχειρήσῃς νὰ διδάξῃς εἰς τὸν ἄλλον κάτι, ποὺ δὲν κατώρθωσες νὰ τὸ κάμῃς κτῆμα σου καὶ νὰ τὸ ἐφαρμόσῃς εἰς τὴν ζωήν, διὰ νὰ μὴ ἐντροπιασθῇς ἀργότερα μόνος σου, ὅταν, ἐκ τῆς συγκρίσεως τῆς διαγωγῆς σου μὲ αὐτὰ ποὺ λέγεις, φανερωθῇ τὸ ψεῦδος σου. Ἂν δὲ παρουσιασθῇ δικαιολογημένη ἀνάγκη νὰ ὁμιλήσῃς, τότε νὰ ὁμιλήσῃς ὡς μαθητής, καὶ ὄχι μὲ ἀναίδειαν, ὡς νὰ εἶσαι ἕνας πολύξερος σοφός. Πρὶν δὲ ἀρχίσῃς νὰ ὁμιλῇς, νὰ κατακρίνῃς προηγουμένως τὸν ἑαυτόν σου· καὶ νὰ δείξῃς, ὅτι θεωρεῖς τὸν ἑαυτόν σου κατώτερον ἐκείνου, πρὸς τὸν ὁποῖον ὁμιλεῖς.

2. Εἶναι καλὸν τὸ νὰ διδάξῃς εἰς τοὺς ἀνθρώπους τὸ ἀγαθόν, καὶ ἀπὸ ἐνδιαφέρον δι' αὐτούς, νὰ τοὺς ἀπομακρύνῃς ἀπὸ τὴν πλάνην, ὁδηγῶν αὐτοὺς πρὸς τὴν ἀλήθειαν. Διότι αὐτὸς ἦτο ὁ τρόπος τὸν ὁποῖον μετεχειρίζοντο ὁ Χριστὸς καὶ οἱ Ἀπόστολοι καὶ εἶναι ἀποτελεσματικώτατος.

3. Ἐὰν ὅμως κανεὶς αἰσθάνεται, ὅτι, ἐκ τῆς συμπεριφορᾶς του αὐτῆς καὶ τῆς συνεχοῦς μετὰ τῶν ἀνθρώπων συναναστροφῆς, ἐξασθενεῖ ἡ συνείδησίς του, καθ' ὅσον ἀφορᾷ τὴν θεωρίαν πνευματικῶν εἰκόνων, ἡ δὲ γαλήνη τῆς καρδίας του ταράσσεται, καὶ ἡ ἐσωτερικὴ γνῶσις συσκοτίζεται, ἐπειδὴ ἡ διάνοιά του ἔχει ἀνάγκην περισυλλογῆς καὶ ἐπαγρυπνήσεως, καὶ ἐν τῇ προσπαθείᾳ νὰ θεραπεύσῃ τοὺς ἄλλους, καταστρέφει τὴν ἰδικήν του ψυχικὴν ὑγείαν, καὶ ἀπὸ τὴν κατάστασιν τῆς ἀπελευθερώσεώς του ἀπὸ τὸ ἴδιον θέλημα μεταπέσῃ εἰς κατάστασιν ταραχῆς τοῦ νοός, ὁ τοιοῦτος ἂς ἐνθυμηθῇ τὸν Ἀπόστολον.

4. Λέγει δηλαδὴ ὁ Ἀπόστολος, ὅτι «ἡ στερεὰ τροφὴ εἶναι διὰ τοὺς τελείους» (Ἑβρ. ε΄ 14), δηλαδὴ δι' αὐτούς, ποὺ ἔχουν γυμνάσει τὰ αἰσθητήρια τῆς ψυχῆς, τὰ διατηροῦν ὑγιῆ καί, ὡς ἐκ τούτου, δύνανται νὰ δεχθοῦν πᾶσαν τροφήν· ἐννοῶ δηλαδὴ τὰς προσβολὰς τῶν αἰσθήσεων ἐκ τῶν διαφόρων ἐρεθισμῶν, ὥστε νὰ μὴ βλαβῇ ἡ καρδία ἀπὸ τὰς διαφόρους συναντήσεις προσώπων καὶ πραγμάτων, καὶ ἐπιστρέψῃ εἰς τὰ ὀπίσω ἀπὸ ἀπόψεως πνευματικῆς προόδου, καὶ τοιουτοτρόπως ἀκούσει, ἐπὶ παραδείγματι, τό· «ἰατρέ, θεράπευσε πρῶτα τὸν ἑαυτόν σου» (Λουκ. δ΄ 23).

5. Ἂς κατακρίνῃ λοιπὸν ὁ καθένας τὸν ἑαυτόν του, ἂς φροντίζῃ νὰ διατηρῇ τὴν ἰδικήν του ἀξίαν, ἀντὶ δὲ νὰ ὑπηρετῇ τοὺς ἀνθρώπους μὲ αἰσθητοὺς λόγους, ἂς προσπαθῇ νὰ τοὺς ἐξυπηρετῇ μὲ τὴν

καλήν του πολιτείαν καὶ νὰ τοὺς διδάσκῃ μὲ τὰς πράξεις του. Ἀλλὰ καὶ ἐὰν ἀκόμη κατοικῇ μακρὰν τῶν ἀνθρώπων, δύναται πολὺ περισσότερον νὰ τοὺς εὐεργετήσῃ μὲ τὸν ζῆλον τῶν καλῶν ἔργων, παρὰ μὲ λόγους, ἐφ' ὅσον καὶ αὐτὸς ἀκόμη εἶναι ἄρρωστος καὶ ἔχει ἀνάγκην θεραπείας, ὅπως ἐκεῖνοι. Διότι, ὅπως λέγει καὶ ὁ Κύριος ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ, «ὅταν ἕνας τυφλὸς ὁδηγῇ ἄλλον τυφλὸν καὶ οἱ δύο θὰ πέσουν εἰς κάποιον λάκκον» (Ματθ. ιε' 14).

ς'. Τοῦ Ἁγίου Βαρσανουφίου.

ΑΔΕΛΦΟΣ ἐν τῷ Κοινοβίῳ, ἐν ᾧ ὁ Ἅγιος οὗτος ἡσύχαζεν, ἀκούσας παρά τινος ἀδελφοῦ περὶ πολέμου, συνεβούλευσεν αὐτῷ ὡς ἠδυνήθη τὰ πρὸς ὠφέλειαν, μὴ φθάσας εἰς τοιοῦτον μέτρον· καὶ εὐθέως ἦλθεν ὁ πόλεμος ἐπάνω αὐτοῦ.

2. Ὡς οὖν εἶδεν αὐτὸν βαρυνόμενον, καὶ ἔγνω ὅτι τοῦτο ὑπέστη ἐκ τοῦ μὴ ὁμολογῆσαι τῷ ἀδελφῷ τὴν ἰδίαν ἀσθένειαν, καὶ ὅτι τοὺς Πατέρας δεῖ ἐρωτᾶν μᾶλλον, προσελθὼν τῷ Γέροντι, ἀνήγγειλε τὸ πρᾶγμα.

3. Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἀδελφέ, οὐκ ἔστιν ἄλλη ὁδός, δι' ἧς δυνήσῃ τοῦ πολέμου ἀπαλλαγῆναι, ἀλλ' ἢ ἵνα μέμψῃ ἑαυτὸν εἰς ἃ ἐλάλησας, καὶ συγχωρεῖ σοι ὁ Θεός. Ποιήσας οὖν ὁ ἀδελφὸς ὡς ὑπέθετο αὐτῷ ὁ Γέρων, καὶ καταγνοὺς ἑαυτοῦ ἐφ' οἷς εἶπε, καὶ βαλὼν μετάνοιαν, εὐθὺς ἐκουφίσθη ἐκ τοῦ πολέμου, καὶ ηὐχαρίστησε τῷ Θεῷ.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἕνας ἀδελφός, ποὺ ἔμενεν εἰς τὸ Κοινόβιον εἰς τὸ ὁποῖον ἡσύχαζεν ὁ Ἅγιος Βαρσανούφιος, ἐπληροφορήθη ὅτι ἕνας ἄλλος ἀδελφὸς ἐπολεμεῖτο. Ἀμέσως λοιπόν, ἐν τῷ μέτρῳ τῶν δυνάμεών του, τὸν συνεβούλευσε τὰ ἀπαραίτητα πρὸς ὠφέλειάν του, χωρὶς ὁ ἴδιος νὰ ἔχῃ φθάσει εἰς τὰ μέτρα τῆς τελειότητος τῶν ὅσων συνεβούλευε. Τί συνέβη ὅμως τότε; Ὁ πόλεμος, ποὺ μέχρι τῆς στιγμῆς ἐκείνης ἔθλιβε τὸν πολεμούμενον, ἦλθεν ὅλος ἐπάνω του!

2. Ὅταν εἶδε νὰ βαρύνεται ἀπὸ τὸν πόλεμον αὐτόν, καὶ ἀντελήφθη, ὅτι ὑπέστη αὐτὸ τὸ πρᾶγμα, ἐπειδὴ δὲν ὡμολόγησεν εἰς τὸν ἀδελφὸν τὴν ἀσθένειάν του, καὶ ἐπειδὴ οἱ πολεμούμενοι πρέπει νὰ καταφεύγουν, διὰ νὰ συμβουλεύωνται, εἰς τοὺς ἐμπείρους Πατέρας, προσῆλθεν εἰς τὸν Γέροντα (τὸν Ἅγιον Βαρσανούφιον) καὶ τοῦ ἐξωμολογήθη τὴν ὑπόθεσιν.

3. Ἀφοῦ τὸν ἤκουσε μετὰ προσοχῆς ὁ Γέρων, τοῦ λέγει:

—Ἀδελφέ μου, δὲν ὑπάρχει ἄλλος τρόπος ἀπαλλαγῆς ἀπὸ τὸν πόλεμον, ἀπὸ τὸ νὰ μεμφθῇς τὸν ἑαυτόν σου δι' ὅσα ἐλάλησες ὡς διδάσκαλος πρὸς τὸν ἀδελφόν σου, καὶ ὁ Θεὸς θὰ σὲ συγχωρήσῃ.

Πράγματι ὁ ἀδελφὸς ἔκαμεν, ὅπως τοῦ εἶπεν ὁ Γέρων καὶ ἀφοῦ κατηγόρησε τὸν ἑαυτόν του δι' ὅσα εἶπε, χωρὶς νὰ ἔχῃ φθάσει εἰς τὸ μέτρον τῆς τελειότητος αὐτῶν ποὺ εἶπε, καὶ ἔβαλε μετάνοιαν, ἀμέ-

σως ἔφυγεν ἀπὸ ἐπάνω του τὸ βάρος τοῦ πολέμου καὶ ἀνακουφισθεὶς ηὐχαρίστησε τὸν Θεόν.

Ζ'. Ἐν τῷ Γεροντικῷ.

ΕΙΠΕΝ ἡ Ἀμμᾶς Θεοδώρα, ὅτι ὁ διδάσκαλος ὀφείλει εἶναι ξένος φιλαρχίας καὶ ἀλλότριος κενοδοξίας καὶ ὑπερηφανίας· μὴ ὑπὸ κολακείας ἐμπαιζόμενος, μὴ ὑπὸ δώρων τυφλούμενος, μὴ ὑπὸ ὀργῆς κρατούμενος, ἀλλὰ μακρόθυμος, ἐπιεικής, ὑπὲρ πάντα ταπεινόφρων, ἔγκριτος, καὶ ἀνεκτικός, κηδεμονικός, καὶ φιλόψυχος.

2. Εἶπε Γέρων· μὴ δίδασκε πρὸ καιροῦ, εἰ δὲ μή, ἔσῃ ἐλαττούμενος ἐν συνέσει.

3. Ὁ αὐτὸς εἶπεν· ὀφείλει ὁ διδάσκων ἑτέρους περὶ τῆς ἑαυτῶν σωτηρίας, πρῶτον τὸν καρπὸν τῆς διδασκαλίας δρέψασθαι· ὁ γὰρ ἑαυτὸν μὴ σωφρονίσας, ἄλλον πῶς δύναται σωφρονίσαι; Καὶ ὁ ὑπὸ τῆς φιλαργυρίας σφιγγόμενος, καὶ ὑπὸ τοῦ ταύτης δαίμονος ἐξελαυνόμενος, πῶς ἕτερον περὶ ἐλεημοσύνης διδάξαι δύναται; Καὶ ὁ εἰς τὸ δοῦναι καὶ λαβεῖν καὶ πράσαι ἑαυτὸν ἀσχολῶν, καὶ εἰς τὰς γηΐνας φροντίδας τὰς ἡμέρας αὐτοῦ δαπανῶν, πῶς ἄλλους διδάξει περὶ τῶν μελλόντων ἀγαθῶν;

4. Ἄλλωστε καὶ οἱ ὑπ' αὐτοῦ διδασκόμενοι, τοῖς ἔργοις μᾶλλον αὐτοῦ ἢ τοῖς λόγοις προσέξουσι· καὶ διδαχθήσονται μὲν παρορᾶν τὰ αἰώνια, εἰς δὲ τὰ πρόσκαιρα ἀεὶ ἀγωνίζεσθαι, καθὼς ὁρῶσι καὶ τὸν διδάσκαλον ποιοῦντα.

5. Τῷ οὖν τοιούτῳ λέγει ὁ Θεός· «ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω»· καὶ πάλιν· «οὐαὶ δι' οὗς τὸ ὄνομά μου βλασφημεῖται». Καλὸν τὸ διδάσκειν, ἐὰν ὁ λέγων ποιῇ, ἵνα δι' ὧν λαλεῖ πράσσῃ, καὶ δι' ὧν σιγᾷ γινώσκηται, μακάριος γὰρ οὐχ ὁ διδάξας μόνον, ἀλλ' ὃς «ποιήσῃ καὶ διδάξῃ».

6. Εἶπε Γέρων· ἐὰν λέγῃς τινὶ περὶ ζωῆς λόγον, μετὰ κατανύξεως καὶ δακρύων, εἰπὲ τῷ ἀκούοντι συνδιατιθέμενος τοῖς λεγομένοις· εἰ δὲ μή, μηδὲν εἴπῃς ἵνα μὴ ἀποθάνῃς ἐν ἀλλοτρίοις λόγοις, σῴζειν ἄλλους βουλόμενος.

Ἑρμηνεία

Η ΑΜΜΑΣ Θεοδώρα εἶπεν: ὁ διδάσκαλος πρέπει νὰ εἶναι ξένος πρὸς τὸ πάθος τῆς φιλαρχίας, καὶ τελείως ἀποξενωμένος ἀπὸ τὰ πάθη τῆς κενοδοξίας καὶ τῆς ὑπερηφανίας· νὰ μὴ ἐμπαίζηται ἀπὸ τὰς κολακείας, οὔτε νὰ τυφλώνεται ἀπὸ δῶρα, οὔτε νὰ νικᾶται ἀπὸ τὴν ὀργήν· ἀπεναντίας ὀφείλει νὰ εἶναι μακρόθυμος, ἐπιεικής, ταπεινόφρων περισσότερον ἀπὸ κάθε ἄλλον, νὰ ἔχῃ ἐγκριθῇ ἀπὸ τὴν Ἐκκλησίαν ὡς διδάσκαλος, νὰ ἀνέχεται, νὰ φέρεται φιλοστόργως ὡς κηδεμών, καὶ νὰ εἶναι φιλόψυχος, νὰ ἐπιποθῇ δηλαδὴ τὴν σωτηρίαν τῆς ψυχῆς μᾶλλον ἢ τὰς ἀναπαύσεις τοῦ σώματος.

2. Ἕνας Γέρων εἶπε: νὰ μὴ διδάσκῃς ἀκαίρως, πρό, δηλαδή, καταλλήλου περιστάσεως· διαφορετικά, θὰ μειονεκτήσῃς κατὰ τὴν σύνεσιν.

3. Ὁ ἴδιος πάλιν εἶπεν: Ἐκεῖνος, ποὺ διδάσκει τοὺς ἄλλους διὰ τὴν σωτηρίαν των, πρέπει πρῶτος νὰ συλλέξῃ τὸν καρπὸν τῆς διδασκαλίας (Β' Τιμ. β' 6). Διότι πῶς θὰ δυνηθῇ νὰ σωφρονίσῃ τὸν ἄλλον, ἐφ' ὅσον δὲν ἐσωφρόνισε τὸν ἑαυτόν του; Ἢ πῶς αὐτὸς ποὺ κατέχεται ἀπὸ τὴν φιλαργυρίαν καὶ καταδιώκεται ἀπὸ τὸν δαίμονα αὐτῆς, πῶς εἶναι δυνατὸν νὰ διδάξῃ τὸν ἄλλον περὶ ἐλεημοσύνης; Ἐκεῖνος πάλιν ποὺ ἀπασχολεῖται μὲ χρηματικὰς συναλλαγὰς καὶ ἀγοραπωλησίας, καὶ ἐκδαπανᾷ οὕτω τὰς ἡμέρας του εἰς γηΐνας φροντίδας, πῶς θὰ διδάξῃ τοὺς ἄλλους διὰ τὰ μέλλοντα ἀγαθά;

4. Ἄλλωστε καὶ ἐκεῖνοι ποὺ διδάσκονται ἀπὸ ἕνα τοιοῦτον διδάσκαλον, περισσότερον θὰ προσέξουν τὰ ἔργα του παρὰ εἰς τοὺς λόγους του· τοιουτοτρόπως δὲ θὰ διδαχθοῦν νὰ ἀδιαφοροῦν διὰ τὰ αἰώνια, συνεχῶς δὲ νὰ ἀγωνίζωνται διὰ τὰ πρόσκαιρα, καθὼς θὰ βλέπουν νὰ κάμνῃ καὶ ὁ διδάσκαλός των.

5. Εἰς τὸν τοιοῦτον λοιπὸν διδάσκαλον, τοῦ ὁποίου αἱ πράξεις εἶναι ἀντίθετοι πρὸς τοὺς λόγους, λέγει ὁ Θεὸς ἐπιτιμητικῶς· «διατί σὺ ἀναπτύσσεις διδάσκων τοὺς ὅρους καὶ τὰς προϋποθέσεις τῆς σωτηρίας καὶ λαμβάνεις εἰς τὸ στόμα σου τὴν διαθήκην μου; Σὺ ἐμίσησας τὸν αὐτοφρονηματισμὸν καὶ ἐκ περιφρονήσεως ρίπτεις τοὺς λόγους μου εἰς τὰ ὀπίσω» (Ψαλμ. μθ' 16—17). Εἰς ἄλλην πάλιν περίπτωσιν λέγει, ἐπιτιμῶν, ὁ Θεός: Ἀλλοίμονον εἰς ἐκείνους, ἐξ αἰτίας τῶν ὁποίων βλασφημεῖται τὸ Ὄνομά μου (Ἡσ. νβ' 5). Εἶναι ὡραῖον πρᾶγμα τὸ νὰ διδάσκῃς τοὺς ἄλλους, ἐφ' ὅσον ὅμως ὁ διδάσκων ἐφαρμόζει αὐτά, ποὺ διδάσκει, ὥστε νὰ κάμνῃ αὐτὰ ποὺ λέγει καὶ νὰ ἀναγνωρίζεται ἐξ ὅσων σιωπᾷ (ἐκ ταπεινοφροσύνης). Διότι μακάριος θὰ εἶναι ὄχι αὐτός, ποὺ μόνον διδάσκει, ἀλλὰ αὐτὸς ποὺ πρῶτος «ἐφαρμόζει τὰ ὅσα διδάσκει» (Ματθ. ε' 19).

6. Ἕνας Γέρων Ἀσκητὴς εἶπε: ἐὰν διδάσκῃς κάποιον περὶ πνευματικῆς ζωῆς, νὰ συνοδεύῃς τοὺς λόγους σου πρὸς τὸν ἀκούοντα μὲ δάκρυα καὶ κατάνυξιν· διαφορετικὰ νὰ μὴ εἴπῃς τίποτε, διὰ νὰ μὴ ἀποθάνῃς ψυχικῶς, ἐπιθυμῶν νὰ σώσῃς τοὺς ἄλλους μὲ γυμνούς, ἀπὸ πᾶσαν πρᾶξιν ἀρετῆς, λόγους.

Η'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΚΡΕΙΣΣΟΝ μανθάνειν ἐπιμελῶς, ἢ διδάσκειν ἐπισφαλῶς ἐν τῷ πράττειν ἃ μὴ δεῖ· ὁ παιδεύων ἑαυτόν, παιδεύει τὸν ἕτερον, ἤτοι τὸν εἰς αὐτὸν ἀποβλέποντα, καὶ ὁ διδάσκων ἑαυτόν, διδάσκει τὸν πλησίον.

2. Μὴ καταδίωκε ἀδελφὸν χάριν φιλαρχίας· ἐὰν μὴ ἡ βουλὴ αὕτη ἐκ Θεοῦ ᾖ, οὐ σταθήσεται· ἐὰν δὲ ἐκ Θεοῦ ἐστι, σὺ δὲ κρυβήσῃ εἰς τὰ σκεύη, καθάπερ Σαούλ, ἐκεῖθεν λήψεταί σε ὁ Κύριος, καὶ καταστήσει σε Ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ.

Ἑρμηνεία

ΕΙΝΑΙ προτιμότερον νὰ μανθάνῃς μετ᾽ ἐπιμελείας καὶ συνέσεως, παρὰ νὰ διδάσκῃς ἐπιζημίως, διὰ τῶν πράξεών σου ἐκείνων, τὰς ὁποίας δὲν ἔπρεπε νὰ πράττῃς. Ἐκεῖνος ποὺ γυμνάζει τὸν ἑαυτόν του, γυμνάζει καὶ τὸν ἄλλον, αὐτὸν δηλαδή, ποὺ τὸν παρακολουθεῖ· καὶ ἐκεῖνος ποὺ διδάσκει τὸν ἑαυτόν του, διδάσκει τὸν πλησίον.

2. Μὴ καταδιώκῃς τὸν ἀδελφόν σου χάριν φιλαρχίας. Ἐὰν ἡ σκέψις σου αὐτή, νὰ καταστῇς δηλαδὴ ἡγεμὼν καὶ ἀρχηγὸς τῶν ἄλλων, δὲν εἶναι ἐκ Θεοῦ, δὲν θὰ σταθῇ· ἐὰν ὅμως εἶναι ἐκ Θεοῦ, τότε καὶ ἐὰν ἀκόμη ἀποκρυβῇς εἰς τὰ διάφορα σκεύη, ὅπως ὁ Σαοὺλ (Α΄ Βασιλ. ι΄ 22), ἀπὸ ἐκεῖ θὰ σὲ παραλάβῃ ὁ Κύριος, διὰ νὰ σὲ ἀναδείξῃ Ἡγούμενον εἰς τὸν λαόν του.



ΥΠΟΘΕΣΙΣ ΛΘ΄

Ὅτι ὁ ἐκ τοῦ Ἁγίου Πνεύματος τὰς κρίσεις ποιούμενος, κἂν μὴ Ἱερεύς ἐστιν, ἐν οἷς ἂν δοκιμάσῃ τὸν Θεὸν ἔχει σύμψηφον. Καὶ ὅτι οὐ τοῖς Ἱερεῦσι μόνον, ἀλλὰ καὶ ἄλλοις, καθαροῖς οὖσι, τὸ διδάσκειν παρὰ Θεοῦ ἐπιτέτραπται· καὶ τίς ἡ νοουμένη ἱερωσύνη; Καὶ πῶς δεῖ τοὺς ἐν ἐρημίᾳ, μὴ παρόντος Ἱερέως, τῶν Ἁγιασμάτων μεταλαμβάνειν.

Ἐκεῖνος ὁ ὁποῖος ἀποφασίζει κατὰ φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, καὶ ἂν δὲν εἶναι Ἱερεύς, εἰς ὅ,τι καὶ ἂν ἀποφασίσῃ ἔχει σύμφωνον τὸν Θεόν. Τὸ νὰ διδάσκουν ἄλλους εἶναι ἐπιτετραμμένον ἐκ Θεοῦ, ὄχι μόνον εἰς τοὺς Ἱερεῖς, ἀλλὰ καὶ εἰς ἄλλους, τοὺς καθαροὺς κατὰ τὴν ψυχήν· καὶ ποία εἶναι ἡ μυστικὴ Ἱερωσύνη. Καὶ πῶς πρέπει νὰ μεταλαμβάνουν τῶν ἀχράντων Μυστηρίων οἱ ζῶντες εἰς τὰς ἐρήμους, ὅταν δὲν παρίσταται Ἱερεύς.

Α΄. Γρηγορίου τοῦ Διαλόγου.

ΠΡΟΣΕΝΕΧΘΕΙΣΗΣ τῆς προσφορᾶς τῆς δοθείσης ὑπὸ τοῦ Ἁγίου Βενεδίκτου, ὃς οὐκ ἦν Ἱερεύς, ὑπὲρ τῶν δύο παρθένων, τῶν καὶ μετὰ θάνατον ἐκ τῆς Ἐκκλησίας ἐξερχομένων, ὡς ἀκοινωνήτων ὑπ' αὐτοῦ γεγονυιῶν, καὶ τοῦ Διακόνου κατὰ τὸ σύνηθες κράζοντος, ἵνα οἱ μὴ μεταλαμβάνοντες ἐξέλθωσι τῆς Ἐκκλησίας, οὐκέτι λοιπὸν αἱ θανοῦσαι ἐθεωρήθησαν ὑπὸ τῆς τροφοῦ ἐκβαίνουσαι τῆς Ἐκκλησίας.

2. Ὅθεν πιστεύομεν, Πέτρε, ἐκτὸς πάσης ἀμφισβητήσεως, ὅτι ἡνίκα ἡ προσφορὰ ὑπὲρ αὐτῶν ἐτύθη, αὐτίκα τῆς συγχωρήσεως ἠξιώθησαν καὶ τοῦ δεσμοῦ ἐλύθησαν διὰ τοῦ μακαρίου Βενεδίκτου.

Πέτρος

3. Θαυμαστὸν πρᾶγμά ἐστιν, ὅτι ὁ σεβάσμιος οὗτος ἀνήρ, ἔτι ἐν σαρκὶ ὤν, ἴσχυσε ψυχὰς λῦσαι.

Γρηγόριος

4. Μήτι οὖν, Πέτρε, ἐν ταύτῃ τῇ σαρκὶ οὐκ ἦσαν ἔτι, οἱ παρὰ Θεοῦ ἀκούσαντες· «ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ;» ὧντινων τὴν τάξιν καὶ νῦν ἐπέχουσιν οἱ τοὺς θρόνους τῶν Ἁγίων Ἀποστόλων καὶ Ποιμένων πίστει καὶ τοῖς ἤθεσι κοσμοῦντες;

5. Ἵνα γὰρ τοσαύτης δόξης ὁ γήϊνος καταξιωθῇ, ὁ οὐρανοῦ καὶ τῆς γῆς Ποιητὴς ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν κατῆλθε· καὶ ἵνα ἡ σὰρξ ἐκ τοῦ Πνεύματος κρῖναι δυνηθῇ, ταῦτα αὐτῇ παρασχεῖν ἠξίωσε, καὶ Θεὸς ὤν, γέγονε διὰ τοὺς ἀνθρώπους σάρξ, ἔξω δὲ αὐτοῦ ἡ ἀσθένεια ἡμῶν· οὐ γὰρ ὑπ' αὐτῆς ἡ τοῦ Θεοῦ δυναστεία ἠσθένησεν.

6. Ἀνήρ τις εὐγενέστατος, ὀνόματι Φῆλιξ, τὸν ἀοίδιμον Πατέρα Ἀκοίτιον, ἱερατικὸν ἀξίωμα γινώσκων μὴ ἔχοντα, διδασκαλίας χάριν, τῇ πρὸς αὐτὸν παῤῥησίᾳ θαῤῥῶν, ἠρώτησεν αὐτὸν εἰπών· ἱερατικὸν ἀξίωμα μὴ ἔχων, μήτε ἐπιτροπὴν τῆς κηρύξεως παρὰ τοῦ τῶν Ῥωμαίων Πατριάρχου λυβών, ᾧ καὶ ὑπόκεισαι, πῶς τοῦτο ποιῆσαι τολμᾷς;

7. Πρὸς ὃν ἀπεκρίθη ὁ Ἅγιος· ταῦτα, ἅ περ μοι λέγεις, κἀγὼ ἐν ἐμαυτῷ ἐλογισάμην· τὸ δὲ πῶς τὴν τῆς κηρύξεως ἐπιτροπὴν ἔλαβον, φανερόν σοι ποιῶ. Ἐν μιᾷ νυκτί, δι' ὀπτασίας, νεώτερος πάνυ ὡραῖος παρέστη μοι, καὶ ἐν τῇ γλώττῃ μου φλεβότομον τέθεικεν εἰπών μοι· ἰδοὺ τοὺς λόγους μου ἐθέμην ἐν τῷ στόματί σου. Ἀπὸ δὲ τῆς ἡμέρας ἐκείνης, εἰ καὶ θελήσω σιωπῆσαι, οὐδαμῶς δύναμαι, τοῦ Θεοῦ με εἰς τοῦτο ἀναγκάζοντος.

Πέτρος

8. Ἤθελον τοῦ Πατρὸς τούτου τὸ ἔργον διαγνῶναι, ὃς τοιούτων χαρισμάτων κατηξιώθη.

Γρηγόριος

9. Τὸ ἔργον, Πέτρε, ἐκ τοῦ χαρίσματος, οὐχὶ τὸ χάρισμα ἐκ τοῦ ἔργου, ἐπεὶ ἡ Χάρις οὐκέτι γίνεται Χάρις. Ἑκάστου οὖν ἔργου, τὰ χαρίσματα προηγοῦνται· ταῦτα δὲ πάλιν, ἐκ τοῦ ἐπακολουθοῦντος ἔργου αὐξάνουσι· πλεῖον δὲ τί ἔργον ζητεῖς, ὁπό·αν συνεφώνει ἡ τῆς πολιτείας αὐτοῦ καθαρότης τῇ σπουδῇ τοῦ κηρύγματος;

10. Τοσοῦτος γὰρ αὐτῷ πόθος εἰς τὸ προσενέγκαι τῷ Θεῷ ψυχὰς ἐξέκαυσεν, ὥστε καὶ Μοναστηρίων προϊστάμενος ὤν, οὐ διέλιπεν ἐν Ἐκκλησίαις, ἐν πόλεσι, ἐν ἐμπορείοις, ἐν ἑκάστῳ τόπῳ τῶν πισ ῶν διατρέχων, καὶ τὰς τῶν ἀκουόντων καρδιας εἰς τὸν πόθον τῆς αἰωνίου ζωῆς ἐγείρων.

11. Ἔφθασε δὲ καὶ μέχρι τῆς Ῥωμαίων πόλεως ἡ φήμη τῆς αὐτοῦ κηρύξεως· καί τινες, φθόνῳ κινούμενοι, κατεῖπον αὐτοῦ πολλὰ πρὸς τὸν Πατριάρχην, λέγοντες· τίς ἐστιν ὁ ἄγροικος ἄνθρωπος οὗτος, ὃς τὴν τῆς κηρύξεως αὐθεντίαν ἐπισπᾶσαι ἑαυτῷ, καὶ τὴν διακονίαν τῆς ἡμετέρας, Δέσποτα, παναγιοτίας, εἰς ἑαυτὸν μετατίθησιν, αὐτομολῶν ἀμεταθέτως; Πεμφθήτω οὖν, εἰ δοκεῖ, ὅστις αὐτὸν ἐνταῦθα ἀγαγεῖν, ἵνα γνῷ τίς ὑπάρχει ἡ τῆς Ἐκκλησίας κατάστασις.

12. Καὶ οὐ πρότερον ἐπαύσαντο κατηγορεῖν, ἕως παρέπεισαν αὐτόν, τὸν δεφένσωρα Ἰουλιανὸν ἀποστεῖλαι, ὥστε πρὸς αὐτοὺς τὸν Ἅγιον ἀγαγεῖν. Ἐκείνου δὲ ἐλθόντος, τῇ ἐπιούσῃ νυκτὶ ὁ Πατριάρχης δι' ὀπτασίας θείας ἔμφοβος γέγονεν, ὅτι πρὸς τὸν Ἅγιον ὅλως ἐτόλμησεν ἀποστεῖλαι· ἀναστὰς οὖν ἀπέστειλε πρὸς τὸν Ἰουλιανόν, ὥστε μὴ τολμῆσαι ἐκ τῆς Μονῆς αὐτοῦ μετακινῆσαι τὸν Ἅγιον.

Ἑρμηνεία

ΑΦΟΥ ἔγινεν ἡ Λειτουργία ἀπὸ τὴν προσφοράν, ποὺ ἔδωσεν ὁ Ἅγιος Βενέδικτος, ὅστις δὲν ἦτο Ἱερεύς, ὑπὲρ τῶν δύο παρθένων, ποὺ ἐξήρχοντο, μετὰ τὸν θάνατόν των, ἐκ τῆς Ἐκκλησίας, εἰς τὴν ὁποίαν εἶχον ἐνταφιασθῆ, ἐπειδή, ὅταν ἀκόμη ἔζων, εἶχον ὑποβληθῆ ὑπ' αὐτοῦ εἰς τὸ ἐπιτίμιον τῆς ἀκοινωνησίας (ἡ ἔξοδός των ἐπραγματοποιεῖτο τὴν στιγμήν, ποὺ ὁ Διάκονος, ὡς συνήθως ἔλεγε «νὰ ἐξέλθουν ἀπὸ τὴν Ἐκκλησίαν ὅσοι δὲν μεταλαμβάνουν»), ἔπαυσε πλέον ἡ τροφὸς νὰ βλέπῃ τὰς παρθένους αὐτὰς νὰ ἐξέρχωνται ἀπὸ τὸν Ναόν.

2. Ἐξ αὐτοῦ, Πέτρε, συμπεραίνομεν καὶ πιστεύομεν, χωρὶς οὐδεμίαν ἀμφιβολίαν, ὅτι ἀφοῦ ἐγένετο, χάριν αὐτῶν, ἡ ἀναίμακτος θυ-

σία ἀπὸ τὴν προσενεχθεῖσαν προσφοράν, ἀμέσως ἠξιώθησαν συγγνώμης ἀπὸ τὸν Θεὸν καὶ ἐλύθησαν ἀπὸ τὸν δεσμὸν διὰ πρεσβειῶν τοῦ μακαρίου Βενεδίκτου (1).

Πέτρος

3. Εἶναι πράγματι ἀξιοθαύμαστον, πῶς ἠδυνήθη αὐτὸς ὁ σεβάσμιος ἄνθρωπος νὰ λύσῃ ψυχὰς ἀπὸ ἐπιβληθέντα δεσμόν, ἐνῷ ἀκόμη ἔφερε τὴν θνητὴν σάρκα.

Γρηγόριος

4. Μήπως, Πέτρε, ἔνσαρκοι δὲν ἦσαν ἀκόμη ἐκεῖνοι ποὺ ἤκουσαν ἀπὸ τὸν Θεὸν τὸ θεῖον ἐκεῖνο πρόσταγμα· «ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ»; (Ματθ. ιη' 18), τὴν θέσιν τῶν ὁποίων κατέχουν σήμερα αὐτοί, ποὺ κοσμοῦν, μὲ τὴν πίστιν καὶ τὴν ἐνάρετον ζωήν των, τοὺς θρόνους τῶν Ἁγίων Ἀποστόλων καὶ Ποιμένων, δηλαδὴ οἱ διάδοχοί των;

5. Ἄλλωστε δι' αὐτὸν ἀκριβῶς τὸν λόγον, διὰ νὰ καταξιωθῇ δηλαδὴ ὁ γήϊνος ἄνθρωπος τόσον μεγάλης δόξης, κατῆλθεν ἀπὸ τὸν οὐρανὸν εἰς τὴν γῆν ὁ Δημιουργὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Καὶ διὰ νὰ δυνηθῇ ὁ ἄνθρωπος νὰ κρίνῃ, κατὰ φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, τὸν κατηξίωσε νὰ ἀπολαύσῃ τόσον ὑψηλῶν χαρισμάτων. Ὁ Δημιουργὸς τοῦ Σύμπαντος, καίτοι Θεός, ἔλαβε Σάρκα, χάριν τῶν ἀνθρώπων, ἐκτὸς βεβαίως τῆς ἀσθενείας ἡμῶν, ἡ δύναμις ὅμως καὶ ἡ μεγαλοπρέπεια τοῦ ἐνσαρκωθέντος Θεοῦ δὲν ἐμετριάσθησαν ἀπὸ τὴν ἀνθρωπίνην σάρκα.

6. Ὅτι δὲ ὁ ἄνθρωπος κατηξιώθη τῶν θείων χαρισμάτων τοῦ Πνεύματος, θὰ σοῦ τὸ φανερώσω καὶ ἀπὸ τὸ ἀκόλουθον περιστατικόν. Ἔζη ἕνας ἄνθρωπος, ὀνομαζόμενος Φῆλιξ· οὗτος ἦτο γόνος ἐπιφανοῦς οἰκογενείας καὶ ἐγνώριζε τὸν ἀοίδιμον πατέρα Ἀκοίτιον. Καίτοι βεβαίως τὸν ἐσέβετο, ἔλαβεν ὅμως τὸ θάρρος, προκειμένου νὰ μάθῃ κάτι, ποὺ ἠγνόει καὶ τὸν ἠρώτησε:

—Γέροντά μου, εἶναι γνωστόν, ὅτι δὲν ἔχεις τὸ ἀξίωμα τῆς ἱερωσύνης, οὔτε καὶ ἔλαβες ἄδειαν ἀπὸ τὸν Πατριάρχην τῆς Ρώμης, εἰς τὸν ὁποῖον εἶσαι ὑποτεταγμένος ἐκκλησιαστικῶς, διὰ νὰ κηρύττῃς· πῶς λοιπὸν τολμᾷς νὰ ἀσκῇς τὸ θεῖον αὐτὸ λειτούργημα τοῦ λόγου;

7. Πρὸς αὐτὸν ἀπήντησεν ὁ σεβαστὸς Ἅγιος Ἀκοίτιος.—Αὐτά, ποὺ μοῦ λέγεις καὶ ἐγὼ τὰ ἔχω σκεφθῇ μόνος μου· θὰ σοῦ φανερώσω ὅμως πῶς ἔλαβα τὴν ἄδειαν τοῦ κηρύγματος. Πρόσεξε λοιπόν· μίαν νύκτα εἶδα μίαν ὀπτασίαν· μὲ ἐπεσκέφθη ἕνας πάρα πολὺ ὡραῖος ἄνθρωπος, νεαρὸς κατὰ τὴν ἡλικίαν. Οὗτος λοιπὸν ἐτοποθέτησεν ἐπάνω

---

1) Περὶ τοῦ περιστατικοῦ τούτου γίνεται ἐκτενέστερον λόγος ἐν σελ. 542-544.

εἰς τὴν γλῶσσαν μου ἕνα μαχαιρίδιον, ἀπὸ αὐτὰ ποὺ χρησιμοποιοῦν οἱ ἰατροὶ καὶ μοῦ εἶπε· «Νά, ἔβαλα τοὺς λόγους μου εἰς τὸ στόμα σου». Ἀπὸ τὴν ἡμέραν ἐκείνην, καὶ ἐὰν θελήσω νὰ σιωπήσω, δὲν ἠμπορῶ, διότι ὁ Θεὸς μὲ ἀναγκάζει εἰς τὸ ἔργον τοῦ κηρύγματος.

Πέτρος

8. Θὰ ἤθελα νὰ πληροφορηθῶ τὸ πνευματικὸν ἔργον τοῦ Πατρὸς αὐτοῦ, ποὺ ἠξιώθη τόσον ὑψηλῶν χαρισμάτων.

Γρηγόριος

9. Ἄκουσε, Πέτρε, τὸ ἔργον εἶναι συνέπεια τοῦ χαρίσματος καὶ ὄχι τὸ χάρισμα τοῦ ἔργου, ἐπειδή, ἐν τοιαύτῃ περιπτώσει, ἡ Χάρις δὲν θὰ ἦτο Χάρις. Τὰ χαρίσματα λοιπὸν προηγοῦνται ἀπὸ τὰ διάφορα πνευματικὰ ἔργα. Τὰ χαρίσματα πάλιν πολλαπλασιάζονται ἀναλόγως τοῦ ἔργου ποὺ ἀκολουθεῖ τὰ χαρίσματα. Τί ἐπὶ πλέον ἔργον ζητεῖς, ἐφ' ὅσον ὁ ἐνάρετος βίος του ἦτο σύμφωνος μὲ τὸ κήρυγμά του;

10. Τόσον ἰσχυρὸς καὶ ἔντονος ἦτο ὁ πόθος του, ὥστε κυριολεκτικῶς τὸν κατέφλεγεν ὁ ζῆλος, νὰ φέρῃ πλησίον τοῦ Θεοῦ, διὰ τοῦ κηρύγματος, ψυχάς· πρὸς τοῦτο, ἂν καὶ ἐβαρύνετο μὲ τὰς εὐθύνας τοῦ προϊσταμένου Μοναστηρίων, ἐν τούτοις δὲν ἄφηνεν εὐκαιρίαν νὰ μὴ ὁμιλῇ εἰς τὰς Ἐκκλησίας, εἰς τὰς πόλεις, εἰς τὰ καταστήματα καί, ἐν συντομίᾳ, νὰ διατρέχῃ τοὺς διαφόρους τόπους τῶν πιστῶν, διὰ νὰ ξυπνήσῃ εἰς τὰς καρδίας τῶν ἀκροατῶν του τὸν πόθον τῆς αἰωνίου ζωῆς.

11. Ἡ φήμη του, διὰ τὸ κήρυγμα, ἔφθασε καὶ εἰς αὐτὴν τὴν πόλιν τῆς Ρώμης. Μερικοὶ λοιπόν, παρακινούμενοι ἀπὸ φθόνον, τὸν κατηγόρησαν πρὸς τὸν Πατριάρχην, λέγοντες, μεταξὺ ἄλλων, τὰ ἑξῆς:

—Ποῖος εἶναι αὐτὸς ὁ ἄξεστος καὶ ἀμόρφωτος ἄνθρωπος; Διατί δὲ ἀφ' ἑαυτοῦ λαμβάνει τὸ κῦρος τοῦ ὁμιλητοῦ καὶ παρουσιάζεται ὡς αὐθεντία εἰς τὸ κήρυγμα (ἀναλαμβάνων εἰς τὸν ἑαυτόν του τὴν ὑπηρεσίαν τῆς Παναγιότητός Σου, Δέσποτα) μετακινούμενος, μὲ τὴν θέλησίν του, εἰς διάφορα μέρη, χωρὶς τὴν ἄδειαν τοῦ Πατριάρχου του; Ἐὰν λοιπὸν τὸ θεωρῇς ὀρθόν, διάταξε ἀντιπρόσωπόν σου νὰ πάῃ νὰ τὸν φέρῃ ἐδῶ, διὰ νὰ μάθῃ ποία εἶναι ἡ τάξις τῆς Ἐκκλησίας!

12. Οἱ κατήγοροι τοῦ Ἁγίου δὲν ἔπαυσαν νὰ τὸν κατηγοροῦν πρὸς τὸν Πατριάρχην, μέχρις ὅτου τὸν ἔπεισαν νὰ ἀποστείλῃ τὸν ἀξιωματοῦχον Ἰουλιανόν, διὰ νὰ προσαγάγῃ βιαίως τὸν Ἅγιον. Τὴν ἑπομένην νύκτα, ἀφ' ἧς μετέβη ὁ Ἰουλιανὸς καὶ ἡτοιμάζετο νὰ ἐκτελέσῃ τὴν διαταγήν, βλέπει ὁ Πατριάρχης εἰς τὸν ὕπνον του μίαν τρομακτικὴν ὀπτασίαν, ποὺ τὸν κατεφόβισε· διὰ τῆς ὀπτασίας αὐτῆς ἐπετιμᾶτο αὐστηρῶς, διότι ἐτόλμησε νὰ ἐνοχλήσῃ τὸν Ἅγιον. Ἀμέσως λοιπὸν ἠγέρθη ἐκ τῆς κλίνης του καὶ εἰδοποίησεν ἐπειγόντως τὸν Ἰουλιανόν, νὰ μὴ τολμήσῃ νὰ μετακινήσῃ τὸν Ἅγιον ἀπὸ τὸ Μοναστήρι του.

Β'. Τοῦ Ἁγίου Μαξίμου.

ΔΙΑΚΟΝΟΥ λόγον ἐπέχει ὁ πρὸς τοὺς ἱεροὺς ἀγῶνας ἀλείφων τὸν νοῦν, καὶ τοὺς ἐμπαθεῖς λογισμοὺς ἀπελαύνων ἀπ' αὐτοῦ· Πρεσβυτέρου δέ, ὁ εἰς τὴν γνῶσιν τῶν ὄντων φωτίζων· Ἐπισκόπου δέ, ὁ τῷ ἁγίῳ μύρῳ τελειῶν τῆς γνώσεως τῆς προσκυνητῆς καὶ Ἁγίας Τριάδος.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ προετοιμάζει τὸν νοῦν του εἰς πνευματικοὺς ἀγῶνας καὶ ἀποδιώκει ἀπὸ τὴν ψυχήν του τοὺς αἰσχροὺς λογισμούς, εἶναι ὡς ὁ Διάκονος κατὰ τὴν θείαν λατρείαν· ἐκεῖνος, ποὺ διὰ τῆς γνώσεως τῶν ὄντων φωτίζει τὸν νοῦν του μὲ τὴν σκέψιν τοῦ Δημιουργοῦ, εἶναι ὡς ὁ Πρεσβύτερος· καὶ τέλος ὡς ὁ Ἐπίσκοπος εἶναι ἐκεῖνος, ποὺ ἀνάγεται εἰς τὸ ὕψος τῆς μυστικῆς γνώσεως τῆς προσκυνητῆς Ἁγίας Τριάδος, ἐπιστεγάζων οὕτω πᾶσαν γνῶσιν καὶ κατευωδιάζων τὴν ψυχήν του μὲ τὸ ἅγιον μύρον τῆς τοιαύτης γνώσεως.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Λουκᾶ τοῦ Νέου.

Ο ΤΗΣ Κορίνθου Πρόεδρος, εἰς τὴν βασιλίδα τῶν πόλεων ἀνιών, ἦλθε καὶ εἰς τὴν καλύβην τοῦ Ὁσίου Λουκᾶ, τοῦτον θέλων ἰδεῖν καὶ τὰς εὐχὰς αὐτοῦ εἰς ἐφόδιον κομίσασθαι.

2. Δεξάμενος οὖν αὐτὸν ὁ Ἅγιος περιχαρῶς, καὶ συγκαθεσθεὶς αὐτῷ, μετὰ καὶ ἄλλους λόγους, ἤρετο τὸν Ἀρχιεπίσκοπον λέγων· εἰπέ μοι, ὦ Δέσποτα, πῶς οἱ τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις διὰ πλῆθος ἁμαρτιῶν προσεδρεύοντες, τῶν θείων καὶ φρικτῶν μετέχοιμεν μυστηρίων; ὁρᾷς γὰρ ὅτι μὴ συνάξεων μόνον, ἀλλὰ καὶ Ἱερέως ἀπόρως ἔχομεν.

3. Ὁ δὲ τῆς ζητήσεως αὐτοῦ καὶ λίαν ἀποδεξάμενος, καλῶς, ἔφησε, Πάτερ, καὶ περὶ καλοῦ καὶ μεγίστου πράγματος ζητεῖς· τὸ γὰρ καλόν, οὐ καλόν, φασιν, ὅταν μὴ καλῶς γένοιτο.

4. Δεῖ τοιγαροῦν προηγουμένως μὲν παρεῖναι τὸν Ἱερέα· ἐκείνου δὲ κατὰ πᾶσαν ἀνάγκην ἀπόντος, ἐπὶ τῆς Ἁγίας Τραπέζης τιθέναι τῶν προηγιασμένων τὸ σκεῦος, ἐὰν εὐκτήριον ᾖ· εἰ δὲ κελλίον, ἐπὶ σκάμνου καθαρωτάτου.

5. Εἶτα καλυμμάτιον ἐφαπλώσας, ἐπ' αὐτῷ θήσεις τὰς ἁγίας μερίδας καὶ θυμίαμα καύσας, τοὺς τῶν τυπικῶν ψαλμούς, ἢ τὸ Τρισάγιον ἐπάσας, μετὰ τοῦ Συμβόλου τῆς Πίστεως, καὶ τρεῖς τὸ γόνυ κλίνας, τὰς μὲν χεῖρας συστελεῖς, μεθέξεις δὲ τῷ στόματι τοῦ τιμίου Σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων τὸ «Ἀμήν».

6. Ἀντὶ δὲ νάματος ποτήριον οἴνου πιῇ· τὸ μέντοι ποτήριον εἰς χρείαν ἑτέραν τὸ μετὰ ταῦτα οὐ κοινωθήσεται· τῷ καλυμματίῳ δὲ αὖθις τὰς ὑπολοίπους μερίδας συστελεῖς ἐν τῷ σκεύει, πᾶσαν εἰσφέρων ἀσφάλειαν, ὥστε μὴ ἐκπεσεῖν Μαργαρίτην, καὶ καταπατηθῆναι.

7. Ἤκουσεν ὁ μέγας, καὶ χάριν ἐπὶ τούτοις διωμολόγησεν.

Ἑρμηνεία

Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ τῆς Κορίνθου, ὅταν κάποτε μετέβαινεν εἰς τὴν Κωνσταντινούπολιν, διῆλθε καὶ ἀπὸ τὴν καλύβην

τοῦ Ὁσίου Λουκᾶ(¹), ἐπιθυμῶν νὰ τὸν ἴδῃ καὶ νὰ λάβῃ τὰς εὐχάς του.

2. Ὁ Ὅσιος Λουκᾶς τὸν ἐδέχθη μὲ μεγάλην χαρὰν καὶ ἀφοῦ ἐκάθισαν καὶ ἤρχισαν νὰ συζητοῦν, ἐρωτᾷ ὁ Ὅσιος Λουκᾶς, μεταξὺ ἄλλων, τὸν Ἀρχιεπίσκοπον:

—Εἰπέ μου, Δέσποτα, ἡμεῖς ποὺ διαμένομεν, διὰ τὰς πολλάς μας ἁμαρτίας, εἰς τὰ ὄρη καὶ τὰς ἐρημίας, πῶς εἶναι δυνατὸν νὰ μεταλαμβάνωμεν τῶν θείων καὶ φρικτῶν Μυστηρίων; Διότι, ὅπως βλέπεις, εἰς αὐτὸν τὸν ἔρημον τόπον, ὄχι μόνον λειτουργία δὲν ἠμπορεῖ νὰ γίνῃ, ἀλλὰ οὔτε Ἱερέα νὰ εὕρωμεν εἶναι δυνατόν!

3. Ὁ Ἀρχιεπίσκοπος, ἀφοῦ ἤκουσεν εὐχαρίστως καὶ μετ' ἐνδιαφέροντος τὸ ζήτημα τοῦ Ὁσίου Λουκᾶ, ἀπήντησε:

—Δίκαιον ἔχεις, Πάτερ μου, καὶ ζητεῖς νὰ πληροφορηθῇς περὶ ὠφελίμου καὶ σπουδαιοτάτου ζητήματος· διότι, ὅπως λέγει καὶ ἡ παροιμία, τὸ καλὸν δὲν εἶναι καλόν, ἐὰν δὲν πραγματοποιηθῇ μὲ καλὰ μέσα.

4. Ἄκουσε λοιπόν· πρέπει ὁπωσδήποτε νὰ παρευρίσκεται Ἱερεύς, διὰ νὰ τελῇ τὴν θείαν Λειτουργίαν. Ἐὰν ὅμως ἔκ τινος σοβαρᾶς ἀνάγκης δὲν εἶναι τοῦτο κατ' οὐδένα τρόπον δυνατόν, νὰ τοποθετῆτε, μετὰ πάσης εὐλαβείας, τὸ ἅγιον Ἀρτοφόριον τὸ περιέχον τὸν προηγιασμένον (κατὰ τὴν Μεγάλην Πέμπτην) Ἅγιον Ἄρτον ἐπὶ τῆς Ἁγίας Τραπέζης, ἐὰν ὑπάρχῃ εἰς τὸ κελλίον Ναός· ἐὰν ὅμως ὑπάρχῃ μόνον τὸ κελλίον, χωρὶς Ναόν, τότε τὸ ἅγιον Ἀρτοφόριον νὰ τοποθετῆται ἐπάνω εἰς καθαρώτατον σκαμνίον.

5. Μετά, ἀφοῦ ἁπλώσῃς πλησίον τοῦ ἁγίου Ἀρτοφορίου ἕνα μικρὸν κάλυμμα, νὰ βάλῃς ἐπάνω εἰς αὐτὸ τὰς ἁγίας μερίδας, νὰ θυμιάσῃς, νὰ ψάλῃς τοὺς ψαλμοὺς τῶν Τυπικῶν ἢ τὸν Τρισάγιον καὶ νὰ εἴπῃς τὸ Σύμβολον τῆς Πίστεως. Ἐν συνεχείᾳ νὰ κάμῃς τρεῖς μετανοίας, νὰ μαζέψῃς τὰς χεῖρας σου, καὶ μὲ τὸ στόμά σου, χωρὶς νὰ ἐγγίσῃς οὐδόλως τὰς χεῖρας, νὰ λάβῃς τὸ Σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, λέγων τὸ «Ἀμήν».

6. Ἀντὶ δὲ νάματος (Δεσποτικοῦ Αἵματος) νὰ πίῃς μικρὸν ποτήριον οἴνου. Μετὰ ὅμως ἀπὸ τὴν Ἁγίαν Μετάληψιν, τὸ ποτήριον αὐτὸ νὰ μὴ τὸ χρησιμοποιήσῃς δι' οὐδεμίαν ἄλλην βιοτικὴν ἀνάγκην. Ἀφοῦ μεταλάβῃς τοιουτοτρόπως, νὰ μαζεύσῃς προσεκτικῶς μὲ τὸ κάλυμμα τὰς ὑπολοίπους μερίδας καὶ νὰ τὰς τοποθετήσῃς εἰς τὸ ἅγιον Ἀρτοφόριον, μὲ μεγάλην προσοχήν, διὰ νὰ μὴ πέσῃ καὶ καταπατηθῇ κανεὶς Μαργαρίτης.

7. Ὁ Ὅσιος Λουκᾶς ἤκουσε μετ' ἐνδιαφέροντος τὰ ἀνωτέρω καὶ ηὐχαρίστησε θερμῶς, διὰ τὴν συμβουλήν, τὸν Ἀρχιεπίσκοπον.

---

1) Ὁ Ὅσιος Λουκᾶς ἠσκήτευε τότε εἰς τὸ ὄρος Ἰωάννιτρα τῆς Φωκίδος· βραδύτερον ἐγκατεστάθη εἰς τὸ Στείριον.



ΥΠΟΘΕΣΙΣ Μʹ

Ὅτι δεῖ τὸν ἀληθῆ ποιμένα πάντα κίνδυνον ὑπὲρ τῶν προβάτων προθύμως ὑφίστασθαι, καὶ σφόδρα τούτων ἐπιμελεῖσθαι.

Ὁ ἀληθινὸς Ποιμὴν πρέπει μετὰ προθυμίας νὰ ὑφίσταται κάθε κίνδυνον διὰ τὰ πρόβατά του καὶ νὰ φροντίζῃ ὁλοψύχως δι' αὐτά.

Αʹ. Ἐν τῷ Βίῳ τοῦ Ἁγίου Πέτρου Ἀλεξανδρείας.

ΤΟΥ Ἁγίου Πέτρου διαβληθέντος πρὸς τὸν δυσσεβῆ Διοκλητιανόν, ὡς πολλοὺς εἴη τῆς αὐτοῦ θρησκείας ἀφιστάς, καὶ πρὸς Χριστιανισμὸν ἐκκαλούμενος, ὁ τύραννος θυμοῦ πληρωθείς, ἄνδρας πέντε τριβούνους ἅμα τοῖς ὑπ' αὐτοὺς στρατιώταις ἀποστέλλει εἰς Ἀλεξάνδρειαν, τοῦτον ἀνελεῖν ἐπισκήψας· εἰ δέ τις ὑμῖν, φησιν, τῶν λεγομένων Χριστιανῶν ἀντιστῆναι πειράσοιτο, μηδοτιοῦν ἀναβαλλόμενοι, καὶ τούτους ξίφει διαχειρίσεσθε.

2. Ὡς οὖν παρῆσαν οἱ σταλέντες εἰς Ἀλεξάνδρειαν, τὸν μακάριον κατὰ τὴν Ἐκκλησίαν εὑρόντες διδάσκοντα, τὸ βασιλικὸν γνωρίζουσι πρόσταγμα. Ὁ δέ, οὐδὲ γὰρ ἐρίζειν ἢ κραυγάζειν ὅλως ἠπίστατο, προθύμως εἵπετο τοῖς ἐπιζητοῦσιν. Ὡς δὲ τοῦ πράγματος οἱ τῆς πόλεως ᾔσθοντο, εὐθὺς κατ' αὐτῶν πάντες κεκίνηντο.

3. Καὶ στάσεως οὐ μικρᾶς γενομένης, δείσαντες οἱ τριβοῦνοι, μὴ οὐκ εἰς καλὸν τὰ τῆς στάσεως αὐτοῖς ἀποβῇ, τότε μὲν τὸν Ἀρχιερέα παρὰ τῇ πλησίον οὔσῃ τῆς Ἐκκλησίας ἐμβάλλουσι φυλακῇ· ἡ δὲ πόλις πᾶσα πρὸ τῶν τῆς φυλακῆς θυρῶν διανυκτερεύουσα ἦν, ἅτε πολλῷ τῷ πρὸς τὸν διδάσκαλον ἐχόμενοι πόθῳ καὶ τὴν αὐτοῦ στέρησιν οὐδὲν θανάτου κουφοτέραν οἰόμενοι.

4. Ὡς δὲ πάλιν οἱ τριβοῦνοι προσελθόντες, ἅμα τοῖς ὑπ' αὐτοὺς στρατιώταις, τὸν Ἅγιον ἐξαγαγεῖν ἐπειρῶντο τῆς φυλακῆς, ἀνῦσαι τὸ προσταχθὲν ἐπειγόμενοι, περιστάντες αὐτοῖς ὁ λαός, οὐκ εἴων τὸν Ἀρχιερέα ἐκβληθῆναι τῆς φυλακῆς, πρότερον ἀποθανεῖν ἑτοίμως οὗτοι διατεινόμενοι, ἢ τὸν διδάσκαλον μεθεῖναι τοῖς ἀναιρεῖν βουλομένοις.

5. Καὶ τότε μὲν ἀπῆλθον ἄπρακτοι, τὴν ἐκ τοῦ πλήθους στάσιν ὑφορώμενοι· ἔπειτα διασκεψαμένοις τοῖς πεμφθεῖσι πῶς ἂν αὐτοῖς γένοιτο τῆς εἱρκτῆς τὸν Ἅγιον ἐκβαλεῖν, ἔδοξε καὶ βίαν ἐπαγαγεῖν, κἂν τινες ἀντιστῆναι θελήσαιεν, ξίφεσιν αὐτοὺς ἀνελεῖν.

6. Ὁ δὲ Πατριάρχης, γνοὺς τὸ τῶν τριβούνων βούλευμα, περὶ τοῦ λαοῦ δείσας μήποτε καὶ δι' αὐτὸν συμβῇ παραπολέσθαι τινάς, βουλὴν βουλεύεται νεανικήν, καὶ τῆς αὐτοῦ μεγάλης ἀξίαν ψυχῆς, δι' ἧς τὸ μὲν ποίμνιον ἀβλαβὲς διατηρηθείη, αὐτὸς δὲ μαρτυρικῷ τέλει καταλῦσαι τὸν βίον.

7. Καὶ προσκαλεσάμενος ἕνα τινὰ Γέροντα τῶν προσκαρτερούντων αὐτῷ,


+ Ὁ ἍΓΙΟΣ ΠΕΤΡΟΣ ἈΛΕΞΑΝΔΡΕΙΑΣ

πιστότατον ὄντα, καὶ εὐλαβείας μεταποιούμενον, τοῖς τριβούνοις δι᾽ αὐτοῦ γνωρίζει, κατὰ τὴν ἐπιοῦσαν νύκτα τοῖς νοτίοις τοῦ δεσμωτηρίου μέρεσι λάθρα παραγενέσθαι, προσέχειν τε τὸν νοῦν, καὶ οὗ ἂν αὐτὸς ἔσωθεν πατάξῃ τῇ βακτηρίᾳ, ἐκεῖσε τούτους ἔξωθεν τὸν τοῖχον καταντικρὺ τοῦ κρούσματος διορύξαι, δέξασθαί τε αὐτόν, καὶ οὕτως τὸ κεκελευσμένον παρὰ τοῦ ἀποστείλαντος ἐκπληρῶσαι.

8. Οἱ δὲ τοῦτο ἀκούσαντες, καὶ ἀσπασίως τὸν λόγον δεξάμενοι, ἐπιτελῆ τοῦτον ποιῆσαι ἠπείγοντο· καὶ μόνοι, στρατιωτῶν ἄνευ, λατόμους μεθ᾽ ἑαυτῶν λαβόντες, αὐτῆς νυκτὸς τὸν τόπον καταλαμβάνουσιν.

9. Ὧν τὴν παρουσίαν αἰσθόμενος ὁ μακάριος ἠρέμα τε εἰς τὸ ἐνδότερον μέρος τῆς φυλακῆς γενόμενος, ἔνθα δὴ καὶ λαθεῖν ἐδόκει τοῖς συνδεσμώταις τὸ δρώμενον, πατάσσει τὸν τοῖχον, κατὰ τὸ σύνθημα, δῆλον τὸν τόπον τοῖς ἔξωθεν ποιῶν· διὸ καὶ κατευθὺ τοῦ κρούσματος διορύττειν ἐπιχειρήσαντες, σὺν οὐδενὶ πόνῳ τὴν πάροδον ἐποιήσαντο.

10. Συμβὰν δέ τι καὶ ἄλλο, ἀφώρατον ἐποίει τὸ ἐνεργούμενον· ἅμα γὰρ ἐκεῖνοι τῆς ὀρυγῆς ἥψαντο, ἀνέμου πνεύσαντος βιαίου, ὄμβρος τε κατεῤῥάγη πολύς, θείᾳ Προνοίᾳ τὸν τοῦ Ἁγίου σκοπὸν τελειωθῆναι οἰκονομούσῃ, καὶ ὁ ἐξ αὐτῶν ἦχος τὸν κτύπον τοῦ σιδήρου, καὶ τῶν ἀποθραυομένων λίθων συνεκάλυπτε, καὶ τῶν ἀκοῶν διωθεῖτο, ὡς μηδένα τῶν Ἀλεξανδρέων φωρᾶσαι τὸ δρώμενον.

11. Οὕτως οὖν τοῦ τοίχου διατρηθέντος, εὐθὺς ὁ θεσπέσιος Πέτρος τοῖς συλλαβεῖν βουλομένοις ἑαυτὸν προσήκατο, τὸν ἴδιον κἀν τούτῳ διδάσκαλον ἐκμιμούμενος, ὃς κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, ἑαυτὸν μὲν παρεδίδου τοῖς θεοκτόνοις, τοῖς οἰκείοις δὲ μαθηταῖς τὴν ἄδειαν ἐχαρίζετο· «εἰ οὖν ἐμὲ ζητεῖτε», φησίν, «ἄφετε τούτους ὑπάγειν».

12. Τίθησιν οὖν ὁ καλὸς οὗτος ποιμὴν τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ συλληφθεὶς ὑπὸ τῶν ἀνελεῖν ἐπιτεταγμένων, εἰς τὸν τῆς τελειώσεως τόπον ἀπάγεται, κἀκεῖ τὸ μαρτυρικὸν τέλος δέχεται οὕτω.

13. Πρῶτον μὲν εἰς γόνατα κλιθείς, καὶ τὰς χεῖρας ἐκτείνας, καὶ ἤδη βλέψας εἰς τὸν οὐρανόν, τὴν εὐχαριστίαν ἔπεμψε τῷ Θεῷ· εἶθ᾽ οὕτω τῷ τοῦ Σταυροῦ σημείῳ ὅλον ἑαυτὸν κατασφραγισάμενος, καὶ τὸ Ἀμὴν ἐπειπών, ἐκδίδωσιν ἑαυτόν, ὑποχαλάσας ὃ περιεβέβλητο ὠμοφόριον. καὶ γυμνώσας τὸν τράχηλον, τὴν κεφαλήν τε προτείνας, ἐκάλει πρὸς τὴν τομήν.

14. Οἱ δὲ καὶ τὴν τοῦ θανάτου τόλμην ὁρῶντες καὶ τὴν τοῦ ἀνδρὸς ἀρετὴν δυσωπούμενοι, οἷα τὰς χεῖρας πεπεδημένοι, προσεῖχον ἀλλήλοις, τῷ πλησίον ἕκαστος διενεργῆσαι τὴν σφαγὴν ἐπινεύοντες.

15. Πάντων δὲ τὴν ὑπουργίαν ἀπαγορευόντων καὶ ὀκνούντων τὴν ἐπιχείρησιν, σφόδρα γὰρ αὐτοὺς εἷλεν ἡ τοῦ ἀνδρὸς ἀρετή, μηχανῶνταί τι τοιοῦτον, ὥστε χρυσοῦς ἕκαστον πέντε καθεῖναι· τούτους δὲ ἀποκληρωθῆναι τῷ τὴν τομὴν ἐνεργήσαντι· οὗ δὴ γενομένου, καὶ ἑνός, τοῦ ἔχοντος, δανείσαντος καὶ τοῖς ἄλλοις, ὁ πλείονα τῷ χρυσῷ τὴν ῥοπὴν διδούς, ἀνελόμενος τὰ καταβληθέντα, τὴν ἐκτομὴν ἐνεργεῖ, καὶ τέμνει τὴν θείαν ὄντως ἐκείνην καὶ μαρτυρικὴν κεφαλήν.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Πέτρος κατηγορήθη εἰς τὸν ἀσεβῆ Διοκλητιανόν, ὅτι ἀπεμάκρυνε πολλοὺς ἐκ τῆς εἰδωλολατρικῆς θρησκείας καὶ τοὺς προσείλκυσεν εἰς τὸν Χριστιανισμόν. Θυμωμένος τότε ὁ τύραννος καλεῖ πέντε ἀξιωματικοὺς καὶ τοὺς στέλλει, μαζὶ μὲ τοὺς στρατιώτας των, εἰς Ἀλεξάνδρειαν, διατάξας αὐτοὺς νὰ φονεύσουν τὸν Ἅγιον Πέτρον. «Ἐὰν δέ—εἶπε πρὸς αὐτούς—κανεὶς ἐκ τῶν λεγομένων Χριστια-

νῶν, ἀποτολμήσῃ νὰ σᾶς ἀντισταθῇ, νὰ τὸν φονεύσετε καὶ αὐτὸν μὲ τὸ ξίφος σας, χωρὶς κανένα δισταγμόν».

2. Ὅταν λοιπὸν ἔφθασαν οἱ ἀπεσταλμένοι εἰς τὴν Ἀλεξάνδρειαν, εὑρῆκαν τὸν μακάριον Πέτρον εἰς τὴν Ἐκκλησίαν νὰ διδάσκῃ καὶ τοῦ γνωστοποιοῦν τὴν βασιλικὴν διαταγήν. Ὁ Ἅγιος Πέτρος τότε, χωρὶς καθόλου νὰ διαμαρτυρηθῇ ἢ νὰ φωνάξῃ, ἠκολούθησε μετὰ προθυμίας αὐτοὺς ποὺ τὸν ἀναζητοῦσαν. Μόλις ὅμως ἀντελήφθησαν τὸ γεγονὸς οἱ κάτοικοι τῆς πόλεως, ἐξηγέρθησαν ἀμέσως ὅλοι ἐναντίον τῶν βασιλικῶν ἀπεσταλμένων.

3. Ἐγένετο τότε μεγάλη σύγχυσις εἰς Ἀλεξάνδρειαν, ἐγγίζουσα τὰ ὅρια τῆς ἐπαναστάσεως· φοβηθέντες δὲ οἱ τριβοῦνοι μήπως αὐτὴ ἡ στάσις δὲν ἔχει καλὰ ἀποτελέσματα δι' αὐτούς, ἐνέκλεισαν τὸν Ἀρχιερέα εἰς τὴν πλησίον τῆς Ἐκκλησίας εὑρισκομένην φυλακήν. Μετὰ τὴν φυλάκισιν ὁλόκληρος ἡ πόλις διενυκτέρευσε πρὸ τῶν θυρῶν τῆς φυλακῆς, ἐπειδὴ ἔτρεφον ἀπέραντον σεβασμὸν πρὸς τὸν διδάσκαλον, καὶ ἐκ τοῦ πόθου αὐτοῦ ἐθεώρουν τὴν στέρησίν του θλῖψιν οὐχὶ ἐλαφροτέραν τοῦ θανάτου.

4. Ὅταν, τὴν ἑπομένην ἡμέραν, προσῆλθον οἱ βασιλικοὶ ἀπεσταλμένοι μαζὶ μὲ τοὺς στρατιώτας καὶ ἐπεχείρησαν νὰ βγάλουν τὸν Ἅγιον ἀπὸ τὴν φυλακήν, διότι ἐβιάζοντο νὰ ἐκτελέσουν τὸ βασιλικὸν πρόσταγμα, τοὺς ἐκύκλωσεν ὁ λαὸς καὶ δὲν ἄφηναν νὰ βγάλουν ἔξω ἀπὸ τὴν φυλακὴν τὸν Ἀρχιερέα, λέγοντες ὅτι ἦσαν ἕτοιμοι νὰ ἀποθάνουν προηγουμένως, παρὰ νὰ ἀφήσουν τὸν διδάσκαλόν των εἰς τὰς χεῖρας ἐκείνων, ποὺ ἐσκόπευον νὰ τὸν φονεύσουν.

5. Καὶ τότε μὲν ἀπεχώρησαν οἱ βασιλικοὶ ἀπεσταλμένοι καὶ οἱ στρατιῶται ἄπρακτοι, φοβηθέντες μήπως ἡ ἀντίστασις αὐτὴ ἐξελιχθῇ εἰς ἐπανάστασιν. Ἐν συνεχείᾳ ἔκαμαν συμβούλιον, μὲ ποῖον τρόπον θὰ ἦτο δυνατὸν νὰ βγάλουν τὸν Ἅγιον ἀπὸ τὴν φυλακήν. Κατὰ τὸ συμβούλιον αὐτὸ ἀπεφάσισαν νὰ χρησιμοποιήσουν βίαν διὰ τὴν ἐκτέλεσιν τοῦ βασιλικοῦ προστάγματος καί, ἀκόμη, νὰ φονεύσουν μὲ τὰ ξίφη των ὅσους θὰ θελήσουν νὰ ἀντισταθοῦν.

6. Ὅταν ὁ Πατριάρχης ἔμαθε τὴν ἀπόφασιν τῶν βασιλικῶν ἀπεσταλμένων, φοβηθείς, μήπως, ἐξ αἰτίας του, χαθοῦν ἄνθρωποι τοῦ ποιμνίου του, λαμβάνει μίαν ἀπόφασιν νεανικὴν καὶ ἀξίαν τῆς μεγάλης του ψυχῆς, διὰ τῆς ὁποίας καὶ τὸ ποίμνιον οὐδεμίαν βλάβην θὰ ὑφίστατο καὶ αὐτός, ὅπως ἐπεθύμει, θὰ ἐτελείωνε τὴν ζωήν του μὲ μαρτυρικὸν θάνατον.

7. Ἀμέσως λοιπὸν καλεῖ πλησίον του ἕνα γέροντα, ἀπὸ αὐτοὺς ποὺ πρὸς χάριν του ἐπερίμεναν ἔξω ἀπὸ τὰς φυλακὰς καὶ ὅστις διεκρίνετο διὰ τὴν πίστιν του καὶ τὴν πρὸς αὐτὸν εὐλάβειαν. Μὲ τὸν ἀφωσιωμένον αὐτὸν γέροντα παραγγέλλει εἰς τοὺς βασιλικοὺς ἀπεσταλμένους, νὰ ἔλθουν τὴν ἐρχομένην νύκτα εἰς τὰ νότια μέρη τῆς φυλακῆς καὶ ἐκεῖ νὰ ἔχουν τὸν νοῦν τους· θὰ κτυπήσῃ, μὲ τὴν ῥάβδον του

ἀπὸ μέσα τὸν τοῖχον. Ὅπου λοιπὸν ἀκούσουν τὸν κτύπον, ἐκεῖ νὰ τρυπήσουν τὸν τοῖχον· ἀπὸ ἐκεῖ θὰ ἐξέλθῃ διὰ νὰ τὸν παραλάβουν καὶ τοιουτοτρόπως νὰ ἐκπληρώσουν τὴν ἀνατεθεῖσαν εἰς αὐτοὺς ἐντολήν.

8. Ὅταν οἱ βασιλικοὶ ἀπεσταλμένοι ἐπληροφορήθησαν τὸ σχέδιον αὐτὸ τοῦ φυλακισμένου Ἀρχιερέως, ἐχάρησαν πάρα πολὺ καὶ ἐβιάζοντο νὰ τὸ ἐκτελέσουν. Πράγματι κατὰ τὴν ἐρχομένην νύκτα οἱ τριβοῦνοι παραλαμβάνουν μαζί των μερικοὺς εἰδικοὺς ἐργάτας καί, χωρὶς τὴν συνοδείαν στρατιωτῶν, ἔρχονται καὶ ἀναμένουν εἰς τὸν ὑποδειχθέντα τόπον.

9. Ὅταν τοὺς ἀντελήφθη ὁ μακάριος Πέτρος, ἤρεμα καὶ χωρὶς ταραχὴν ἔρχεται εἰς τὸ ἀκρότατον σημεῖον τῆς φυλακῆς, ὅπου θὰ διέφευγε καὶ τῆς προσοχῆς τῶν συγκρατουμένων, καὶ ἐκεῖ, κατὰ τὰ συμφωνηθέντα, κτυπᾷ συνθηματικῶς τὸν τοῖχον. Ἀμέσως τότε οἱ ἀναμένοντες ἔξω ἀντελήφθησαν τὸ σημεῖον, ποὺ εὑρίσκετο ὁ Ἅγιος καὶ ἤρχισαν νὰ τρυποῦν τὸν τοῖχον. Οὕτω, χωρὶς κόπον, ἤνοιξαν δίοδον, διὰ νὰ περάσῃ ὁ Ἅγιος.

10. Ἐν τῷ μεταξὺ καὶ ἕνα ἄλλο συμβὰν ἀπέκρυπτεν ἀπὸ τοὺς ἄλλους ἀνθρώπους αὐτὸ ποὺ ἐγίνετο. Ἰδοὺ τὶ συνέβη. Ὅταν οἱ ἐργάται ἤρχισαν νὰ τρυποῦν τὸν τοῖχον, ἤρχισε νὰ φυσᾷ ἕνας δυνατὸς ἄνεμος καί, κατὰ θείαν Πρόνοιαν, ἐξοικονομοῦσαν τὰς περιστάσεις διὰ τὴν ἐκπλήρωσιν τοῦ σκοποῦ τοῦ Ἁγίου, ἔπεσε πολλὴ βροχή. Οὕτω ὁ ἦχος τοῦ ἀνέμου καὶ τῆς βροχῆς ἔπνιγε τὸν θόρυβον τοῦ σιδήρου καὶ τῶν ἀποθραυομένων λίθων, ἔφραζε δὲ τὰ αὐτιά, ὥστε κανεὶς ἀπὸ τοὺς Ἀλεξανδρεῖς νὰ μὴ ἀντιληφθῇ αὐτὸ ποὺ ἐγένετο.

11. Τοιουτοτρόπως λοιπόν, ἀφοῦ ἐτρύπησεν ὁ τοῖχος, ἀμέσως ὁ θεσπέσιος Πέτρος παρεδόθη εἰς τοὺς ἐπιθυμοῦντας νὰ τὸν συλλάβουν, ἀπομιμούμενος καὶ ἐδῶ τὸν διδάσκαλόν του, τὸν Σωτῆρα Χριστόν, ὁ ὁποῖος κατὰ τὴν ἐποχὴν τοῦ σωτηρίου Πάθους παρεδόθη μὲν ὁ ἴδιος εἰς τοὺς θεοκτόνους σταυρωτάς του, ἐξησφάλισε δὲ τὴν ἀκίνδυνον ἀποχώρησιν εἰς τοὺς μαθητάς του, εἰπὼν πρὸς τοὺς συλλαβόντας Αὐτόν· «ἐάν, λοιπόν, ζητῆτε ἐμένα, ἀφήσατε τούτους νὰ φύγουν» (Ἰωάν. ιη' 8).

12. Θυσιάζει λοιπὸν ὁ καλὸς αὐτὸς ποιμὴν τὴν ζωήν του χάριν τῆς σωτηρίας τῶν προβάτων, καὶ ἀφοῦ συνελήφθη ἀπὸ τοὺς διαταχθέντας νὰ τὸν φονεύσουν, ὁδηγεῖται εἰς τὸν τόπον τοῦ μαρτυρίου καὶ ἐκεῖ δέχεται τὸν μαρτυρικὸν θάνατον, ὡς ἑξῆς:

13. Κατ' ἀρχὴν ἐγονάτισεν, ὕψωσε τὰς χεῖρας του καὶ ἀφοῦ ἀνέβλεψε μὲ γλυκύτητα πρὸς τὸν οὐρανόν, ηὐχαρίστησε θερμῶς τὸν Θεόν. Ὕστερον, ἀφοῦ ἐσφραγίσθη ὁλόκληρος μὲ τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ καὶ εἶπε τὸ «Ἀμήν», ἐχαλάρωσεν ὀλίγον τὸ ὠμοφόριον ποὺ ἐφόρει, ἀπεγύμνωσε τὸν τράχηλόν του καὶ κύπτων τὴν κεφαλήν του ἐφώναξε τὸν δήμιον νὰ τὸν ἀποκεφαλίσῃ.

14. Βλέποντες τὴν τολμηρὰν ἀφοβίαν του πρὸς τὸν θάνατον οἱ παριστάμενοι στρατιῶται, καὶ καταπλαγέντες ἀπὸ τὴν ἀρετὴν τοῦ ἀν-

δρός, ἐντροπιάστηκαν· οὕτως, ὡς νὰ ἦσαν δεμέναι αἱ χεῖρες των, ἐκοίταζε ὁ ἕνας τὸν ἄλλον, καὶ ὁ καθένας ἔκαμε εἰς τὸν πλησίον του νόημα, διὰ νὰ ἐκτελέσῃ τὸν ἀποκεφαλισμόν.

15. Ἐπειδὴ δὲ κανεὶς δὲν ἀπεφάσιζε νὰ ἐκτελέσῃ τὴν θανατικὴν ἀπόφασιν καὶ ὅλοι ἀπέφευγον τὴν ἐνέργειαν αὐτήν, (διότι πάρα πολὺ κατεπλάγησαν ἀπὸ τὴν ἀρετὴν τοῦ Ἁγίου), σοφίζονται τὸ ἑξῆς τέχνασμα: Ἕκαστος ἐκ τῶν στρατιωτῶν κατέθεσε πέντε χρυσᾶ νομίσματα· ἀπεφασίσθη δὲ ὅπως λάβῃ αὐτὰ ἐκεῖνος, ποὺ θὰ ἀπεκεφάλιζε τὸν Ἅγιον. Πράγματι, ἀφοῦ κάποιος ἐδάνεισε καὶ ὅσους δὲν εἶχον ἐκείνην τὴν στιγμήν, ἔλαβεν ἕνας φιλοχρήματος τὰ χρήματα καὶ ἀποτέμνει τὴν θείαν ἐκείνην καὶ μαρτυρικὴν κεφαλήν.

Β'. Ἐν τῷ Βίῳ τοῦ Ἁγίου Ἀβραμίου.

ΕΤΕΛΕΥΤΗΣΕΝ ἀδελφὸς κατὰ σάρκα τῷ Ἀβραμίῳ· ἐτελεύτησε δὲ ἐπὶ θυγατρί, οὐ πλεῖον οὔσῃ ἐτῶν ἑπτά· ταύτην οὖν οἱ προσήκοντες λαβόντες, ἐτεθνήκει γὰρ ἤδη καὶ ἡ μήτηρ, ἄγουσι παρὰ τὸν πρὸς πατρὸς θεῖον, τὸν θεῖον ὄντως Ἀβράμιον

2. Ὁ δὲ τὴν παῖδα τῆς πολλῆς ἐκείνης νεότητος καὶ ὀρφανίας κατελεήσας, ὑποδέχεται χερσὶν ὑπτίαις αὐτήν, ἀπονέμει τε αὐτῇ τὸν ἔξω τοῦ κελλίου οἰκίσκον, καὶ ἣν τὸ λοιπὸν ἐπ' αὐτὴν ὑπὸ θυρίδος προκύπτων, γραφάς τε αὐτὴν τὰς ἱερὰς ἐκπαιδεύων, καὶ τὴν ὁδὸν τῆς σωτηρίας ὑποδεικνύων, καὶ πρὸς τοὺς πνευματικοὺς διεγείρων ἀγῶνας.

3. Καὶ ὅλως καθάπερ τις ἀετὸς ἦν, ἀνέχων τὸ πτερὸν τὸ νεοττίον, συνεπικουφίζων τε, καὶ διαβαστάζων, καὶ τέμνων σὺν αὐτῇ τὸν ἀέρα, καὶ οὕτω πρὸς τὸ τῆς ἀρετῆς ὕψος διδάσκων αὐτὴν ἵπτασθαι.

4. Ἡ δὲ καὶ σφόδρα ἔτι νεάζουσα, ὅμως ἐπεδίδου πρὸς ταῦτα, καὶ μείζονα πολλῷ τῆς ἡλικίας τὴν ἀρετὴν ἐπεδείκνυτο· ἐφ' ᾗς ἠγάλλετο μὲν τὰ σπλάγχνα καὶ τὴν καρδίαν ὁ Ἀβράμιος, ἔχαιρον δὲ καὶ πάντες οἱ βλέποντες, ὅτι ἐν ἡλικίᾳ τοιαύτῃ, τοσαύτην εἶχε περὶ τὰ πνευματικὰ εὐδοκίμησιν.

5. Ἐν τούτοις οὖν αὐτῆς οὔσης, καὶ οὕτω θαυμαζομένης, καὶ εἰς εἰκοστὸν ἤδη ἔτος γεγονυίας, ἀνήρ τις Μοναχὸς μὲν τὸ σχῆμα, τὴν δὲ γνώμην φθόρος καὶ μιαρός, κατὰ φιλίας νόμῳ τῷ μακαρίῳ φοιτῶν, καὶ ὀφθαλμοῖς αὐτὴν ἰδὼν ἀκολάστοις, ἄτοπον οὐκ οἶδά πως ἔρωτα καὶ αὐτῇ ἐμποιεῖ τῆς πρὸς αὐτὸν ὁμιλίας.

6. Ἡ δὲ ἀναγκαζομένη ὑπὸ τοῦ ἀκολάστου τούτου ἔρωτος, ἐξάγει διὰ τῆς θυρίδος ἑαυτήν, καὶ συγγενομένη τῷ μιαρῷ ἐκείνῳ ἐπλήγη τὴν ψυχὴν εὐθέως.

7. Και σφοδρῶς ἐπὶ τοῖς τολμηθεῖσι κατανυγεῖσα, περιπαθῶς ἄγαν ἑαυτὴν ὠλοφύρετο· «οὐαί μοι, ἐγὼ ἡ δειλαία» βοῶσα· «οὐαί μοι, εἰς τὸν τοῦ Θεοῦ μου ναὸν ἐξυβρίσασα, φεῦ μοι τῇ ταλαιπώρῳ! φεῦ μοι τῇ πασῶν ἀθλιωτάτῃ γυναικῶν, ὅτι τὰς πρὸς Θεὸν συνθήκας ἠθέτησα, ὅτι πάντα τὸν ἔμπροσθεν τῆς ἀσκήσεως χρόνον βραχυτάτης ἡδονῆς ἀπεδόμην».

8. «Ποίοις ὀφθαλμοῖς εἰς τὸν οὐρανὸν ἀτενίσω, τυφλώττοντας αὐτοὺς ἀκολάστοις βλέμμασιν ἔχουσα; χείλη δὲ ποῖα κινήσω πρὸς ἱκεσίαν, ἀκολάστοις αὐτὰ μιάνασα, καὶ ῥήμασι, καὶ φιλήμασι; Μετὰ ποίας δὲ παῤῥησίας τῇ θυρίδι προσέλθω, καὶ τῷ θείῳ προσομιλήσω, ἡ τὰς ἐκείνου ἐντολὰς ἀθετήσασα, ἡ ἐναγής, καὶ φαύλη, καὶ μιαρά, καὶ σῶμα ῥυπωθεῖσα, καὶ τὴν ψυχήν;»

9. «Οἴμοι! τίς γένωμαι; ποῖ τράπωμαι; ἵνα τί ἔτι περίειμι; ὤφελον ἐπῆλθέ μοι πρὸ τῆς ἐπιθυμίας ὁ θάνατος, ἵνα κἂν θανάτου δῶρον εἶχον τὴν ἁγνείαν τοῦ

σώματος· νῦν δὲ ποῖαί με πηγαὶ δακρύων, τὸν τοσοῦτον ἀποπλύναι μοι ῥύπον δυνήσονται;

10. Ταῦτα καὶ τὰ τοιαῦτα πικρῶς ἀποδυρομένην, ἁρπάζει δι' ἀμετρίαν λύπης ὁ πονηρὸς αὐτὴν εἰς ἀπόγνωσιν· καὶ ἀπογνοῦσα τῆς ἑαυτῆς σωτηρίας, εἰς Ἀΐσόν τινα πόλιν ἀποδιδράσκει, ὁδῶν ἡμερῶν δύο ἀπέχουσαν, καὶ πρός τινι καταλύσασα πανδοχείῳ, τὸ σχῆμά τε διαμείψασα, καὶ κοσμικὴν ἐσθῆτα μεταβαλοῦσα, πρόχειρος ἦν τῷ βουλομένῳ παντὶ πικρᾶς ἡδονῆς ὑπηρέτις.

11. Οὕτως οὖν ἐκείνης ἐχούσης, τῷ Ἁγίῳ εἰς τὸν ἐνδότερον οἰκίσκον ἡσυχάζοντι γίνεται ὄναρ τοιοῦτον· ἐδόκει αὐτῷ δράκων μεγέθει μέγιστος, καὶ δεινὸν ὑποβλέπων, τῶν οἰκείων φωλεῶν ἀνερπύσας, παρὰ τὸν αὐτοῦ οἰκίσκον, περιστερὰν ἔνδον οὖσαν καταπιεῖν, εἶτα πρὸς χειραμοὺς αὖθις τοὺς ἑαυτοῦ καταδῦναι.

12. Διϋπνισθεὶς οὖν ἐκεῖνος ὑπὸ τοῦ δείγματος, ἄθυμος ἦν, καὶ τεταραγμένος· μὴ ἔχων δὲ συμβαλεῖν εἰς ὅ,τι συντείνει τὸ ὅραμα, ἐδέετο τοῦ Θεοῦ ἐκκαλυφθῆναι αὐτῷ σαφῶς τὰ τῆς ὄψεως.

13. Ἐδόκει οὖν ἐν τῇ ἐπιούσῃ νυκτὶ τὸν δράκοντα πάλιν ἐκεῖνον ὁρᾶν, ἐκεῖθεν ὅπου κατέδυ πρότερον ἀναδύντα, καὶ παρ' αὐτὸν ἑρπύσαντα, τοῖς αὐτοῦ τε ποσὶ τὴν κεφαλὴν ὑποσχόντα, τὸν μὲν αὐτίκα μάλα διαρραγῆναι, τὴν δὲ περιστεράν, ἣν κατέπιε πρότερον, ἄῤῥυπον ὅλην καὶ καθαράν, ἐκ μέσης αὐτοῦ τῆς γαστρὸς ἀναπτῆναι.

14. Ταῦτα ἰδών, καί τινα κρίνας τῆς ἀνεψιᾶς ὄλισθον ψυχῆς ὑποφαίνειν τὴν θέαν, θορύβου τε καὶ ἀθυμίας εὐθέως ὑποπλησθείς, τῆς θυρίδος προκύψας, Μαρία μου, Μαρία μου, φησίν· τί σοι, ὦ τέκνον, ἐστί, τὸ ῥᾳθυμίαν ἐμποιῆσαν τοσαύτην καὶ παρ' ὅλας δύο ταύτας ἡμέρας, μὴ στόμα κινῆσαι πρὸς αἴνεσιν; μὴ προσελθεῖν τῇ θυρίδι καὶ διδασκαλίαν αἰτῆσαι, ἣ γλυκύτερον ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί σου καθίστατο;

15. Ταῦτα πρὸς τὴν ἀνεψιὰν δῆθεν εἰπών, καὶ μηδὲν παρ' αὐτῆς ἀκούσας, πῶς γὰρ ἐκείνης ἐν πανδοχείῳ περὶ ἔρωτας καὶ μώμους ἀσχολουμένης; ἔγνω σαφῶς τὴν ὄψιν περὶ αὐτῆς ὑπαινίττεσθαι.

16. Καὶ παραχρῆμα τὰ σπλάγχνα ὑπεραλγήσας, καὶ στεναγμὸν οἱονεί τινα καπνὸν τῆς ἔνδοθεν φλογὸς ἀναπέμψας, ἐδεῖτο τοῦ Θεοῦ τὸ λοιπόν, ὥστε ἀνανῆψαι πάλιν αὐτήν, καὶ εἰς τὴν προτέραν ἐλθεῖν εὐδοκίμησιν. Ἐπὶ δυσὶ μὲν οὖν ἔτεσιν ἐδεῖτο τοῦ Θεοῦ περὶ αὐτῆς, ἡ γὰρ διπλῆ τοῦ ὀνείρατος ὄψις, τὸ τοῦ χρόνου διετὲς ὑπεσήμαινε.

17. Περὶ τὴν τοῦ δευτέρου ἔτους τελευτήν, ἐπάνεισί τις τῶν φίλων, ὃν ἐκεῖνος κατὰ ζήτησιν τῆς ἀνεψιᾶς ἀπέστειλεν, ὅποι τε καὶ ἡ κόρη διατρίβει, καὶ παρὰ τίνι καὶ ὅπως, σαφῶς πάντα μηνύων τῷ Ἀβραμίῳ καὶ παραχρῆμα μηδὲν ἐκεῖνος ἀναβαλλόμενος, ἀλλὰ μακρὰν χαίρειν εἰπὼν καὶ γήρᾳ, καὶ ἀσκήσει, καὶ ἡσυχίᾳ, καὶ Μοναχικῷ σχήματι, καὶ κινήματι, ὅπως ψυχὴν ἐξελκύσῃ τοῦ διαβόλου.

18. Καὶ στρατιωτικὴν μὲν χρησάμενος στολήν, ἐνθέμενος δὲ τῷ κόλπῳ νόμισμα ἕν, τοσούτου γὰρ ἔτυχεν εὐπορῶν, ἵππον τε μισθωσάμενος, καὶ τούτῳ τάχος ἐπιβάς, τῆς ἐπὶ τῷ πανδοχείῳ φερούσης ἥψατο, κατὰ τὸν πρῶτον καὶ οὗτος Ἀβραάμ, ὃς κατὰ τῶν πέντε βασιλέων ἐκστρατεύσας, τὸν αὐτοῦ ἀδελφιδοῦν Λὼτ τῆς αἰχμαλωσίας ἀνέσωσε.

19 Καταλαβὼν τοίνυν τῷ πανδοχείῳ ὁ Ἀβράμιος, καὶ χρόνον τινὰ ἐν αὐτῷ προσμείνας, ὡς οὐδαμοῦ τὴν ἀνεψιὰν ἠδύνατο θεάσασθαι, (τοσοῦτον γὰρ ἐκείνη σώφρονας ὀφθαλμοὺς ἐφυλάττετο, ὅσῳ τοὐναντίον λίχνοις καὶ ἀκολάστοις ἐπέτρεχεν), ἐπινοεῖταί τι πρᾶγμα, ὃ καὶ μόνον δύναται παραστῆσαι τὸν πολὺν αὐτοῦ ζῆλον, καὶ ὅπως ὑπὲρ τοῦ σῶσαι ψυχὴν οὐδενὸς τὸ παράπαν ἀπείχετο.

20. Πλάττεται μὲν γὰρ ἐραστοῦ, καὶ σχῆμα καὶ τρόπον, ὁ μικροῦ τῆς τῶν Ἀγγέλων ἁπτόμενος ἀϋλίας, ἐρωτά τε σαρκικὸν ἐρᾶν ὑποκρίνεται, καὶ ἠρέμα τῷ πανδοχεῖ προσελθών, ἀκούω κόρην τινὰ παρὰ σοί, φησι, κάλλει περιφανῶς δια-

λάμπουσαν, τοῦ πανδοχείου προϊσταμένην ἑταιρικῶς τοὺς βουλομένους εἰσδέχεσθαι· ταύτην κἀγὼ τοίνυν ἐρῶν ἀφικόμην.

21. Καὶ ὁ πανδοχεὺς πρὸς τὴν πολιὰν βλέψας τοῦ Ἀβραμίου, ἐμυσάττετο μὲν αὐτὸν τῇ ψυχῇ καὶ πολλὴν ἀκολασίαν αὐτοῦ καὶ ἀσέλγειαν κατεγίνωσκεν, ὅτι μηδ' ἐν γήρᾳ τοσούτῳ καὶ πολιᾷ σωφρονεῖν ἀνέχοιτο, ὅμως δὲ μὴ τῶν ἐπὶ τῇ κόρῃ μισθῶν ἀποστερείη, διερεθίζειν δῆθεν ἐδόκει καὶ εἰς ἐπιθυμίαν πλείονα ἐκκαίειν τὸν Ἅγιον τὸ κάλλος αὐτῆς ὑπερεπαινῶν.

22. Ὁ δὲ τὸ νόμισμα τοῦ κόλπου ἐξαγαγών, δίδωσι τῷ πανδοχεῖ, δεῖπνόν τε παραθεῖναι, καὶ τὴν κόρην ἐπὶ τὸ δεῖπνον ἐξαγαγεῖν ἐπιτρέπει. Ὁ δὲ πολυτελῶς εὐτρεπίσας τὸ δεῖπνον, ἐξάγει τὴν κόρην, θρυπτικῶς εὖ μάλα καὶ ἁβρῶς ἔχουσαν· ἣν ἰδὼν οὕτως ἑταιρικῶς διεσκευασμένην Ἀβράμιος, μέσην τιτρώσκεται τὴν καρδίαν, καὶ σιγῇ μὲν ἐπέχει τὰ δάκρυα, μὴ φυγαδεύσωσι τὴν κόρην τὸ δρᾶμα μυνήσαντα.

23. Τὰ δὲ ὅμως στῆσαι τὴν ῥοὴν οὐκ ἠδύνατο, νικώμενα τῇ τοῦ πάθους ἀνάγκῃ· ὅθεν ἐδάκρυεν ἀστακτί, τὸ πρόσωπον ἐπὶ θ ἱτερα στρέφων, καὶ τὰ δάκρυα τῶν παρειῶν ἀπωθούμενος· ἵνα δὲ κλέψῃ πᾶσαν ἐπὶ τούτῳ ὑπόνοιαν, καὶ λόγους αὐτῇ προσῆγεν ἑταιρικούς, ἐνένευέ τε, καὶ ἡδὺ προσεγέλα, καὶ ἄλλα πάντα ἐποίει, ὅσαπερ ἀναφλέξαι πρὸς ἔρωτα δύναται.

24. Κἀκείνη πάλιν ἀντεπῆγεν Ἀβραμίῳ τὸ φίλημα· ἐν τούτῳ δὲ τῆς ἀποζούσης τῶν ἁγνῶν τε καὶ ἀσκητικῶν μελῶν εὐωδίας ἠρέμα ὑπαισθομένη, τῆς τε προτέρας πολιτείας ἀναμνησθεῖσα, καὶ τοῦ τῆς ἁγνείας καλοῦ, καὶ οἵων ἡ δυστυχὴς ἐξέπεσεν ἀγαθῶν, ἐδάκρυε μάλα θερμὸν καὶ ὑπέστενε, καί, οὐαί μοι, ἔλεγε, τῇ ἀθλίᾳ! οὐαί μοι τῇ τοσούτων ἁμαρτημάτων σχοινία περικειμένῃ· οἴμοι, τί δράσω; πῶς ἂν με νῦν καὶ ἡ γῆ καταπίῃ;

25. Πρὸς ταῦτα δείσας ὁ ἱερὸς Ἀβράμιος μὴ καὶ αὐτὸς γένηται δῆλος, εἶτα φυγὰς οἴχοιτο ἡ ἀνεψιὰ ὑπὸ τῆς πολλῆς ἐκείνης μεταμελείας, καὶ πᾶσαν διὰ τοῦτο βουλόμενος ἀνελεῖν ὑποψίαν, εἰς αὐθαδέστερον ἐραστοῦ τρόπον μεταβαλὼν ἔασον, ἔλεγεν, ἐπίσχες τὰ σκυθρωπὰ ταυτί, γύναι, οὐ γὰρ ἐπὶ τούτῳ συνήλθομεν, ὥστε τήμερον ἀναμνησθῆναι τῶν πεπραγμένων.

26. Καὶ πρὸς τὸν πανδοχέα λοιπὸν ἐπιστρέψας, ἑταῖρε, πότον ἡμῖν καὶ αὖθις τινὰ συγκρότησον, ἔφη, ὅπως ἀμφότεροι συνησθῶμεν· πόῤῥῳ γάρ, ὡς ὁρᾷς, πάρειμι δι' αὐτήν.

27. Τοῦ πότου τοίνυν πολυτελῶς τελεσθέντος, ὁ παρ' ὅλους πεντήκοντα χρόνους μηδὲ γυναικὸς ἀνασχόμενος ὄψιν, μηδὲ ἄρτου ποτέ, μηδὲ ὕδατος τῶν ἀναγκαίων μετασχὼν ἄχρι κόρου, οἴνου καὶ κρεῶν κοινωνεῖ, καὶ γυναικὶ πόρνῃ συνεστιᾶται.

28. Ἐπεὶ καὶ ἁγνισάμενον ᾔδει ποτὲ καὶ τὸν μακάριον Παῦλον, ἀλλὰ καὶ ξυρῷ πρὸς τῇ κεφαλῇ χρησάμενον, πρὸς ὃν οὗτος ἑώρα, καὶ οὗ μιμητὴς τοῦ ζήλου, καὶ τῶν σπλάγχνων καθίσταται καὶ περιτεμόντα Τιμόθεον καὶ οὕτως Ἰουδαϊσμοῦ μὴ φεισάμενον, ἵνα ψυχὰς ἀπίστους ἑλκύσῃ πρὸς θεοσέβειαν.

29. Οὕτω τοιγαροῦν συνεστιασθέντες, λαβόμενοι τῆς χειρὸς ἀλλήλων, εἰς τὸν ἐνδότατον οἰκίσκον εἰσέρχονται, ἐν ᾧ ἦν κλίνη καλῶς ἐστρωμένη, ἐφ' ἧς καθίσαντος Ἀβραμίου, ἐπίδος, ἡ κόρη φησίν, ὑπολύσω σου τὰ ὑποδήματα· ὁ δὲ τὴν θύραν μοχλοῖς ἀσφαλίσασθαι πρότερον ἐπιτάττει

30. Ἀσφαλῶς οὖν, ἐκείνη τὴν θύραν ἐπικλεισαμένη, περιπλέκεται προσφυῶς τῷ Ἁγίῳ· τότε οὖν, ἐπεὶ εἶδεν αὐτὴν ἐν ἀφύκτῳ ἐχομένην Ἀβράμιος, τὸ τοῦ ἐραστοῦ προσωπεῖον ἀποβαλών, τὸν ἔνδον αὐτῇ ἀποκαλύπτει Ἀβράμιον, καὶ τὸν ἐπὶ τῇ κεφαλῇ τῆς ἀνεψιᾶς κόσμον περιελών, καί τι βαρὺ καὶ περιπαθὲς ἀνοιμώξας, φησίν:

31. «Σπλάγχνον μου, Μαρία, οὐκ οἶδας ὅστις ἐγώ; οὐ ἐπιγινώσκεις τὸν συγγενῆ; τί σοι ἄρα, ψυχὴ ἐμή, τὸ συμβάν; τίς ὁ πρὸς ἀπώλειαν ὑποσύρας σε;

ποῦ νῦν τὸ Ἀγγελικὸν ἐκεῖνο σχῆμα τῆς παρθενίας; ποῦ ὁ ἐσταυρωμένος βίος; ποῦ τὸ τῆς κατανύξεως δάκρυον; πῶς ἀπὸ τοσούτου τῶν ἀρετῶν ὕψους, εἰς ἔσχατον ἀπάτης βάραθρον κατηνέχθης»;

32. «Διατί μοι μὴ τὸν τοῦ ἐχθροῦ ἐγνώρισας πόλεμον; διατί μοι τὸ χαλεπὸν ἐκεῖνο πτῶμα, μὴ παρὰ πόδας εὐθὺς ἐθριάμβευσας, ἵνα ἐγώ σοι καὶ ὁ φίλος Ἐφραίμ, καὶ δάκρυσι καὶ δεήσεσι τὰ πρὸς Θεὸν διεπρεσβευσάμεθα»;

33. «Ἵνα τί τοσοῦτον ἐμάκρυνας ἀφ' ἡμῶν; ἵνα τί τοσοῦτον ἑάλως τῇ ἀπογνώσει, ἥτις ἐστὶ τὸ τοῦ πονηροῦ ἄφυκτον ἄγκιστρον, ὡς μηδὲ φείδεσθαι λοιπὸν ἑαυτῆς, ἀλλὰ τὰ τῶν αἰσχίστων ἀναίδην τολμᾶν; δέον διαναστῆναι μᾶλλον, καὶ πολλὴν ἐπὶ τοῖς τολμηθεῖσι τὴν μεταμέλειαν ἐπιδείξασθαι».

34. «Οὐκ οἶδας τὰ τοῦ Θεοῦ σπλάγχνα περὶ ἡμᾶς, καὶ ὅπως ἐστὶ πατρὸς κηδεμονικώτερος, οὕτως ἡμᾶς ἐπισυνάγειν ἐθέλων, καὶ ταῦτα ὑφ' ἡμῶν πολλάκις καταφρονούμενος, καθάπερ τὰ νοσσία ὄρνις ὑπὸ τὰς πτέρυγας»;

35. «Διὰ ταῦτα γοῦν ἅψαι, παρακαλῶ, τῆς ἐπὶ τὰ πρόσω φερούσης· ναὶ πρὸς τῆς ἐμῆς πολιᾶς· ναὶ πρὸς τῶν ἐπὶ σοὶ πόνων, καὶ τῶν ἀφορήτων νῦν τῆς ψυχῆς ὀδυνῶν, ἅψαι τῆς προτέρας διαγωγῆς· ναὶ δός μοι μικρὸν ἀνανεῦσαι· ναὶ μὴ μετὰ λύπης εἰς ᾅδου τὸ γῆρας τὸ ἐμὸν καταπέμψῃς».

36. Ταῦτα πρὸς τὴν ἀνεψιὰν λέγων ὁ Ἀβράμιος, παρὰ κωφὸν ᾄδειν ἐῴκει· νεύσασα γὰρ κάτω, καὶ τὴν φωνὴν ὑπὸ τῆς πολλῆς ἐκείνης αἰσχύνης ἐπισχεθεῖσα, εἱστήκει ὁρῶσα εἰς γῆν καὶ πολλὰ τοῦ προσώπου ἀφιεῖσα χρώματα.

37. Ἐφ' οἷς ἐκεῖνος οὕτως συγχυθεῖσαν ἀνακτώμενος, «διατί, ὦ τέκνον, οὐδὲν ἀποκρίνει μοι, ἔφη; οὐκ οἶδας, ὅτι διὰ σὲ τὴν τοσαύτην ὁδὸν ἐστειλάμην; οὐκ οἶδας, ὅτι διὰ τὴν σὴν ταῦτα πάντα σωτηρίαν ὑπεκρινάμην; τὸ στρατιωτικὸν τῆς στολῆς, τὸν ἔρωτα, τὴν κρεωφαγίαν; ὃν οἶδας ἀεὶ τοῦ κελλίου καὶ τῆς ἡσυχίας εἰδότα πλέον οὐδέν;»

38. «Οὐκ ἔστι τι τῶν ἀνθρωπίνων ἁμαρτημάτων, ὅπερ ἀπαγορεύειν προσήκει· οὐκ ἔστι τι τῶν τῆς ψυχῆς τραυμάτων ἀνίατον, ὃ μὴ τῷ καλῷ πυρὶ τῆς μετανοίας καιόμενον θεραπεύεται· ἐπ' ἐμὲ ἡ ἀνομία σου, τέκνον, ἐγὼ τὰς ὑπὲρ σοῦ εὐθύνας ὑφέξω Χριστῷ, μόνον ἐλθὲ μετ' ἐμοῦ, καὶ πρὸς τὸ τῆς ἐρήμου πάλιν οἰκητήριον ἐπανέλθωμεν».

39 Πρὸς ταῦτα σφοδρῶς ἡ κόρη τὴν ψυχὴν συντριβεῖσα, πίπτει, κατὰ τὴν πόρνην, καὶ αὐτὴ πρὸς τοὺς πόδας τοῦ διδασκάλου, πικρῶς ὀλοφυρομένη, καὶ δακρύων ποταμοῖς αὐτοὺς ἐπικλύζουσα.

40. Οὕτως οὖν ἐχόντων αὐτῶν, καὶ τοῦ μὲν ἕπεσθαι τὴν ἀνεψιὰν ἐπιτρεπομένου πρὸς τὸ ὄρος, τῆς δὲ περὶ τῆς τῶν ἐσθήτων, καὶ τοῦ χρυσοῦ, καὶ τῶν ἀργυρωμάτων στρωμνῶν πυθομένης, ὅ,τι λοιπὸν αὐτοῖς χρήσεται, καὶ γὰρ ἦν πολυτελῶς ἔχουσα τούτων, καὶ φιλοτίμως, πάντα, κατὰ τὴν Δεσποτικὴν ἐντολήν, ὁ θεῖος Ἀβράμιος καταλιπεῖν διακελεύεται, καὶ Αὐτῷ μόνῳ ἀκολουθεῖν, καὶ πρὸς τὸν ἀληθινὸν ἐκεῖνον τῆς μελλούσης ζωῆς πλοῦτον ἐπείγεσθαι.

41. Παραλαβὼν οὖν αὐτήν, ὑπέξεισι λάθρα τοῦ πανδοχείου, καὶ ταύτην εἰς τὸν ἵππον ἐπιβιβάσας, πεζὸς αὐτὸς προηγεῖτο τὸν ἵππον διὰ τῆς χειρὸς ἐφελκόμενος.

42. Γενόμενοι δὲ πρὸς τῷ ὄρει, τὴν τῶν οἰκίσκων ἀμείβουσι τάξιν· καὶ τὸν μὲν ἐκτός, αὐτὸς εἵλετο κατοικεῖν· τῇ ἀνεψιᾷ δὲ ἀπονέμει τὸν ἐνδοτέρῳ· οὗ δὴ καὶ καθείρξασα ἑαυτήν, διὰ παντὸς ἦν ἐκεῖ, νηστείαις καὶ δεήσεσι καὶ δάκρυσι, τοὺς τῆς ἁμαρτίας σπίλους τῆς ψυχῆς ἀπαλείφουσα.

43. Καὶ γὰρ ὡς ἄρτι τῶν τοῦ σώματος παθῶν ἀνανήψασα, οὕτως αὐτὰ πρὸ τῶν ὀφθαλμῶν εἶχεν ἀεὶ στρέφοντα κάτωθεν τὴν ψυχήν καὶ σφόδρα πικρῶς τὴν συνείδησιν πλήττοντα, καίτοι τοῦ Θεοῦ τὴν τῶν ἡμαρτημένων ἄφεσιν πολλάκις αὐτῇ παραδειξαντος, καὶ θαυματουργιῶν κατακοσμήσαντος χάρισιν· ἐφ' οἷς ηὐφραίνετο τὴν καρδίαν Ἀβράμιος καὶ ἀπεδίδου τῷ Θεῷ τὰ εὐχαριστήρια.

44. Ἐκεῖνος μὲν οὖν εἰς βαθὺ γῆρας ἐλάσας, καταλύει τὸν βίον καὶ πρὸς σκηνὰς μεταβαίνει τὰς οὐρανίους· πέμπτον δὲ μετὰ τὴν ἐκείνου τελευτὴν ἔτος, τελευτᾷ καὶ ἡ ἀνεψιά, ἧς καὶ νεκρᾶς ἤδη κειμένης, ἡδίστη τις ἐπήνθει ταῖς ὄψεσι χάρις, καί τις ἀκτὶς ἐκεῖθεν ἀπέστιλβε, σύμβολον ἀκριβές, τὴν τῆς ψυχῆς ἐχούσης λαμπρότητα.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Ἀβράμιος εἶχεν ἕνα ἀδελφὸν κατὰ σάρκα, ὁ ὁποῖος ἀπέθανεν. Ἄφησε δὲ ὀρφανὴν μίαν κόρην, ὄχι μεγαλυτέραν τῶν ἑπτὰ ἐτῶν. Ἐπειδὴ δὲ ἐν τῷ μεταξὺ εἶχεν ἀποθάνει καὶ ἡ μητέρα της, παρέλαβον αὐτὴν οἱ γνωστοὶ καὶ τὴν ἔφεραν εἰς τὸν ἐκ πατρὸς θεῖον της, τὸν πράγματι θεῖον Ἀβράμιον.

2. Ὁ Ἅγιος Ἀβράμιος, εὐσπλαγχνισθεὶς τὸ κοράσιον, διότι ἦτο πολὺ μικρὸν καὶ ὀρφανόν, τὸ ὑποδέχεται μὲ ἀνοικτάς, ἀπὸ πατρικὴν στοργήν, χεῖρας. Τῆς διαθέτει ἕνα μικρὸν οἰκίσκον ἔξω ἀπὸ τὸ κελλί του· ἐπεκοινώνει δὲ μὲ αὐτὴν κύπτων ἀπὸ ἕνα παράθυρον, τὴν ἐμόρφωνε δὲ μὲ τὰς ἱερὰς Γραφάς, ὑποδεικνύων εἰς αὐτὴν τὴν ὁδὸν τῆς σωτηρίας καὶ ἀφυπνίζων μέσα της τὸν πόθον διὰ πνευματικοὺς ἀγῶνας.

3. Ἡ ὅλη συμπεριφορὰ τοῦ μακαρίου Ἀβραμίου πρὸς τὴν ὀρφανὴν κόρην ὑπενθύμιζε τὸν ἀετόν, ὁ ὁποῖος φέρει ἐπάνω εἰς τὰ πτερά του τὸ μικρὸν ἀετόπουλον, καὶ μαζί του, βαστάζων αὐτό, σχίζει τὸν ἀέρα. Μὲ τὸ παράδειγμά του καὶ τὴν στοργήν του τὴν ἐδίδασκε νὰ πετᾷ πρὸς τὸ ὕψος τῆς ἀρετῆς.

4. Ἡ δὲ ὀρφανὴ ἀνεψιά, καίτοι ἦτο ἀρκετὰ νέα, ἐν τούτοις ἐπεδίδετο εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς μὲ ζῆλον καὶ προθυμίαν, μεγαλυτέραν ἀπὸ τὴν ἡλικίαν της. Ἡ πρόοδος αὐτὴ ἐπροκαλοῦσε τὴν ἀγαλλίασιν τῆς καρδίας τοῦ Ἀβραμίου, ἀλλὰ καὶ τὴν χαρὰν ὅσων ἔβλεπον, ὅτι εὐδοκιμοῦσεν εἰς τὴν ἀρετήν, ἀπὸ αὐτὴν τὴν μικρὰν ἡλικίαν.

5. Ἐνῷ λοιπὸν τοιαύτην πρόοδον ἐπεδείκνυε καὶ ὑφ᾽ ὅλων ἐθαυμάζετο, συνέβη εἰς αὐτὴν μία τραγικὴ πτῶσις, ὅταν ἦτο εἴκοσι ἐτῶν. Ἰδοὺ τί συνέβη: Ἕνας ἄνθρωπος, φέρων ἐξωτερικῶς τὸ σχῆμα τοῦ Μοναχοῦ, ἔχων ὅμως ψυχικὴν διάθεσιν φθοροποιὸν καὶ αἰσχράν, ἐσύχναζεν ὡς φίλος εἰς τὸ κελλὶ τοῦ Ἁγίου Ἀβραμίου. Αὐτὸς λοιπὸν ὁ ἄνθρωπος εἶδε τὴν νέαν μὲ ὀφθαλμοὺς ἀκολάστους καὶ τῆς ἐμπνέει, χωρὶς καὶ ἐγὼ νὰ γνωρίζω πῶς, σαρκικὸν ἔρωτα.

6. Τότε ἐκείνη, φλεγομένη ἀπὸ τὸν ἀκόλαστον αὐτὸν ἔρωτα, βγαίνει ἀπὸ τὸ παράθυρον, καὶ διαπράττει τὴν ἁμαρτίαν μὲ τὸν αἰσχρόφρονα Μοναχόν. Ἀμέσως, μετὰ τὴν ἁμαρτίαν, ἤρχισε νὰ τὴν τύπτῃ σφοδρῶς ἡ συνείδησις.

7. Ἐξ ἀφορμῆς αὐτῶν τῶν σφοδρῶν τύψεων συνεκλονίσθη ἀπὸ τὴν λύπην, δι᾽ ὅσα ἐτόλμησε νὰ πράξῃ, καὶ περιέπεσεν εἰς ἀπόγνωσιν· ἐν ἀπογνώσει δὲ εὑρισκομένη ἐθρήνει καὶ ἐκραύγαζεν· «Ἀλλοίμονον εἰς ἐμὲ τὴν δυστυχισμένην· ἀλλοίμονόν μου ἡ ταλαίπωρος, διότι ἐμόλυνα τὸν Ναὸν τοῦ Θεοῦ. Συμφορὰ εἰς ἐμὲ τὴν πλέον ἀθλίαν ἀπὸ ὅλας τὰς

γυναῖκας, διότι ἐλησμόνησα τὰς πρὸς τὸν Θεὸν ὑποσχέσεις μου καὶ διὰ τὴν πικρὰν ἡδονὴν μιᾶς στιγμῆς ἔχασα ὁλόκληρον τὴν προηγουμένην μου ἄσκησιν».

8. «Μὲ ποίους ὀφθαλμοὺς νὰ κοιτάξω τώρα εἰς τὸν οὐρανόν, ἀφοῦ τοὺς ἐτύφλωσα μὲ ἀκόλαστα βλέμματα: Πῶς νὰ κινήσω τὰ χείλη μου διὰ προσευχήν, ἀφοῦ τὰ ἐρρύπανα μὲ πρόστυχα λόγια καὶ φιλήματα; Μὲ ποῖον θάρρος νὰ ἔλθω κοντὰ εἰς ἐκεῖνο τὸ παραθυράκι, καὶ νὰ συνομιλήσω μὲ τὸν θεῖον Ἀβράμιον, ἐφ' ὅσον ἠθέτησα τὰς ἐντολάς του; Ὦ! ἡ ἁμαρτωλή, ἡ φαύλη, ἡ αἰσχρά, ποὺ ἐμόλυνα καὶ τὸ σῶμα μου καὶ τὴν ψυχήν!»

9. «Ἀλλοίμονον! Τί νὰ κάμω τώρα; Ποῖον δρόμον νὰ ἀκολουθήσω; Διατί ἀκόμη ζῶ; Εἴθε νὰ εἶχον ἀποθάνει πρὶν νὰ μὲ κυριεύσῃ ἡ αἰσχρὰ ἐπιθυμία· τότε θὰ εἶχον δῶρον θανάτου τὴν ἁγνείαν τοῦ σώματος. Τώρα ὅμως ποῖαι πηγαὶ δακρύων θὰ δυνηθοῦν νὰ μὲ ἀποπλύνουν ἀπὸ μίαν τόσον αἰσχρὰν ρυπαρότητα;»

10. Ἐνῷ μὲ τέτοια πικρὰ λόγια ἐθρήνει τὴν συμφοράν της, τὴν ἁρπάζει ὁ πονηρός, ἐκμεταλλευόμενος τὴν ἄμετρον λύπην της καὶ τὴν κατακρημνίζει εἰς ἀπόγνωσιν καὶ ἀπηλπισμένη, ὅτι δὲν ἠδύνατο πλέον νὰ σωθῇ, δραπετεύει πρὸς μίαν πόλιν Ἀϊσόν, ποὺ ἀπεῖχεν ἀπὸ τὴν ἔρημον δύο ἡμερῶν πορείαν. Ἐκεῖ ἐγκατεστάθη εἰς ἕνα ξενοδοχεῖον, ἀπέβαλε τὰ μοναχικὰ ἐνδύματα, ἐνεδύθη κοσμικὸν φόρεμα καὶ ἤρχισε νὰ προσφέρῃ τὸν ἑαυτόν της ὡς πρόσωπον ἀγοραίου ἔρωτος εἰς ὅσους ἐπεθύμουν τὴν σαρκικὴν ἡδονήν.

11. Ἐν τῷ μεταξύ, ἐνῷ αὐτὰ συνέβαινον εἰς τὴν νέαν, ὁ Ἅγιος ἐπεδίδετο εἰς τὴν ἀσκητικὴν ἡσυχίαν καὶ ἦτο ἀπομονωμένος, διὰ νὰ ἐπιτύχῃ τὴν ποθουμένην περισυλλογήν, εἰς τὸ ἐσωτερικὸν τοῦ κελλίου του καὶ δι' αὐτὸ δὲν ἀντελήφθη τίποτε. Εἰς μίαν στιγμὴν συντόμου ἀναπαύσεως βλέπει τὸ ἑξῆς τρομακτικὸν ὄνειρον. Τοῦ ἐφάνη, ὅτι ἕνας μεγάλος καὶ φοβερὸς δράκων (ὄφις) τὸν ἀγριοκοίταζεν· ἔξαφνα ἀνέβη ἕρπων ἀπὸ τὴν φωλεάν του καὶ εἰσῆλθεν εἰς τὸ κελλὶ τοῦ Ἁγίου Ἀβραμίου, ὅπου κατέπιεν ἕνα περιστέρι, ποὺ ἔμενεν ἐκεῖ. Ὕστερα ἐκρύβη πάλιν εἰς τὴν φωλεάν του.

12. Ἀπὸ τὸ ὄνειρον αὐτὸ ὁ Ἅγιος ἐξύπνησεν ἀμέσως καὶ ἡ ψυχή του κατελήφθη ἀπὸ λύπην καὶ ταραχήν. Μὴ δυνάμενος δὲ νὰ ἐξηγήσῃ τὸ ὄνειρον, παρεκάλει τὸν Θεὸν νὰ τοῦ φανερώσῃ μὲ σαφήνειαν τὸ νόημα τῆς νυκτερινῆς αὐτῆς τρομακτικῆς ὀπτασίας.

13. Καὶ ἰδοὺ ἄλλο ὄνειρον τὴν ἑπομένην νύκτα. Τοῦ ἐφάνη, ὅτι εἶδε πάλιν τὸν φοβερὸν ἐκεῖνον δράκοντα νὰ ἀνεβαίνῃ ἀπὸ ἐκεῖ, ποὺ προηγουμένως εἶχε κρυφθῇ· ἐσύρθη εἰς τοὺς πόδας του, ἐστριφογύρισε καὶ ἠθέλησε νὰ χώσῃ τὸ κεφάλι του εἰς τὰ πόδια τοῦ Ἁγίου. Ἀμέσως τότε ὁ φοβερὸς αὐτὸς δράκων ἔσκασε, ἀπὸ δὲ τὰ σπλάγχνα του ἐπέταξε τὸ περιστέρι, ποὺ τὴν προηγουμένην εἶχε καταπιεῖ, τελείως καθαρὸν καὶ κατάλευκον.

14. Ὅταν εἶδεν αὐτά, ἐσχημάτισε πλέον τὴν γνώμην ὁ Ἅγιος Ἀβράμιος, ὅτι τὰ ὄνειρα τοῦ φανερώνουν ψυχικὸν ὀλίσθημα τῆς ἀνεψιᾶς του. Ἀμέσως λοιπὸν γεμᾶτος ταραχὴν καὶ λύπην σκύβει ἀπὸ τὸ παραθυράκι, ἀπὸ τὸ ὁποῖον ἐπεκοινώνει μὲ τὸ δωμάτιον τῆς ἀνεψιᾶς, καὶ ἤρχισε νὰ φωνάζῃ· «Μαρία μου, Μαρία μου, τί πρᾶγμα σοῦ ἐπροξένησεν εἰς τὴν ψυχὴν τόσην κατάπτωσιν, ὥστε ἐπὶ δύο τώρα ἡμέρας δὲν ἔψαλες καθόλου, οὔτε ἦλθες κοντὰ ἐδῶ εἰς τὸ παραθυράκι, νὰ ζητήσῃς νὰ ἀκούσῃς πνευματικὴν διδασκαλίαν, ἡ ὁποία ἦτο διὰ σὲ γλυκυτέρα καὶ ἀπὸ τὸ μέλι;»

15. Αὐτὰ καὶ ἄλλα παρόμοια λόγια ἀπηύθυνε πρὸς τὴν ἀνεψιάν του ὁ Ὅσιος, χωρὶς νὰ ἀκούσῃ ἀπ' αὐτὴν οὐδεμίαν ἀπάντησιν (πῶς ἄλλωστε ἠμποροῦσε νὰ ἀκούσῃ, ἐφ' ὅσον ἐκείνη ἠσχολεῖτο εἰς τὸ πανδοχεῖον μὲ τοὺς ἔρωτας καὶ τὴν διαφθοράν;) Τότε ἀντελήφθη πλέον σαφῶς, ὅτι τὸ ὄνειρον, ποὺ εἶδεν, ὑπαινίσσετο τὸ τεράστιον ψυχικὸν ὀλίσθημα εἰς τὸ ὁποῖον ὑπέπεσεν ἡ Μαρία.

16. Ἐπόνεσεν ἡ καρδία του, ἀπὸ τὴν διαπίστωσιν αὐτήν, καὶ ἀπὸ τὰ σπλάγχνα του ἔβγαλεν ἕνα ἀναστεναγμόν, ὡσὰν καπνὸν τῆς ἐσωτερικῆς φλόγας ποὺ τὸν κατέκαιε. Μὲ θερμότητα δὲ προσευχῆς καὶ δάκρυα παρεκάλει τὸν Θεόν, διὰ νὰ συνέλθῃ ἀπὸ τὴν ἁμαρτίαν ἡ Μαρία καὶ νὰ ἐπανέλθῃ πάλιν εἰς τὴν προηγουμένην πνευματικὴν κατάστασιν τῆς ψυχικῆς καθαρότητος καὶ ἠθικῆς ἀνωτερότητος. Δύο ὁλόκληρα ἔτη παρεκάλει θερμῶς τὸν Θεὸν διὰ τὴν ἀποστάτιδα· ἄλλωστε καὶ ἡ διπλῆ ἐμφάνισις τοῦ ὀνείρου ἐφανέρωνε πῶς δύο ἔτη θὰ παρέμενεν εἰς τὴν πτῶσιν καὶ τὴν ἀθλιότητα ἡ Μαρία.

17. Πρὸς τὸ τέλος λοιπὸν τοῦ δευτέρου ἔτους ἐπέστρεψε πλησίον του ἕνας ἐκ τῶν φίλων, ποὺ τὸν εἶχε στείλει εἰς ἀναζήτησιν τῆς Μαρίας. Αὐτὸς τὸν ἐπληροφόρησε, μετὰ πάσης λεπτομερείας, ποῦ μένει ἡ ἀνεψιά του, πῶς ζῇ, πλησίον τίνος εὑρίσκεται καὶ ὅλα ἐν γένει τὰ στοιχεῖα ποὺ τὸν ἐνδιέφερον. Ἀμέσως τότε ὁ Ἀβράμιος, χωρὶς οὐδεμίαν ἀναβολήν, ἀπεχαιρέτησε μεγαλοψύχως καὶ τὰ γηρατεῖα καὶ τὴν ἄσκησιν τῆς ἐρήμου, καὶ τὴν ἡσυχίαν, καὶ τὸ Μοναχικὸν σχῆμα καὶ καθήκοντα καὶ ἐξεστράτευσε διὰ νὰ ἀπελευθερώσῃ ἀπὸ τὸν διάβολον τὴν ὑπ' ἐκείνου αἰχμαλωτισθεῖσαν ψυχήν.

18. Πρὸς ἐπιτυχίαν τοῦ ἔργου αὐτοῦ περιβάλλεται στρατιωτικὴν στολήν, βάζει εἰς τὴν τσέπην του ἕνα νόμισμα (διότι αὐτὴ ἦτο ὅλη του ἡ περιουσία), καὶ ἀφοῦ ἐνοικίασεν ἕνα ἄλογο, ἀνέβη γρήγορα ἐπ' αὐτοῦ καὶ ἐπῆρε τὸν δρόμον διὰ τὸ πανδοχεῖον. Ἔτρεχε διὰ νὰ ἐλευθερώσῃ τὴν ἀνεψιάν του ἀπὸ τὰς χεῖρας τοῦ δαίμονος, ὅπως, κατὰ τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης, ἔτρεχεν ὁ Ἀβραάμ, διὰ νὰ ἐλευθερώσῃ τὸν Λὼτ ἀπὸ τὴν αἰχμαλωσίαν τῶν πέντε βασιλέων (Γεν. ιδ' 8—16).

19. Ἐπὶ τέλους ὁ Ἀβράμιος ἔφθασεν εἰς τὸ ξενοδοχεῖον, ὅπου διέμενεν ἡ Μαρία, καὶ παρέμεινεν ἐκεῖ ἐπί τινα χρόνον. Ματαίως ὅμως ἐπεζήτει νὰ ἴδῃ τὴν ἀνεψιάν του (διότι ἐκείνη τόσον εἶχε διαφθαρῆ,

ὥστε ἀπέφευγε νὰ κοιτάξῃ μάτια ποὺ ἔλαμπαν ἀπὸ σωφροσύνην, ἐνῷ ἔβλεπεν ἀχόρταγα ἀκόλαστα μάτια γεμᾶτα διαφθοράν). Δὲν ἀπηλπίσθη ὅμως· σκέπτεται ἕνα πρᾶγμα, ποὺ καὶ μόνον του ἀκόμη εἶναι δυνατὸν νὰ φανερώσῃ τὸν ἀσυγκράτητον πόθον του, τὸν πολύν του ζῆλον, διὰ νὰ τὴν σώσῃ καὶ ὅτι διὰ τὴν ἐπιτυχίαν τοῦ σκοποῦ αὐτοῦ τίποτε δὲν ἄφησεν ἀχρησιμοποίητον.

20. Ὑποκρίνεται δηλαδὴ τὸ σχῆμα καὶ τοὺς τρόπους τοῦ ἐραστοῦ καὶ ἐκεῖνος, ποὺ διὰ τῆς ἀρετῆς του προσήγγιζε τοὺς ἀΰλους Ἀγγέλους, δημιουργεῖ τὴν ἐντύπωσιν, ὅτι ζητεῖ, τάχα, σαρκικὸν ἔρωτα. Προσέρχεται λοιπὸν εἰς τὸν ἰδιοκτήτην τοῦ πανδοχείου καὶ τοῦ λέγει μὲ ἤρεμον καὶ ταπεινὴν φωνήν:

—Πληροφοροῦμαι, ὅτι ἔχεις μίαν πανέμορφην κόρην, τὴν ὁποίαν ἐκδίδεις μὲ χρήματα εἰς ὅσους ἐπιθυμοῦν νὰ τὴν ἀπολαύσουν σαρκικῶς. Καὶ ἐγὼ λοιπόν, ἀπὸ ἔρωτα πρὸς τὴν γυναῖκα αὐτὴν τῆς ἁμαρτίας, ἔχω ἔλθει ἐδῶ.

21. Ὁ ἰδιοκτήτης τοῦ πανδοχείου, μόλις εἶδε τὰ λευκὰ γεράματα τοῦ συνομιλητοῦ του, τὸν ἐσιχάθη μὲ τὴν ψυχήν του καὶ τὸν κατηγοροῦσεν ἀπὸ μέσα του διὰ πολλὴν ἀκολασίαν καὶ ἀδιαντροπιάν. Ἔλεγεν ἀπὸ μέσα του· «κοίταξε τὸν κακόγηρον, εἰς αὐτὴν τὴν ἡλικίαν καὶ δὲν θέλει νὰ σωφρονισθῇ. Πῶς δὲν ἐντρέπεται!» Παρ᾽ ὅλα ταῦτα ὅμως, διὰ νὰ μὴ χάσῃ τὸ κέρδος ἀπὸ τὴν ἔκδοσιν εἰς ἁμαρτίαν τῆς κόρης, ἤρχιζε νὰ ὑπερτονίζῃ τὴν ὀμορφιὰ τῆς κόρης, νομίζων, ὅτι διὰ τοῦ τρόπου αὐτοῦ ἠρέθιζε περισσότερον τὸν γηραλέον ἐραστὴν καὶ τὸν ἔκαμνε νὰ φλογίζεται σφοδρότερον διὰ τὸν ἔρωτά της.

22. Τότε ὁ Ἅγιος Ἀβράμιος ἔβγαλεν ἀπὸ τὴν τσέπην του τὸ νόμισμα καὶ τὸ δίδει εἰς τὸν ἰδιοκτήτην τοῦ πανδοχείου, παραγγέλλων εἰς αὐτὸν νὰ τοῦ ἑτοιμάσῃ, διὰ τὸ βράδυ, δεῖπνον, κατὰ τὸ ὁποῖον νὰ τοῦ παρουσιάσῃ καὶ τὴν κόρην. Πράγματι ὁ ξενοδόχος ἡτοίμασεν ὅσον ἠδύνατο καλλίτερα τὸ δεῖπνον καί, κατ᾽ αὐτό, φέρει πλησίον τοῦ Γέροντος τὴν κόρην, πολυτελῶς ἐνδεδυμένην καὶ βαδίζουσαν μὲ αὐθάδεις κινήσεις, ὅπως συνηθίζουν αἱ τοιαῦται γυναῖκες. Ὅταν ὁ Ἅγιος Ἀβράμιος βλέπῃ τὴν Μαρίαν πορνικῶς ἐμφανισθεῖσαν, αἰσθάνεται τὴν καρδίαν του νὰ πληγώνεται καὶ διὰ τῆς σιωπῆς προσπαθεῖ νὰ συγκρατήσῃ τὰ δάκρυά του, διὰ νὰ μὴ φανερώσουν τὸ ψυχικόν του δρᾶμα καὶ κάμουν τὴν κόρην νὰ φύγῃ.

23. Τὰ δάκρυα ὅμως δὲν ἠμποροῦν νὰ σταματήσουν, νικημένα ἀπὸ τὴν ἔντασιν τοῦ ψυχικοῦ πάθους· τὰ μάτια του βουρκώνουν, χωρὶς νὰ στάζουν δάκρυα· ἐκεῖνος γυρίζει ἐδῶ καὶ ἐκεῖ τὸ πρόσωπόν του καὶ μὲ τρόπον σκουπίζει τὰ δάκρυα, ἂν καὶ μερικαὶ σταγόνες κρυφοκατέβηκαν εἰς τὰ μάγουλά του. Διὰ νὰ ἀποφύγῃ δὲ κάθε ὑπόνοιαν ἐκ μέρους της, ἤρχισε νὰ τῆς ὁμιλῇ ἐρωτικά, τῆς γλυκογελοῦσε, τῆς ἔκαμνε πονηρὰ νοήματα, καί, ἐν γένει, ἔκαμνεν ὅλα, ὅσα ἠμποροῦν νὰ διεγείρουν τὴν ἐρωτικὴν διάθεσιν.

24. Ἐκείνη πάλιν ἀνταπέδωσεν εἰς τὸν Ἀβράμιον τὸ ἐρωτικὸν φίλημα. Εἰς αὐτὸ ὅμως τὸ σημεῖον, ὡς νὰ ἀντελήφθη μυστηριωδῶς καὶ ἀκαθορίστως τὴν εὐωδίαν, ποὺ ἀνέδιδον τὰ ἁγνὰ μέλη τοῦ Ἀσκητοῦ, ἀνεμνήσθη ἐξ αὐτοῦ τὴν προηγουμένην ζωήν της καὶ τὸ οὐράνιον ἀγαθὸν τῆς ἁγνείας. Σκεπτομένη δὲ ἀπὸ ποῖον ὕψος πνευματικὸν ἐξέπεσεν, ἐβούρκωσαν τὰ μάτια της ἀπὸ θερμὰ δάκρυα καὶ κρυφοαναστέναζε μονολογοῦσα σιωπηλῶς, ἀπὸ τὴν ψυχήν της· «ἀλλοίμονον εἰς ἐμὲ τὴν ἀθλίαν! ἀλλοίμονόν μου, μὲ πόσα σχοινιὰ ἁμαρτίας ἔχω δεθῆ! Ἀλλοίμονόν μου τί νὰ κάμω τώρα; Νὰ ἦτο δυνατὸν νὰ ἄνοιγεν ἡ γῆ νὰ μὲ καταπιῇ!»

25. Ὁ ἱερὸς Ἀβράμιος, φοβηθεὶς μήπως παρασυρθῇ ἀπὸ τὰς ἐκδηλώσεις αὐτὰς καὶ φανερωθῇ, καὶ οὕτω ἡ ἀνεψιά του φύγῃ, κυνηγουμένη ἀπὸ τὴν ἐντροπὴν καὶ τὴν ἀπόγνωσιν, ἠθέλησε νὰ διασκεδάσῃ κάθε ὑποψίαν ἀπὸ αὐτὴν καὶ τὸ περιβάλλον της· δι' αὐτὸ προσποιεῖται τὸν ἀγανακτημένον ἀπὸ τὰς ἐκδηλώσεις αὐτάς, καὶ λέγει, δῆθεν, μὲ τρόπον θρασύτερον:

—Κοπέλλα μου, ἄφησε τὰ κλάματα καὶ τὴν μελαγχολίαν, διότι δὲν συνηντήθημεν σήμερον, διὰ νὰ ἐνθυμηθῶμεν τὶ ἔχομεν κάμει.

26. Τότε, μὲ μίαν καταπληκτικὴν εὐστροφίαν, ἀπευθύνεται ὁ Ἅγιος πρὸς τὸν ξενοδόχον καὶ τοῦ λέγει:

—Ἔλα λοιπόν, φίλε, φέρε μας κρασί, διὰ νὰ γλεντήσωμεν ἀπόψε οἱ δύο μας· διότι, ὅπως καταλαβαίνεις, ἦλθα ἀπὸ πολὺ μακριά, δι' αὐτὴν ἐδῶ τὴν νέαν.

27. Ἀφοῦ λοιπὸν ἡτοιμάσθη πολυτελὲς συμπόσιον, ἐκεῖνος, ποὺ ἐπὶ πενῆντα ὁλόκληρα ἔτη δὲν ἐσήκωσε τὰ μάτια του νὰ ἴδῃ πρόσωπον γυναικὸς καὶ οὔτε ποτέ, χάριν τῆς ἀσκήσεως, ἐχόρτασε τὸ νερὸ καὶ τὸ ξηρὸ ψωμί, τώρα κάμνει συντροφιὰν μὲ μίαν πόρνην καὶ τρώγει μαζί της κρέας καὶ πίνει κρασί.

28. Εἰς αὐτὴν τὴν συγκατάβασιν διδάσκαλον εἶχεν ὁ Ὅσιος τὸν μακάριον Παῦλον, ὅστις, ὡς εἶναι γνωστὸν ἐκ τῆς Καινῆς Διαθήκης, καίτοι εἶχεν ἁγνισθῆ (1) καὶ εἶχε ξυρίσει τὴν κόμην του, καὶ εἶχε δεχθῆ νὰ περιτμηθῇ ὁ Τιμόθεος, ἐν τούτοις δὲν ἐσεβάσθη τὴν Ἰουδαϊκὴν αὐστηρότητα, ἀλλὰ τὴν ἐθυσίασε, διὰ νὰ ἑλκύσῃ ψυχὰς ἀπίστων εἰς τὴν πραγματικὴν θεοσέβειαν· εἰς αὐτὸν λοιπὸν τώρα ἀπέβλεπε καὶ ὁ Ἀβράμιος καὶ καθίσταται μιμητὴς τοῦ ζήλου καὶ τῆς πρὸς τοὺς ἄλλους εὐσπλαγχνικῆς ἀγάπης.

29. Ἀφοῦ λοιπὸν ἔφαγαν καλά, ἐπιάσθησαν ἀπὸ τὸ χέρι καὶ εἰσέρχονται εἰς ἕνα ἐσωτερικὸν δωμάτιον, ἐντὸς τοῦ ὁποίου ὑπῆρχεν ἕνα καλοστρωμένο κρεββάτι. Ὅταν ἐκάθησεν ἐπάνω εἰς αὐτὸ ὁ Ἀβράμιος, τοῦ λέγει ἡ κόρη:

1) Ἁγνισμός· θρησκευτικὴ τελετὴ τῶν Ἰουδαίων πρὸς καθαρισμὸν ἀπὸ τῶν ἁμαρτημάτων καὶ ἁγιασμὸν (διὰ ραντισμοῦ ἢ νίψεως). Τὸ ἐνταῦθα ἀναφερόμενον περιστατικὸν τοῦ θείου Παύλου βλέπε ἐν ταῖς Πράξεσι (κα' 26).

—Ἄφησέ με νὰ σοῦ βγάλω τὰ παπούτσια.

—Κλεῖσε πρῶτα καλὰ τὴν θύραν· ἀμπάρωσέ την—διέταξεν ὁ θεῖος Ἀβράμιος.

30. Ὅταν ἔκλεισε καλὰ ἡ θύρα, ἡ Μαρία ρίπτεται εἰς τὴν ἀγκάλην τοῦ Ἁγίου· ὅταν ὁ Ἅγιος Ἀβράμιος εἶδεν, ὅτι ἡ Μαρία ἦτο πλέον παραδεδομένη εἰς τὰς ὁρμὰς τῆς ἐπιθυμίας, ἀπορρίπτει τὸ προσωπεῖον τοῦ ἐραστοῦ καὶ φανερώνεται αὐτὸς ποὺ ἦτο εἰς τὴν πραγματικότητα. Βγάζει λοιπὸν ἀπὸ τὴν κεφαλὴν τῆς Μαρίας τὰ στολίδια, ἀνεστέναξε βαριὰ καὶ μὲ πόνον τῆς λέγει:

31. —«Σπλάγχνον μου, Μαρία, δὲν μὲ γνωρίζεις ποῖος εἶμαι; δὲν ἀναγνωρίζεις τὸν συγγενῆ σου; Τί σοῦ συνέβη λοιπόν, ψυχή μου; ποῖος ἦτο ἐκεῖνος, ποὺ σὲ παρέσυρεν εἰς τὴν καταστροφήν; Ποῦ εὑρίσκεται τώρα τὸ Ἀγγελικὸν ἐκεῖνο σχῆμα τῆς παρθενίας; Ποῦ εἶναι ὁ ἐσταυρωμένος βίος; Ποῦ εἶναι τὰ δάκρυα τῆς κατανύξεως; Πῶς ἐκρημνίσθης ἀπὸ τὸ τοσοῦτον ὕψος τῆς ἀρετῆς εἰς τὸ πλέον ἔσχατον βάραθρον τῆς ἀπάτης;»

32. «Διατί δὲν μοῦ κατέστησες ἐγκαίρως γνωστὸν τὸν πόλεμον, μὲ τὸν ὁποῖον ὁ ἐχθρὸς σὲ ἐπείραζε; Διατί δὲν ἔσερνες, ἀμέσως, ἔμπροσθέν μου τὸ ἀξιοθρήνητον ἐκεῖνο πτῶμα, ὥστε ἀμέσως νὰ ἐθριάμβευεν ἡ νίκη τῆς μετανοίας; Ἐγὼ δὲ καὶ ὁ ἀγαπητὸς Ἐφραὶμ (ὁ Ὅσιος) θὰ ἐπαρακαλούσαμεν, μετὰ θερμότητος καὶ δακρύων, τὸν Θεὸν διὰ τὴν σωτηρίαν σου».

33. «Διατί τόσον πολὺ ἔφυγες ἀπὸ κοντά μας; Διατί ἄφησες τὸν ἑαυτόν σου νὰ κυριευθῇ τόσον πολὺ ἀπὸ τὴν ἀπελπισίαν, ποὺ εἶναι τὸ ἀποτελεσματικώτερον ἄγκιστρον τοῦ διαβόλου; Δὲν λυπᾶσαι καθόλου τὸν ἑαυτόν σου, ἀλλὰ τόσον ἀδιάντροπα ἀποτολμᾷς τὰς αἰσχροτέρας πράξεις; Πρέπει ἀμέσως νὰ σηκωθῇς ἀπὸ αὐτὸ τὸ βάραθρον τῆς ἀθλιότητος καὶ νὰ ἐπιδείξῃς μεγάλην μετάνοιαν δι' ὅσα ἀπετόλμησες».

34. «Δὲν γνωρίζεις πόσον ὁ Θεὸς μᾶς εὐσπλαγχνίζεται καὶ φροντίζει δι' ἡμᾶς περισσότερον καὶ ἀπὸ τὸν πατέρα μας; Καίτοι ἡμεῖς τὸν καταφρονοῦμεν, ἐν τούτοις Ἐκεῖνος θέλει νὰ μᾶς μαζεύσῃ κοντά Του, ὅπως ἡ κλῶσσα τὰ κλωσσόπουλα κάτω ἀπὸ τὰς πτέρυγάς της!»

35. «Δι' αὐτὸ λοιπὸν σὲ παρακαλῶ, πάρε καὶ πάλιν τὸν δρόμον, ποὺ ὁδηγεῖ πρὸς τὴν τελειότητα. Ναί, παιδί μου, σὲ ἐξορκίζω εἰς τὰ γεράματά μου. Ναί, παιδί μου, λυπήσου τοὺς ἀβαστάκτους πόνους καὶ τὰς ὀδύνας τῆς ψυχῆς μου, ποὺ ἐδοκίμασα διὰ σέ, καὶ ποὺ ἐξακολουθῶ νὰ δοκιμάζω. Γύρισε καὶ πάλιν εἰς τὸν προηγούμενον δρόμον τῆς ἀρετῆς. Ναί, παιδί μου, χάρισέ μου ὀλίγην ἀναψυχήν, καὶ μὴ ἐξαποστείλῃς τὰ γηρατεῖα μου λυπημένα εἰς τὸν Ἅδην».

36. Αὐτά, μὲ πόνον ψυχῆς, ἔλεγεν ὁ Ἀβράμιος πρὸς τὴν Μαρίαν, ἀλλ' ἐφαίνετο νὰ ἀπευθύνεται πρὸς κωφὸν καὶ ἀναίσθητον. Ἡ Μαρία ἔσκυψε κάτω τὴν κεφαλὴν καὶ ἡ φωνή της, ἀπὸ τὴν πολλὴν ἐντροπήν, ἐκόπηκε. Σαστισμένη καὶ ἄλαλη, πραγματικὰ ὡσὰν χαμένη, ἔρριξε τὰ

βλέμματά της εἰς τὴν γῆν, ἐνῷ τὸ πρόσωπόν της ἤλλαζεν, ἀπὸ τὴν ψυχικήν της ταραχήν, χίλια χρώματα.

37. Τότε καὶ πάλιν ὁ Ἀβράμιος, διὰ νὰ τὴν κάμῃ νὰ συνέλθῃ ἀπὸ τὴν ψυχικήν της ταραχὴν καὶ σύγχυσιν, τῆς λέγει μὲ γλυκύτητα:

—«Διατί, παιδί μου, δὲν ἀπαντᾷς; Δὲν ἀντελήφθης, ὅτι διὰ τὴν σωτηρίαν σου ὑπεκρίθην ὅλα αὐτά, ποὺ βλέπεις; τὴν στρατιωτικὴν στολήν, τὸν ἔρωτα, τὴν κρεωφαγίαν; Ὅλα αὐτὰ τὰ κάμνει ἐκεῖνος, ποὺ ὅπως ξεύρεις, δὲν γνωρίζει τίποτε περισσότερον ἀπὸ τὴν ἡσυχίαν τοῦ κελλιοῦ του!»

38. «Δὲν ὑπάρχει κανένα ἀνθρώπινον ἁμάρτημα, ποὺ νὰ ἀποκλείῃ τὴν θεϊκὴν συγγνώμην! Καμμιὰ πληγὴ τῆς ψυχῆς δὲν εἶναι ἀθεράπευτος, ὅλα τὰ γιατρεύει ἡ θεραπευτικὴ φλόγα τῆς μετανοίας. Παιδί μου, εἰς τὸν λαιμόν μου τὸ ἁμάρτημά σου. Ἐγὼ νὰ δώσω λόγον εἰς τὸν Χριστόν, δι' ὅ,τι ἔπραξες· ἀρκεῖ νὰ ἔλθῃς μαζί μου, νὰ ξαναγυρίσωμεν καὶ πάλιν εἰς τὸ ἐρημικόν μας κατοικητήριον».

39. Ὅλα αὐτὰ ἀνεμόχλευσαν τὸν ψυχικὸν κόσμον τῆς κόρης, τὴν ἔκαμαν νὰ συντριβῇ καὶ πίπτει εἰς τοὺς πόδας τοῦ διδασκάλου καὶ θείου της, ὅπως ἡ πόρνη τοῦ Εὐαγγελίου (Λουκ. ζ' 37—50), καταβρέχουσα τοὺς πόδας του μὲ δάκρυα καὶ κλαίουσα πικρῶς.

40. Ἀφοῦ λοιπὸν τὰ πράγματα κατέληξαν εἰς αὐτὴν τὴν θαυμαστὴν μεταστροφὴν τῆς Μαρίας καὶ τὸν θρίαμβον τῆς μετανοίας, ὁ Ὅσιος Ἀβράμιος ἐξηκολούθει καὶ πάλιν νὰ τὴν προτρέπῃ νὰ ἐπιστρέψουν, ὅσον τὸ δυνατὸν συντομώτερον, εἰς τὸ ὄρος.

Ἐκείνη τότε ἠρώτησε τὶ νὰ κάμῃ τὰ φορέματά της καὶ τὸν χρυσὸν καὶ τὰ μεταξωτὰ στρώματα ποὺ εἶχε. Διότι πράγματι εἶχε πολλὰ καὶ πολύτιμα πράγματα.

—Ἄφησέ τα ὅλα, παιδί μου, καὶ ἀκολούθησέ με—τὴν διατάσσει ὁ θεῖος Ἀβράμιος—ἂς ἐφαρμόσωμεν τὴν ἐντολὴν τοῦ Κυρίου· [«εἰ θέλῃς τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. ιθ' 21)]. Ἂς βιασθῶμεν νὰ ἀκολουθήσωμεν μόνον Αὐτόν, διὰ νὰ εὕρωμεν τὸν ἀληθινὸν πλοῦτον τῆς μελούσης ζωῆς.

41. Ἀφοῦ λοιπὸν ὁ θεῖος Ἀβράμιος τὴν παρέλαβε, τὴν ἔβγαλε κρυφὰ ἀπὸ τὸν οἶκον τῆς ἁμαρτίας καὶ τὴν ἀνεβίβασεν εἰς τὸ ἄλογον, τὸ ὁποῖον ὡδήγει, πεζός, ὁ Ἀβράμιος, σύρων αὐτὸ ἀπὸ τὸ χαλινάρι.

42. Ὅταν ἔφθασαν εἰς τὸ ὄρος, ὁ Ὅσιος ἐκράτησε διὰ τὸν ἑαυτόν του τὸν ἐξωτερικὸν οἰκίσκον, καὶ προσέφερε διὰ κατοικίαν εἰς τὴν Μαρίαν τὸν ἐσωτερικόν. Εἰς αὐτὸ τὸ ἐσωτερικὸν καλυβάκι ἐφυλακίσθη, μὲ τὴν θέλησίν της, ἡ Μαρία, χωρὶς οὐδόλως νὰ ἐξέρχεται, καὶ ἠσχολεῖτο πλέον εἰς τὸ νὰ ἐξαλείψῃ, μὲ νηστείας, προσευχὰς καὶ δάκρυα, τοὺς ἐκ τῆς ἁμαρτίας σπίλους τῆς ψυχῆς της.

43. Αὐτὴ ἡ ἐπαγρύπνησις καὶ ὁ σκληρὸς ἀγὼν τῆς Μαρίας ἐπεβάλλοντο, διότι μόλις πρὸ ὀλίγου συνῆλθεν ἀπὸ τὴν μέθην τῶν σωμα-

τικῶν παθῶν· αἱ δὲ ἀναμνήσεις των ἀνεστρέφοντο διαρκῶς μέσα εἰς τὸν ψυχικόν της κόσμον καὶ ἐβασάνιζαν τὴν ψυχήν της καὶ τὴν συνείδησίν της, μολονότι ὁ Θεὸς συνεχώρησεν αὐτὴν δι' ὅσα εἶχεν ἁμαρτήσει καὶ τοῦτο τῆς τὸ ἀπέδειξε διὰ θαυμαστοῦ τρόπου, καταστολίσας μάλιστα αὐτὴν καὶ μὲ χαρίσματα θαυματουργίας. Ὁ Ἅγιος Ἀβράμιος παρακολουθῶν ὅλα αὐτά, ἐχαίρετο βαθύτατα καὶ ηὐχαρίστει θερμῶς τὸν Θεόν.

44. Ὁ Ἅγιος Ἀβράμιος ἔφθασεν εἰς βαθύτατον γῆρας, γέρων δὲ πλέον καὶ πλήρης ἡμερῶν φεύγει ἀπὸ τὸν μάταιον αὐτὸν κόσμον καὶ μεταβαίνει πρὸς τὰς οὐρανίους σκηνάς· πέντε δὲ ἔτη μετὰ τὸν θάνατόν του ἀποθνήσκει καὶ ἡ ἀνεψιά. Εἰς τὸ πρόσωπον τῆς νεκρᾶς ἀνθοῦσε μία γλυκύτης καὶ ἔλαμπε μία ὁλόφωτη ἀκτίς· αὐτὸ ἦτο ἕνα ἀλάνθαστον σημεῖον ψυχῆς ποὺ κατελαμπρύνθη ἀπὸ τὴν μετάνοιαν καὶ τὴν ἀρετήν.

Γ'. Ἐν τῷ ὑπομνήματι τῷ εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Θεολόγον.

Ο ΜΕΓΑΣ Ἰωάννης ἀφικόμενος, μετὰ τὴν ἀπὸ τῆς Πάτμου κάθοδον, ἐπί τινα τῶν οὐ πόρρω πόλεων, καὶ οὐ μετρίως τοὺς ἀδελφοὺς ἐν ταύτῃ διαναπαύσας, εὑρίσκει τινὰ νεανίσκον ἐκεῖ, τὸ μέγεθος μέτριον καὶ τὴν ὄψιν ἀστεῖον· καὶ τῇ διορατικῇ τοῦ πνεύματος ἐνεργείᾳ, τὴν ἐκείνου τῆς ψυχῆς εὐγένειαν, καὶ τοῦ ἤθους τεκμηριωσάμενος τὴν ἐλευθερίαν, εὐλογίας τε μεταδίδωσι τῷ νεανίσκῳ καὶ πρὸς ἀρετὴν αὐτὸν ὑπαλείφει καὶ διανίστησιν.

2. Ἐπεὶ δὲ καὶ ἀποδημεῖν ἔμελλεν ἤδη, ἵνα καὶ ἀλλαχοῦ κηρύξῃ τὸ σωτήριον κήρυγμα, τῷ τῆς πόλεως Ἐπισκόπῳ τὸν νεανίσκον ἐπὶ τῆς Ἐκκλησίας καὶ τοῦ Χριστοῦ Μάρτυρος παρακατατίθεται, πολλὰ περὶ τῆς ἐκείνου παιδείας καὶ τῆς ἀγωγῆς αὐτῷ ἐπισκήψας.

3. Ὁ δὲ ἐδέξατό τε προθύμως καὶ ὑπερβαλέσθαι αὐτὸν ὑπέσχετο τῇ περὶ τὸν νεανίσκον ἐπιμελείᾳ. Εἶτα ὁ μὲν πρὸς τὴν Ἔφεσον ἀπαίρει, ὁ δὲ Ἐπίσκοπος, οἴκαδε τὸν νεανίσκον παραλαβών, ἔτρεφεν, ἐπαίδευεν, ἐπεμελεῖτο καὶ τέλος ἐβάπτισεν· ὡς δέ, τῇ τοῦ Κυρίου σφραγῖδι, τὸ ἀσφαλὲς αὐτῷ ἐπέβαλε φυλακτήριον, τὸ λοιπὸν ὑφῆκε τῆς φυλακῆς.

4. Τὸν δὲ πρὸ ὥρας λαβόμενον ἀνέσεως, ὑποδύονταί τινες ἥλικες, τὰς ὁρμὰς ἀχάλινοι καὶ ἀνάγωγοι· καὶ τὸ πρῶτον ἐπαγωγὸν εἰς κακίαν, φιλοτίμοις ἑστιάσεσι, καὶ τραπέζαις ὑποποιοῦνται τὸν νέον. Τὰ δὲ ἐντεῦθεν ὁποῖα; λίαν γὰρ κατάντης ἡ τῆς κακίας ὁδός, καὶ τὸν τὴν πρώτην αὐτῆς ἁψάμενον, πάνυ ῥᾴδιον δι' ὁμαλοῦ τοῦ παντός, εὐθὺς κατενεχθῆναι εἰς τὸ ἀκρότατον.

5. Ταύτῃ τοι καὶ νύκτωρ ἐπὶ λωποδυσίαν ἀνιόντες, τὸν νεανίσκον ἐπάγονται. Ὁ δὲ ὑποτυφώμενος ἤδη πρὸς τὸν τῆς λῃστείας ἔρωτα, καὶ τῇ τῶν χρημάτων ἐλπίδι τὴν ὁρμὴν παραθήξας, οὐδὲν ἔτι μικρὸν ἐνενόει διὰ μέγεθος φύσεως· ἀμέλει καὶ λῃστῶν μὲν ἑταιρίαν τοὺς περὶ αὐτὸν ἐπεδείξατο, λήσταρχος δὲ πρῶτος ἦν οὗτος βεβαιότατος.

6. Μετὰ δὲ ταῦτα, τῇ πόλει καὶ αὖθις ὁ Μέγας Ἰωάννης ἐπιδημήσας, ἐπεὶ τ' ἄλλα ὧν ἕνεκεν ὡς το εἰκὸς κατεστήσατο, ἄγε δῆτα, πρὸς τὸν Ἐπίσκοπόν φησι, τὴν παρακαταθήκην παράδος ἡμῖν, ἣν ἐγώ σοι καὶ ὁ Χριστὸς ὑπὸ μάρτυρι τῇ Ἐκκλησίᾳ παρακατεθέμεθα.

7. Τὸν δὲ χρήματα εἶναι τὰ ζητούμενα ὑπολαβόντα, πρῶτον μὲν ἔκπληξις εἶχεν, ἃ μὴ συνῄδει λαβὼν ἀπαιτούμενον, καὶ μήτε πιστεύειν ἐφ' οἷς οὐκ εἶχε, μήτε ἀπιστεῖν Ἰωάννην δυνάμενον.


Ὁ ὅσιος Ἀβράμιος καὶ ἡ ἀνεψιὰ
αὐτοῦ ὁσία
Μαρία

8. Ὡς δέ, τὸν νεανίσκον, εἶπεν, ἀπαιτῶ καὶ τοῦ ἀδελφοῦ τὴν ψυχήν, βύθιόν τι στενάξας ὁ πρεσβύτης ἐνθερμοτέρῳ τῷ πνεύματι, καὶ ὑποδακρύσας ἐλεεινόν, ἐκεῖνος, ἔφη, τέθνηκε. Πότε δὲ καὶ πῶς, καὶ τίνα τὸν θάνατον ἐρωτηθείς, Θεῷ τέθνηκεν, εἶπε, λῃστεύειν ἑλόμενος, καὶ τὸ ὄρος ἀντὶ τῆς Ἐκκλησίας οἰκεῖν, καὶ τῆς ἡμετέρας περὶ αὐτὸν ἐπιμελείας καὶ τῆς φροντίδος, τὴν μετὰ τῶν κακούργων μᾶλλον διατριβὴν ἀσπασάμενος.

9. Ὁ δὲ λίαν ἐπὶ τούτῳ περιπαθήσας, ἥπου καλόν γε, ἔφη, φύλακά σε τῆς τοῦ ἀδελφοῦ ψυχῆς καταλέλοιπα· ἀλλ' ἵππος δὴ παρέστω· καὶ ἡγεμὼν δεδόσθω μοι τῆς ὁδοῦ, καὶ αὐτίκα ἐπιβάς, ἤλαυνεν ὅλαις ἡνίαις, τὸ τοῦ ἵππου τάχος πρὸς τὴν αὐτοῦ σπουδὴν μηδὲν εἶναι οἰόμενος.

10. Καὶ δὴ τὸ ὄρος καταλαβών, ὑπὸ τῆς προφυλακῆς τῶν λῃστῶν μὴ παραιτούμενος, μηδὲ φεύγων, ἁλίσκεται· καὶ ἐπὶ τούτῳ ἐλήλυθα, καὶ εἰς τὸν ἄρχοντα ὑμῶν ἄγετέ με, φησίν. Ὁ δέ, ἐπειδὴ τοῦτον ἐκεῖνον τὸν Ἰωάννην εἶναι ἔγνω, φεύγει μὲν αἰδεσθείς, διώκεται δὲ παρ' αὐτοῦ, καὶ γήρως ἐπιλαθομένου, καὶ τοῦ κατὰ κόσμον κινήματος.

11. Εἶτα μέγα τι καὶ βαρὺ φθεγξάμενος, τί με, τέκνον, εἶπε, τὸν πατέρα φεύγεις τὸν σόν; αἰδέσθητι τὴν ἐμὴν πολιάν· τὸ τῆς σῆς ἡλικίας ἄνθος ἐλέησον· ζωῆς ἐλπὶς ἔτι σοι περιλέλειπται· ἐγὼ τὸν ὑπὲρ σοῦ λόγον ὑφέξω· στῆθι κατὰ χώραν, τέκνον, Χριστὸς ἀπέσταλκέ με πρὸς σέ.

12. Τούτων ἀκούσας ὁ νεανίσκος, πρῶτα μὲν ἔστη, τῷ ἐδάφει ἀτενὲς ἐνορῶν, μηδὲ ἀνανεῦσαι ὑπὸ τῆς αἰδοῦς δυνάμενος, εἶτα δίδωσι τὰ ὅπλα τῇ γῇ· καὶ οἰκτρόν τι καὶ περιπαθὲς ἀνοδύρεται· καὶ προσελθόντα περιβάλλει τὸν Γέροντα· ποίων μὲν διὰ τὰς οἰμωγάς, ποίων δὲ διὰ τὰ θερμὰ δάκρυα στεναγμῶν καὶ θρήνων οὐκ ἄξιος;

13. Ὁ δέ, οἷα πατὴρ φιλοστοργότατος καὶ εὐσπλαγχνικώτατος, ἐγγυᾶται τῷ νεανίσκῳ τὴν ἄφεσιν· ἵλεων ὑπισχνεῖται τὸν Δικαστήν· καὶ τῆς δεξιᾶς λαβόμενος καταφιλεῖ, καὶ πρὸς τὴν Ἐκκλησίαν ἐπανάγει τὸν νεανίσκον.

14. Εἶτα δαψιλεῖ μὲν τῇ προσευχῇ χρώμενος, διαρκεῖ δὲ τῇ νηστείᾳ προσκαρτερῶν, καὶ τὴν τοῦ νεανίσκου ψυχὴν ποικίλοις λόγων ἐπᾴσμασιν, οἷά τισι φαρμάκοις καταμαλάττων, οὐ πρότερον ἀπεδήμησε, πρὶν ὅτε δὴ τούτῳ τὴν πρώτην ὑγείαν ἐχαρίσατο, μέγα τι τῷ βίῳ ὑπόδειγμα καταλιπὼν εἰς μετάνοιαν, καὶ τῆς ἑαυτοῦ φιλανθρωπίας καὶ συμπαθείας ὑπόμνημα.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ὁ Μέγας Ἰωάννης, μετὰ τὴν ἐπιστροφήν του ἀπὸ τὴν Πάτμον, μετέβη εἰς μίαν γειτονικὴν πόλιν, ὅπου, μὲ τὴν διδασκαλίαν του καὶ τὴν ἀγάπην του, ἱκανοποίησεν ἀρκετὰ τοὺς ἀδελφούς· ἐκεῖ λοιπὸν εὑρίσκει καὶ ἕνα νεανίσκον κανονικοῦ ἀναστήματος, ὡραιότατον κατὰ τὸ πρόσωπον. Μὲ τὴν διορατικὴν ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος ἀντελήφθη ὁ Μέγας Ἰωάννης, ὅτι ὁ νεανίσκος αὐτὸς ἦτο εὐγενὴς εἰς τὴν ψυχήν, καὶ δὲν εἶχε περιπέσει εἰς ἠθικὰς παρεκτροπάς. Τὸν εὐλογεῖ λοιπὸν καί, μὲ πατρικὰς προτροπάς, τοῦ κεντᾷ τὸν ζῆλον πρὸς τὴν ἀρετήν.

2. Ἐπειδὴ δὲ ὁ θεῖος Ἰωάννης ἐπρόκειτο νὰ ταξιδεύσῃ εἰς ἄλλα μέρη, διὰ νὰ κηρύξῃ τὸν λόγον τῆς σωτηρίας, τὴν εἰς Χριστόν, δηλαδή, πίστιν, ἐμπιστεύεται τὸν νεανίσκον εἰς τὸν Ἐπίσκοπον τῆς πόλεως, ἐνώπιον τῆς Ἐκκλησίας καὶ τοῦ Χριστοῦ Μάρτυρος, ἔδωσε δὲ λε-

πτομερεῖς ἐντολὰς καὶ ὁδηγίας εἰς τὸν Ἐπίσκοπον διὰ τὴν κατὰ Χριστὸν μόρφωσιν καὶ ἀγωγὴν τοῦ νεανίσκου.

3. Ὁ Ἐπίσκοπος ἤκουσε μετὰ προθυμίας τὰς συστάσεις τοῦ Ἀποστόλου καὶ ὑπεσχέθη νὰ φροντίσῃ μὲ τὸ πάρα πάνω διὰ τὸν νεανίσκον. Μετὰ ταῦτα ὁ μὲν Μέγας Ἰωάννης ἀναχωρεῖ πρὸς τὴν Ἔφεσον, ὁ δὲ Ἐπίσκοπος παραλαμβάνει τὸν νεανίσκον εἰς τὸ σπίτι του· ἐκεῖ τὸν ἔτρεφε, τὸν ἐξεπαίδευεν εἰς τὴν Χριστιανικὴν πίστιν, καὶ ἐν γένει τὸν ἐφρόντιζεν εἰς ὅλα, εἰς τὸ τέλος δὲ τὸν ἐβάπτισεν. Ἀφοῦ λοιπὸν ὁ Ἐπίσκοπος διὰ τῆς σφραγῖδος τοῦ Κυρίου (τοῦ ἱεροῦ δηλαδὴ βαπτίσματος) ὑπέδειξεν εἰς αὐτὸν ἀσφαλῆ τρόπον προστασίας κατὰ παντὸς κινδύνου, τὸν ἄφησε πλέον ἐλεύθερον ἀπὸ τὴν ἐπιτήρησίν του.

4. Ὁ νέος ὅμως ἔτυχεν ἀνέσεως, πρὶν ἀκόμη ἑδραιωθῇ σταθερῶς εἰς τὴν ψυχήν του ἡ Πίστις. Δι' αὐτὸ κατώρθωσαν μερικοὶ νέοι συνομήλικοί του, ἀχαλίνωτοι καὶ διεφθαρμένοι, νὰ τὸν πλησιάσουν καὶ νὰ τὸν παρασύρουν εἰς τὴν διαφθοράν, μὲ ὡρισμένα φιλικὰ τραπέζια καὶ συμπόσια. Ποῖον ὅμως ὑπῆρξε τὸ ἀποτέλεσμα;

Δυστυχῶς ὁ δρόμος τῆς κακίας εἶναι πολὺ κατηφορικός, καὶ ἐκεῖνος ποὺ πρώτην φορὰν θὰ τὸν ἀκολουθήσῃ, εὐκόλως φθάνει εἰς τὸ τελευταῖον βάθος, ὅταν μάλιστα ὅλα γύρω του τὸν διευκολύνουν εἰς τὸν κατήφορον αὐτόν.

5. Τὸ ἴδιον συνέβη καὶ μὲ τὸν νέον, ποὺ συναναστράφη μὲ τοὺς διεφθαρμένους καὶ αἰσχροὺς φίλους. Οὕτω μίαν νύκτα, ποὺ ἐπῆγαν διὰ νὰ κλέψουν, ἐπῆραν μαζί των καὶ τὸν νεανίσκον. Ὁ νεανίσκος, ποὺ εἶχεν ἤδη συγκινηθῆ ἀπὸ τὸν ἔρωτα τῆς ληστείας, ἐξεδήλωσε καὶ ἰσχυρὰν πρὸς αὐτὴν ὁρμὴν ἀπὸ τὴν ἐλπίδα τῆς ἀνευρέσεως χρημάτων· τόσον δὲ εἶχεν ἀποτυφλωθῆ ἀπὸ τὴν ἔντασιν τοῦ πάθους, ὥστε οὔτε κατ' ἐλάχιστον πλέον δὲν ἐσκέπτετο χριστιανικά. Γρήγορα δὲ καὶ χωρὶς ἀναβολὴν συνεκρότησε μὲ τοὺς φίλους του μίαν συμμορίαν ληστῶν, καὶ αὐτὸς ἀνεδείχθη πρῶτος μεταξύ των, ὡς πλέον καταλληλότερος· οἱ ὑπόλοιποι τὸν ἀνεγνώρισαν ὡς ἀρχηγόν των.

6. Μετ' ὀλίγον καιρὸν ἐπιστρέφει καὶ πάλιν εἰς τὴν πόλιν ἐκείνην ὁ Μέγας Ἰωάννης, ἀφοῦ ἐτακτοποίησεν ὅπως ἔπρεπε τὰς ὑποθέσεις τῆς Ἐκκλησίας, κατὰ τὴν περιοδείαν του. Ἀμέσως λοιπὸν καλεῖ πλησίον του τὸν Ἐπίσκοπον καὶ τοῦ λέγει:

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΕΑΝ ΤΙΣ μετὰ φόβου Θεοῦ καὶ ταπεινώσεως ἐπιτάξῃ ἀδελφῷ πρᾶγμα ποιῆσαι, ὁ λόγος ἐκεῖνος, ὁ διὰ τὸν Θεὸν ἐξερχόμενος, ποιεῖ τὸν ἀδελφὸν ὑποταγῆναι καὶ ποιῆσαι τὸ προσταχθέν.

2. Εἰ δέ τις οὐ κατὰ φόβον Θεοῦ, ἀλλ' ὡς δι' αὐθεντείας θέλων ἐξουσιάζειν τοῦ ἀδελφοῦ ἐπιτάξει, ὁ Θεός, ὁ βλέπων τὰ κρυπτὰ τῆς καρδίας, οὐ πληροφορεῖ αὐτὸν ἀκοῦσαι ἢ ποιῆσαι.

3. Φανερὸν γάρ ἐστι πᾶν τὸ διὰ τὸν Θεὸν γινόμενον, καὶ φανερὸν τὸ τῆς αὐθεντείας· τὸ τῆς αὐθεντείας, θυμοῦ γέμει καὶ ταραχῆς· καὶ δῆλον ὡς ἐκ τοῦ πονηροῦ ἐστιν.

4. Ἀδελφὸς ἐλυπεῖτο κατὰ ἀδελφοῦ· καὶ ἀκούσας ἐκεῖνος, ἦλθε μετανοῆσαι αὐτῷ· ὁ δὲ οὐκ ἤνοιξεν αὐτῷ τὴν θύραν.


5. Ἀπῆλθεν οὖν πρός τινα Γέροντα, καὶ διηγήσατο αὐτῷ τὸ πρᾶγμα· καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· ὅρα μὴ δικαίωμα ἔχεις ἐν τῇ καρδίᾳ σου, ὡς μεμφόμενος τὸν ἀδελφόν σου, ὅτι ἐκεῖνος ἐστὶν αἴτιος, σεαυτὸν δὲ δικαιοῖς, καὶ διὰ τοῦτο οὐκ ἐπληροφορήθη ἀνοῖξαι σοι; Τοῦτο οὖν ποίησον, κἂν ἐκεῖνος ἥμαρτε κατὰ σοῦ, ὕπαγε, θὲς εἰς τὴν καρδίαν σου, ὅτι σὺ ἥμαρτες κατ' αὐτοῦ, τὸν δὲ ἀδελφόν σου δικαίωσον, καὶ τότε ὁ Θεὸς πληροφορεῖ αὐτὸν ὁμονοῆσαί σοι.

6. Καὶ πεισθεὶς ὁ ἀδελφὸς ἐποίησεν οὕτως· καὶ ἀπελθὼν πάλιν πρὸς τὸν ἀδελφόν, ἔκρουσεν· ὡς δὲ ἐκεῖνος μόνον ᾔσθετο ἔσωθεν, πρῶτος αὐτῷ μετενόησε, καὶ ἀνοίξας ἠσπάσατο αὐτὸν ἀπὸ ψυχῆς καὶ γέγονεν ἀμφοτέροις εἰρήνη μεγάλη.

7. Εἶπε Γέρων· μὴ καταφρόνει τοῦ παρεστηκότος σοι· οὐκ οἶδας γὰρ εἰ ἐν σοί ἐστι τὸ τοῦ Θεοῦ Πνεῦμα, ἢ ἐν αὐτῷ· παρεστηκότα δὲ λέγω τὸν διακονοῦντά σοι.

8. Μέλλοντος τοῦ Ἀββᾶ Ῥωμανοῦ τελευτᾶν, συνήχθησαν πρὸς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπον αὐτῷ· πῶς ὀφείλομεν διοικηθῆναι;

9. Ὁ δὲ Γέρων εἶπεν· οὐδέποτε οἶδα εἰπών τινι ὑμῶν ποιῆσαι τίποτε, εἰ μὴ πρότερον ἐποίησα τὸν λογισμόν μου μὴ ὀργισθῆναι, ἐὰν μὴ ποιήσῃ ὃ εἶπον γενέσθαι, καὶ οὕτως ὅλον τὸν χρόνον ἡμῶν ᾠκήσαμεν μετ' εἰρήνης.


Ὁ ἈΒΒΑ͂Ϲ
ΡωΜΑΝΌϹ

Ἑρμηνεία

ΕΑΝ κανεὶς προστάξῃ, μὲ φόβον Θεοῦ καὶ ταπείνωσιν, ἕνα ἀδελφὸν νὰ ἐκτελέσῃ κάτι, τότε ὁ λόγος του αὐτός, ἐξερχόμενος ἀπὸ τὸ στόμα του διὰ τὸν Θεόν, καθιστᾷ τὸν ἀδελφὸν πρόθυμον νὰ ὑπακούσῃ καὶ νὰ ἐκτελέσῃ τὴν ἐντολήν.

2. Ἐὰν ὅμως κανείς, ὄχι μὲ φόβον Θεοῦ, ἀλλ' ὡς αὐθέντης ἐπιθυμῶν νὰ ἐξουσιάζῃ τὸν ἀδελφὸν διατάξῃ, τότε ὁ Θεός, ποὺ γνωρίζει τὰς μυστικὰς διαθέσεις τῆς καρδίας ,δὲν πληροφορεῖ διὰ τῆς Χάριτός Του τὸν διατασσόμενον ἀδελφόν, ὥστε νὰ ἀκούσῃ προθύμως ἢ νὰ ἐκτελέσῃ τὰ ἐπιτασσόμενα.

3. Διότι καὶ κάθε τὶ ποὺ γίνεται διὰ τὸν φόβον τοῦ Θεοῦ εἶναι φανερόν, ὅπως καὶ ἐκεῖνο ποὺ ἐπιβάλλεται ἀπὸ αὐταρχικότητα. Τὸ προερχόμενον ἀπὸ τὴν αὐταρχικότητα πρόσταγμα εἶναι γεμᾶτον ἀπὸ θυμόν, προκαλεῖ ταραχὴν καί, ὡς ἐκ τούτου, φαίνεται, ὅτι εἶναι ἀπὸ ἔμπνευσιν τοῦ πονηροῦ.

4. Ἕνας ἀδελφὸς ἐλυπεῖτο ἐναντίον ἑνὸς ἄλλου ἀδελφοῦ· ὅταν λοιπὸν τὸ ἐπληροφορήθη ἐκεῖνος, ἦλθε διὰ νὰ τοῦ ζητήσῃ συγχώρησιν, πλὴν ὅμως ὁ ἄλλος ἀδελφὸς δὲν τοῦ ἤνοιξε τὴν θύραν.

5. Ἀμέσως τότε μετέβη εἰς ἕνα Γέροντα καὶ τοῦ διηγήθη τὸ περιστατικόν. Ὅταν τὸν ἤκουσεν ὁ Γέρων, τοῦ ἀπήντησε:

—Πρόσεξε, μήπως ἔχεις τὴν γνώμην, ὅτι ἐκεῖνος εἶναι ὁ αἴτιος τοῦ σκανδαλισμοῦ σας, καὶ τὸν μέμφεσαι, δικαιολογεῖς δὲ τὸν ἑαυτόν σου, καὶ διὰ τοῦτο ἐκεῖνος δὲν πληροφορεῖται ἀπὸ τὸν Θεὸν νὰ σοῦ ἀνοίξῃ. Κάμε λοιπὸν αὐτὸ ποὺ θὰ σοῦ εἴπω, ἔστω καὶ ἂν ἐκεῖνος ἔπταισεν ἀπέναντί σου. Πήγαινε πάλιν εἰς τὸν ἀδελφόν, βάλε ὅμως καλὰ μέσα εἰς τὴν καρδίαν σου, ὅτι σὺ ἡμάρτησες ἐναντίον του, καὶ δικαίωσε, μὲ εἰλικρίνειαν, τὸν ἀδελφόν σου, διὰ τὴν στάσιν του, καὶ τότε νὰ εἶσαι βέβαιος, ὅτι ὁ Θεὸς θὰ τὸν πληροφορήσῃ, καὶ θὰ συμφιλιωθῇ μαζί σου.

6. Ὁ ἀδελφὸς ἐπείσθη πράγματι εἰς τὰς συμβουλὰς τοῦ Γέροντος καὶ ἐνήργησεν, ὅπως τοῦ ὑπέδειξε. Μετ' ὀλίγας ἡμέρας μετέβη πάλιν πρὸς τὸν ἀδελφόν, ὅστις ἦτο λυπημένος κατ' αὐτοῦ, καὶ ἐκτύπησε τὴν θύραν τοῦ κελλίου του. Μόλις ὁ ἀδελφὸς ἀντελήφθη ἀπὸ μέσα τὴν ἄφιξίν του, πρὶν καλὰ—καλὰ ἐκεῖνος κτυπήσῃ; τοῦ ἤνοιξε μετὰ χαρᾶς καὶ πρῶτος ἔβαλλεν εἰς αὐτὸν μετάνοιαν, τὸν κατησπάσθη ἀπὸ βάθους ψυχῆς, καὶ οὕτω ἐπῆλθε μεταξύ των ὁμόνοια καὶ εἰρήνη εἰλικρινής.

7. Ἕνας Γέρων εἶπε· «μὴ περιφρονῇς αὐτὸν ποὺ μένει κοντά σου, διότι δὲν γνωρίζεις, ἐὰν τὸ Πνεῦμα τοῦ Θεοῦ ἀναπαύεται εἰς σὲ ἢ εἰς αὐτόν. Αὐτὸς δὲ ποὺ μένει κοντά σου εἶναι ἐκεῖνος, ποὺ σὲ ὑπηρετεῖ».

8. Ὅταν ὁ Ἀββᾶς Ρωμανὸς εὑρίσκετο εἰς τὰς τελευταίας στιγμὰς τῆς ζωῆς του, ὀλίγον πρὶν ἀπέλθῃ πρὸς Κύριον, συνεκεντρώθησαν γύρω του οἱ ὑποτακτικοί του καὶ μετὰ σεβασμοῦ τὸν ἠρώτησαν:

—Πῶς πρέπει τοῦ λοιποῦ νὰ διοικούμεθα;

9. Ὁ Ἀββᾶς Ρωμανὸς τοὺς ἀπήντησε:

—Ποτὲ δὲν ἐνθυμοῦμαι νὰ εἶπα εἰς κάποιον ἀπὸ σᾶς νὰ κάμῃ κάτι, ἐὰν προηγουμένως δὲν ἐπέβαλλα εἰς τὸν λογισμόν μου νὰ μὴ ὀργισθῇ εἰς περίπτωσιν, ποὺ δὲν θὰ γίνῃ αὐτὸ ποὺ εἶπα. Μὲ τὴν τακτικὴν αὐτὴν κατωρθώσαμεν νὰ συγκατοικήσωμεν εἰρηνικὰ μαζὶ καθ' ὅλον αὐτὸ τὸ διάστημα.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ.

ἈΔΕΛΦΕ, ἐπιστεύθης ψυχήν; ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, ἀγὼν γὰρ ἥκει οὐ μικρός, ἔργον γὰρ ἀνεδέξω τελείων ἀνδρῶν. Νῆφε οὖν, ὅτι πολλῆς προσοχῆς τὸ πρᾶγμα δέεται, καὶ μὴ καταφρονήσῃς, ἀλλ' ἐν πάσῃ ἁγιότητι ἔστω ὑμῶν ἡ ἀναστροφὴ μετ' ἀλλήλων, μήποτε ἐξ ἀπροσεξίας ὑποσπείρῃ τι τῶν ἰδίων ὁ ἐχθρός, ἐξ ὑπακοῆς τοῦ ἀντικειμένου.

2. Ὁ γὰρ ὑπερβαίνων τοὺς ὅρους τῆς ἁγνείας καὶ σωφροσύνης, καὶ τὴν ὑπακοὴν ἀπαιτῶν πρὸς ἡδυπάθειαν, φοβερὰν ἑαυτῷ καὶ φρικωδεστάτην ἐπισπᾶται τὴν κόλασιν, οὐκ ἐλάττονα, οἶμαι, τῶν σταυρωσάντων τὸν Κύριον, ὅτι τὸν ἡγιασμένον ναὸν τοῦ Θεοῦ διαφθεῖραι ἐτόλμησεν, ὃν τὸ Ἅγιον Πνεῦμα αὐτῷ ἐνεπίστευσε.

3. Φησὶ δὲ καὶ ὁ Ἀπόστολος· «εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός». Ἀλλ' οὐδὲ ὁ ὑπακούων εἰς τὸ τοιοῦτον πρᾶγμα ἀτιμώρητος ἔσται παρὰ Θεῷ· διατὶ γὰρ οὐκ ἐμιμήσατο τὸν σώφρονα Ἰωσήφ, ἢ τὴν μακαρίαν Σωσάνναν ἐζήλωσεν;

4. Ὁ μὲν γὰρ Ἰωσήφ, καίπερ εἰς δουλείαν πραθείς, οὐ συναπήχθη ταῖς κολακείαις τῆς κυρίας αὐτοῦ, οὐδὲ αἱ τοῦ θανάτου ἀπειλαὶ ἐπτόησαν τὸν φιλόθεον· ποτὲ μὲν γὰρ κολακεύουσα τὸν νέον, ἐπηγγέλλετο διδόναι δόματα πολλά, μὴ πειθομένου δὲ αὐτοῦ, πολλάκις ἠπείλει καὶ βασάνους καὶ θάνατον.

5. Ὁ δὲ οὐδὲν τῆς σωφροσύνης προέκρινεν, ἀλλ' εἵλετο θανεῖν μᾶλλον, ἢ τοιούτῳ μύσει περιπεσεῖν, ὃ τοῦ ἡμετέρου κατὰ πολὺ ἐλαφρότερον· καὶ ὑπήκοος γὰρ ὑπάρχων κατὰ πάντα τοῖς κυρίοις αὐτοῦ, τοῦτο μόνον εὐσεβῶς παρῃτήσατο, «ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν». Ὁμοίως δὲ καὶ ἡ μακαρία Σωσάννα θανεῖν ἡρετίσατο, ἢ ἁμαρτεῖν ἐνώπιον τοῦ Θεοῦ.

6. «Μετὰ φόβου» οὖν, «καὶ τρόμου», ἀδελφοί, «τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε» κατὰ τὴν τοῦ Ἀποστόλου παραίνεσιν· σφόδρα γὰρ ἀντίκειται ὁ ἐχθρὸς κατὰ τῶν κατορθούντων τὰς ἀρετάς, καὶ διὰ πάντων παγιδεῦσαι τούτους ἐπιχειρεῖ· ἀλλ' εἰ προσέχομεν ἑαυτοῖς καὶ τῷ φόβῳ τοῦ Θεοῦ, εὐχερῶς τοῦτον καταπατήσομεν.

7. Δεῖ δὲ τοὺς μειζοτέρους, τύπους εἶναι τοῖς μικροτέροις πρὸς πᾶσαν ἀρετήν, ὅπως μὴ δῶμεν ἀφορμὴν τοῖς ζητοῦσιν ἀφορμήν· λέγει γὰρ ὁ Κύριος· «ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν».

8. Καὶ ὁ Ἀπόστολος παραινεῖ λέγων· «τύπος γίνου τῶν πιστῶν»· ἤκουσας τοῦ Ἀποστόλου λέγοντος· «ὁ προϊστάμενος ἐν σπουδῇ»· καὶ «μηδείς σου τῆς νεότητος καταφρονείτω».

9. Ὅρα οὖν, μήποτε ἐμπαθῶς χρήσῃ τῇ διδασκαλίᾳ, «μηδ' ὡς κατακυρι-

εύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου, καὶ φανερωθέντος τοῦ Ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον».

10. Καὶ πάλιν λέγει· «Μιμηταί μου, γίνεσθε καθὼς κἀγὼ Χριστοῦ»· ἡ γὰρ ὑπερηφανία ἀλλοτρία τυγχάνει τῶν πιστῶν, κατὰ τὸν λέγοντα· «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι Χάριν».

11. Ἀδελφέ· Ἡγούμενόν σε κατέστησαν; μὴ ἐπαίρου· γενοῦ δὲ ἐν τοῖς ἀδελφοῖς ὡς εἷς ἐξ αὐτῶν· ἀναλογίζου πόνους σου τοὺς προτέρους, ἤγουν τοὺς ἐν τῇ ὑποταγῇ, καὶ γνῶθι ὅτι ἐν ταύτῃ ἀναστρέφονται, καὶ μὴ ἀμέλει αὐτῶν, ἀλλ' ἐπιμελοῦ.

12. Ὁ ἐπιμελούμενος ἀδελφῶν αὐτοῦ ἔν τε παιδείᾳ καὶ νουθεσίᾳ, εὐάρεστος Κυρίῳ καὶ τίμιος ἔσται· τῷ ἐπισπλαγχνιζομένῳ τῷ πλησίον αὐτοῦ, καὶ αὐτῷ ἐπισπλαγχνισθήσεται ὁ Κύριος διὰ παντός· ἐλεημοσύνη γὰρ ἀνδρὸς ὡς σφραγὶς μετ' αὐτοῦ ἐστιν.

13. Ἐν τῷ μηδενὸς ἐξουσιάζειν, πρᾳΰς καὶ συμπαθὴς εἶναι δοκεῖ· εἶτα καταστὰς εἰς τὸ ἄρχειν τε καὶ κελεύειν, ἀδιακρίτως τῇ ἐξουσίᾳ κέχρηται· εἰ δὲ ἀφαιρεθῇ ἡ ἀρχὴ ἀπ' αὐτοῦ, τὰ ὑπ' αὐτοῦ προσταχθέντα φέρειν οὐ δύναται· καὶ τότε ἐπιγινώσκει τὴν ἑαυτοῦ ἀσθένειαν, ἣν τὸ πρότερον ἠγνόει ὡς ἄσοφος, τῇ ἐξουσίᾳ τὸν νοῦν σκοτιζόμενος.

Ἑρμηνεία

ἈΔΕΛΦΕ μου, σοῦ ἐνεπιστεύθη ὁ Θεὸς νὰ κατευθύνῃς μίαν ψυχήν; Ζῶσε τὴν μέσην σου, σὰν ἄνδρας ἐξερχόμενος πρὸς ἐργασίαν ἢ πόλεμον, διότι διανοίγεται ἐνώπιον σου ἀγὼν σοβαρὸς καὶ ὄχι μικρός. Νὰ ἀγρυπνῇς λοιπόν, διότι τὸ πρᾶγμα ἔχει ἀνάγκην πολλῆς προσοχῆς καὶ μὴ ἀδιαφορήσῃς καταφρονητικά· ἡ μεταξύ σας ἐπικοινωνία ἂς γίνεται μετὰ πάσης ἁγιότητος, μήπως ὁ ἐχθρός, ἀπὸ ἀπροσεξίαν σας, σπείρῃ κρυφίως κάτι ἀπὸ τὰ σπέρματα τῆς κακίας του, ἐκ τυχὸν ὑπακοῆς σας εἰς τὰς ὑποδείξεις τοῦ πονηροῦ.

2. Διότι ὅποιος ὑπερβαίνει τοὺς ὅρους τῆς ἁγνείας καὶ τῆς σωφροσύνης καὶ ἀπαιτεῖ ἀπὸ τὸν ὑποτακτικόν του νὰ τὸν ὑπακούῃ χάριν ἀπολαύσεως σωματικῶν ἡδονῶν, προκαλεῖ εἰς βάρος του κόλασιν φοβερὰν καὶ φρικτοτάτην, κατὰ τὴν γνώμην μου δέ, ὄχι ὀλιγωτέραν τῆς κολάσεως, τὴν ὁποίαν ὑπέστησαν οἱ σταυρώσαντες τὸν Κύριον, ἐπειδὴ ἐτόλμησε νὰ διαφθείρῃ τὸν Ναὸν τοῦ Θεοῦ, ποὺ εἶναι ἡγιασμένος, καὶ τοῦ τὸν ἐνεπιστεύθη τὸ Ἅγιον Πνεῦμα.

3. Σχετικῶς καὶ ὁ Ἀπόστολος Παῦλος λέγει· «ἐὰν κανεὶς καταστρέφῃ τὸν Ναὸν τοῦ Θεοῦ, θὰ τὸν καταστρέψῃ ὁ Θεός» (Α΄ Κορ. γ΄ 17). Ἀλλὰ καὶ ὁ ὑποτακτικὸς ἐκεῖνος, ποὺ ὑπακούει εἰς τοιαύτας περιπτώσεις, δὲν θὰ παραμείνῃ ἀτιμώρητος ἀπὸ τὸν Θεόν. Διότι, διατὶ δὲν ἐμιμήθη τὸν σώφρονα Ἰωσὴφ καὶ δὲν ἐπεδίωξε νὰ ἐφαρμόσῃ μετὰ ζήλου τὸ παράδειγμα τῆς μακαρίας Σωσάννης;

4. Ὡς γνωστόν, ὁ μὲν Ἰωσήφ, ἂν καὶ εἶχε πωληθῇ ὡς δοῦλος, ἐν τούτοις δὲν παρεσύρθη ἀπὸ τὰς κολακείας τῆς κυρίας του, ἀλλὰ οὔτε καὶ αἱ ἀπειλαί της, ὅτι θὰ τὸν ἐφόνευε, τὸν ἐφόβισαν· ἡ φοβερὰ αὐτὴ Αἰγυπτία ἄλλοτε μὲν κολακεύουσα τὸν νέον, τοῦ ὑπέσχετο νὰ τοῦ

δώση πολλὰ δῶρα, ἐὰν ἡμάρτανε μετ' αὐτῆς, ἄλλοτε δέ, ὅταν δὲν ἐπείθετο, τὸν ἠπείλει μὲ βασανιστήρια καὶ θάνατον.

5. Παρ' ὅλα ταῦτα ὁ Ἰωσὴφ τίποτε δὲν ἔκρινε καλλίτερον ἀπὸ τὴν σωφροσύνην, ἀλλ' ἐπροτίμησε μᾶλλον νὰ ἀποθάνῃ, παρὰ νὰ περιπέσῃ εἰς τοιαύτην βδελυρὰν πρᾶξιν (Γεν. λθ' 1—20), ἡ ὁποία, ἀπὸ ἐκείνην περὶ τῆς ὁποίας ὁμιλοῦμεν, εἶναι κατὰ πολὺ ἐλαφροτέρα· καὶ μολονότι ὑπήκουεν εἰς τοὺς κυρίους του εἰς ὅλα, ἐν τούτοις εἰς αὐτὸ μόνον δὲν ὑπέκυψεν, ἀπὸ εὐσέβειαν καὶ φόβον Θεοῦ· «Ἀφήνων εἰς ἡμᾶς παράδειγμα» (Α' Πέτρ. β' 21). Ὁμοίως ἔπραξε καὶ ἡ μακαρία Σωσάννα προτιμήσασα νὰ ἀποθάνῃ μᾶλλον, παρὰ νὰ ἁμαρτήσῃ ἐνώπιον τοῦ Θεοῦ [1].

6. Δι' αὐτὸ λοιπὸν πρέπει, ἀδελφοί μου, «μετὰ φόβου καὶ τρόμου καὶ πολλοῦ κόπου νὰ ἐργάζεσθε διὰ τὴν σωτηρίαν σας» (Φιλιπ. β' 12), διότι ὁ ἐχθρὸς μετὰ σφοδρότητος καὶ μανίας πολεμεῖ αὐτούς, ποὺ κατορθώνουν νὰ ἐφαρμόσουν τὰς ἀρετάς, καὶ δι' ὅλων τῶν μέσων ἐπιχειρεῖ νὰ τοὺς παγιδεύσῃ εἰς τὸ κακόν. Ἐὰν ὅμως προσέχωμεν τοὺς ἑαυτούς μας καὶ διαπνεώμεθα ἀπὸ τὸν φόβον τοῦ Θεοῦ, θὰ καταπατήσωμεν μὲ εὐκολίαν τὸν διάβολον.

7. Πρέπει δὲ οἱ μεγαλύτεροι νὰ εἶναι διὰ τοὺς μικροτέρους τύποι καὶ παραδείγματα εἰς κάθε ἀρετήν, διὰ νὰ μὴ δώσωμεν ἀφορμήν, εἰς ὅσους ζητοῦν ἀφορμήν, διότι καὶ ὁ Κύριος λέγει· «ἐκεῖνος ποὺ θὰ ἀγωνισθῇ πρῶτον νὰ τηρήσῃ τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ θὰ διδάξῃ μὲ τὸ παράδειγμά του, τὴν τήρησιν αὐτῶν καὶ εἰς τοὺς ἄλλους, αὐτὸς θὰ εἶναι μέγας εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν» (Ματθ. ε' 19).

8. Ὡσαύτως καὶ ὁ θεῖος Ἀπόστολος παραγγέλλει· «νὰ γίνεσαι παράδειγμα εἰς τοὺς πιστοὺς» (Α' Τιμ. δ' 12). Πρόσεξε ἀκόμη καὶ τὰς ἄλλας παραγγελίας τοῦ Ἀποστόλου, ποὺ ἔχουν ἐφαρμογὴν εἰς τὴν παροῦσαν περίστασιν· «ὁ προϊστάμενος νὰ διακρίνεται διὰ τὴν ἄγρυπνον φροντίδα του, τὴν σπουδήν του» (Ρωμ. ιβ' 8) καὶ «κανεὶς νὰ μὴ σὲ καταφρονῇ διὰ τὸ νεαρὸν τῆς ἡλικίας σου» (Α' Τιμ. δ' 12).

9. Πρόσεξε λοιπὸν μήπως χρησιμοποιήσῃς ἐμπαθῶς τὸ διακόνημα τῆς διδασκαλίας. Ἰδοὺ τί λέγει διὰ τὴν περίπτωσιν αὐτὴν ὁ Ἀπόστολος· «ἂς μὴ ἐνεργῶμεν ὡς καταχρώμενοι τὴν ἐξουσίαν τοῦ Κληρικοῦ, ἀλλ' ἂς καθιστάμεθα τύποι διὰ τὸ ποίμνιόν μας· ὅταν δὲ θὰ φανερωθῇ ὁ Ἀρχιποιμήν, δηλαδὴ ὁ Χριστός, τότε θὰ ἀπολαύσετε τὸν ἀμάραντον στέφανον τῆς δόξης» (Α' Πέτρ. ε' 3—4).

10. Καὶ ὁ Ἀπόστολος Παῦλος παραγγέλλει, λέγων· «Νὰ μὲ μιμῆσθε, ὅπως καὶ ἐγὼ μιμοῦμαι τὸν Χριστὸν» (Α' Κορ. ια' 1). Ἂς προσπαθῶμεν νὰ ἀποφεύγωμεν τὴν ὑπερηφάνειαν, διότι εἶναι ξένη καὶ ἐχθρὰ πρὸς τοὺς πιστούς, σύμφωνα μὲ τὸ γραφικὸν «ὁ Κύριος ἀντιτάσ-

---

1) Ἡ ἱστορία τῆς Σωσάννης ἀναφέρεται ἐν τῷ βιβλίῳ τοῦ Δανιήλ, ἐν ἄλλαις μὲν ἐκδόσεσι πρὸ τοῦ α' κεφαλαίου, ἐν ἄλλαις δὲ ὡς κεφάλαιον ιγ'.

σεται εἰς τοὺς ὑπερηφάνους, εἰς δὲ τοὺς ταπεινοὺς δίδει τὴν Χάριν Του» (Ἰακ. δ' 6, Α' Πέτρ. ε' 5, Παροιμ. γ' 34).

11. Ἀδελφέ μου, σὲ ἀνέδειξαν Ἡγούμενον; Πρόσεξε νὰ μὴ ὑπερηφανευθῇς. Ἀπέναντι τῶν ἀδελφῶν νὰ γίνῃς, εἰς ἁπλότητα καὶ ταπείνωσιν, ὅπως ἕνας ἐξ αὐτῶν. Νὰ ἐνθυμῆσαι τοὺς προηγουμένους σου κόπους, αὐτοὺς δηλαδὴ ποὺ ὑπέστης, ὅταν ἤσουν ὑποτακτικὸς καὶ σκέψου, ὅτι καὶ οἱ ἀδελφοὶ αὐτοὶ εὑρίσκονται τώρα εἰς τὸ αὐτὸ στάδιον τῆς ὑποταγῆς· δι' αὐτὸ μὴ ἀμελῇς διὰ τὴν σωτηρίαν των, ἀλλὰ φιλοστόργως φρόντιζε δι' αὐτούς.

12. Αὐτὸς ὁ ὁποῖος φροντίζει διὰ τοὺς ἀδελφούς του, καὶ τοὺς φρονηματίζει διὰ παιδείας καὶ νουθεσίας Κυρίου, θὰ εἶναι ἐνώπιον τοῦ Κυρίου τίμιος καὶ εὐάρεστος. Αὐτόν, ὁ ὁποῖος τρέφει εἰλικρινῆ αἰσθήματα εὐσπλαγχνίας διὰ τὸν πλησίον του, καὶ ὁ Κύριος πάντοτε θὰ τὸν περιβάλλῃ μὲ τὴν ἄπειρον εὐσπλαγχνίαν του· διότι ἡ ἐλεημοσύνη, τὴν ὁποίαν ἐκτελεῖ ἕνας ἄνθρωπος, παραμένει ἐπάνω του ὡς σφραγίς.

13. Ἐὰν κανεὶς δὲν ἐξουσιάζῃ κανένα, φαίνεται ὅτι εἶναι πρᾶος καὶ συμπαθὴς πρὸς τοὺς ἄλλους. Ὅταν ὅμως τοῦ παραχωρηθῇ ἡ δύναμις νὰ εἶναι ἀρχηγὸς καὶ νὰ διατάσσῃ, τότε χρησιμοποιεῖ τὴν ἐξουσίαν αὐτὴν χωρὶς διάκρισιν, ἐπιβάλλων βάρη δυσβάστακτα· ἐὰν δέ, ἐν τῷ μεταξύ, τοῦ ἀφαιρεθῇ ἡ ἀρχή, τότε αὐτὰ ποὺ αὐτὸς ὁ ἴδιος διέτασσε τοὺς ἄλλους νὰ κάμουν, δὲν ἠμπορεῖ νὰ τὰ βαστάσῃ καὶ νὰ τὰ ἐκτελέσῃ. Καὶ τότε μόνον ἀντιλαμβάνεται τὴν ἀδυναμίαν καὶ ἀσθένειάν του, τὴν ὁποίαν προηγουμένως ἀγνοοῦσε ὡς ἄσοφος, διότι ἡ ἐξουσία τοῦ εἶχε σκοτίσει τὸν νοῦν.

Γ'. Τοῦ Ἀββᾶ Μάρκου.

ΑΡΧΙΚΟΣ ὑποτακτικῷ χρεωστεῖ λέγειν τὸ ὀφειλόμενον· παρακουόμενος, δέ, τὴν ἐπιφορὰν τῶν κακῶν προαγγέλλειν· διδάσκειν ἐν Κυρίῳ λαχὼν καὶ παρακουόμενος, θλίβου νοερῶς, καὶ μὴ ταράσσου προφανῶς· θλιβόμενος γάρ, οὐ συγκατακριθήσῃ τῷ παρακούσαντι· ταρασσόμενος δέ, ἐν τῷ αὐτῷ πράγματι πειρασθήσῃ.

2. Ὁ φόβῳ Θεοῦ νουθετῶν ἢ παιδεύων τὸν ἁμαρτάνοντα, τὴν ἐναντιουμένην τῷ σφάλματι ἀρετὴν ἑαυτῷ περιποιεῖται· ὁ δὲ μνησικακῶν καὶ κακοθελῶν ὀνειδίζων, τῷ ὁμοίῳ πάθει κατὰ τὸν πνευματικὸν περιπεσεῖται νόμον.

3. Τὸν ἀφ' ἑνὸς λόγου μὴ ὑπακούοντα, μὴ βιάζου μετὰ φιλονεικίας· ἀλλὰ τὸ κέρδος ὃ ἀπέβαλεν ἐκεῖνος, σὺ περιποίησαι σεαυτῷ· πλεῖον γὰρ τῆς ἐκείνου διορθώσεως ὠφελήσει σε ἡ σὴ ἀνεξικακία.

4. Εἶπεν ὁ Ἀββᾶς Μακάριος· ἐάν τινι ἐπιτιμῶν εἰς ὀργὴν κινηθῇς, ἴδιον πάθος πληροῖς· καὶ οὐκ ἔστι καλὸν ἵνα ἄλλους μὲν σώσῃς, σεαυτὸν δὲ ἀπολέσῃς.

Ἑρμηνεία

Ο ΗΓΟΥΜΕΝΟΣ ἔχει ὑποχρέωσιν νὰ λέγῃ εἰς τὸν ὑποτακτικὸν αὐτὸ ποὺ ὀφείλει νὰ πράττῃ· ὅταν δὲ ὁ ὑποτακτικὸς πα-

ρακούῃ, τότε νὰ τοῦ προαναγγέλλῃ τὰ κακὰ ποὺ θὰ ἐπακολουθήσουν εἰς τὴν παρακοήν του. Ἐφ' ὅσον, κατὰ θείαν Πρόνοιαν, ἀνέλαβες τὸ διακόνημα τῆς ἐν Κυρίῳ διδασκαλίας, καὶ δὲν σὲ ἀκούουν, νὰ θλίβεσαι νοερῶς, χωρὶς νὰ φανερώνῃς ἐξωτερικῶς τὴν ταραχήν σου, διότι ἐφ' ὅσον μὲν θλίβεσαι ἐσωτερικῶς, χωρὶς ἐκδηλώσεις, δὲν θὰ κατακριθῇς ὑπὸ τοῦ Θεοῦ μαζὶ μὲ αὐτόν, ποὺ παρακούει· ὅταν ὅμως ταράττεσαι, τότε θὰ παραχωρήσῃ ὁ Θεὸς νὰ πειρασθῇς καὶ σὺ μὲ τὸν ἴδιον αὐτὸν πειρασμόν.

2. Ἐκεῖνος, ποὺ μὲ φόβον Θεοῦ νουθετεῖ ἢ σωφρονίζει αὐτόν, ποὺ ἁμαρτάνει, καλλιεργεῖ εἰς τὸν ψυχικόν του κόσμον τὴν ἀντίθετον, πρὸς τὸ ἐλεγχόμενον σφάλμα, ἀρετήν. Ἐκεῖνος ὅμως, ποὺ μνησικακεῖ ἐναντίον τοῦ ἁμαρτάνοντος, καὶ θέλει τὸ κακόν του, καὶ τὸν μέμφεται, τότε, συμφώνως πρὸς τὸν πνευματικὸν νόμον, θὰ περιπέσῃ καὶ αὐτὸς εἰς τὸ ἴδιον πάθος [«Ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε» (Ματθ. ζ' 2)].

3. Αὐτόν, ποὺ δὲν ὑπακούει εἰς τὰς συστάσεις σου μὲ τὸν πρῶτον λόγον, μὴ τὸν ἐκβιάζῃς νὰ ἐκτελέσῃ τὸ προτεινόμενον μὲ φιλονεικίαν λογομαχῶν μετ' αὐτοῦ, ἀλλὰ φρόντισε νὰ θησαυρίσῃς διὰ τὸν ἑαυτόν σου τὸ κέρδος, τὸ ὁποῖον ἀπέρριψεν ἐκεῖνος· διότι περισσότερον ἀπὸ τὴν διόρθωσιν ἐκείνου θὰ σὲ ὠφελήσῃ ἡ ἀνεξικακία σου.

4. Ὁ Ἀββᾶς Μακάριος εἶπεν· ἐὰν ἐπιπλήττῃς κάποιον καὶ ἡ ψυχή σου ἀρχίζῃ νὰ κινῆται πρὸς ὀργὴν ἐναντίον του, ἤδη σὺ ὑπέπεσες εἰς ἄλλο πάθος, τὴν ὀργήν· δὲν εἶναι δὲ καλὸν νὰ σώσῃς ἄλλους καὶ νὰ ζημιώσῃς ψυχικῶς τὸν ἑαυτόν σου.



ὙΠΟΘΕΣΙΣ ΜΔ΄

Ὅτι δεῖ τὸν ἀγαθόν τι ποιοῦντα, κἂν ἀτελὴς ᾖ, μὴ ἐκκόπτειν· προθυμοποιεῖν δὲ μᾶλλον καὶ κατὰ μικρὸν ἐπανάγειν εἰς τελειότητα.

Δὲν πρέπει νὰ ἀπογοητεύωμεν αὐτόν, ποὺ κάμνει κάποιο καλό, ἔστω καὶ ἐὰν εἶναι ἀτελής· ἀπ' ἐναντίας πρέπει νὰ ἐνισχύωμεν τὴν προθυμίαν του, καὶ σιγὰ - σιγὰ νὰ τὸν ἀνυψώνωμεν πρὸς τὴν τελειότητα.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΑΔΕΛΦΟΣ ἦλθε πρὸς τὸν Ἀββᾶν Ποιμένα, καὶ εἶπεν αὐτῷ· σπείρω τὸν ἀγρόν μου, καὶ ποιῶ ἐξ αὐτοῦ ἀγάπην, καλῶς ποιῶ; Ἀπεκρίθη ὁ Γέρων· καλῶς ποιεῖς. Καὶ ἀπῆλθε μετὰ προθυμίας καὶ προσέθηκε τῇ ἀγάπῃ.

2. Ἤκουσεν ὁ Ἀββᾶς Ἀνοὺβ τὸν λόγον, ὃν εἶπεν ὁ Ἀββᾶς Ποιμὴν τῷ ἀδελφῷ· καὶ λέγει τῷ Ἀββᾷ Ποιμένι· οὐ φοβῇ τὸν Θεὸν οὕτω λαλήσας τῷ ἀδελφῷ; Καὶ ἐσιώπησεν ὁ Γέρων.

3. Μετὰ δὲ ἡμέρας δύο, μεταπεμψάμενος τὸν ἀδελφὸν ὁ Ἀββᾶς Ποιμήν, λέγει αὐτῷ ἀκούοντος τοῦ Ἀββᾶ Ἀνούβ· τί εἶπές μοι τῇ ἄλλῃ; οὐ γὰρ κατέχω, ὅτι ὁ νοῦς μου ἀλλαχοῦ ἦν. Ἔφη ὁ ἀδελφός· ὅτι σπείρω τὸν ἀγρόν μου εἶπόν σοι, καὶ ποιῶ ἐξ αὐτοῦ ἀγάπην. Καὶ εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἐνόμιζον, ὅτι περὶ τοῦ ἀδελφοῦ σου τοῦ κοσμικοῦ ἐλάλησας· εἰ σὺ εἶ ὁ ποιῶν τὸ ἔργον τοῦτο, γίνωσκε, οὐκ ἔστι τοῦτο Μοναχοῦ.

4. Ὁ δὲ ἀκούσας ἐλυπήθη καὶ εἶπεν· ἐγὼ ἄλλο ἔργον οὐδὲν οἶδα, εἰμὴ τοῦτο, καὶ οὐ δύναμαι μὴ σπείρειν τὸν ἀγρόν μου· καὶ τοῦτο εἰπών, ἀνεχώρησε λυπούμενος. Ἰδὼν δὲ τὸ γενόμενον ὁ Ἀββᾶς Ἀνούβ, ἔβαλε μετάνοιαν τῷ Γέροντι λέγων· συγχώρησόν μοι.

5. Καὶ συγχωρήσας αὐτῷ ὁ Γέρων, εἶπε· κἀγὼ ἐξ ἀρχῆς ᾔδειν ὅτι οὐκ ἔστιν ἔργον Μοναχοῦ, ἀλλὰ πρὸς τὸν λογισμὸν αὐτοῦ ἐλάλησα· καὶ ἔδωκα αὐτῷ προθυμίαν εἰς τὴν προκοπὴν τῆς ἀγάπης· νῦν δὲ ἀπῆλθε λυπούμενος, καὶ πάλιν τὸ αὐτὸ ποιεῖ.

6. Εἶπε Γέρων· ἐμίσησα τῶν νεωτέρων τὰς κενοδοξίας, ὅτι κάμνουσι καὶ μισθὸν οὐκ ἔχουσιν, ἀποβλέποντες εἰς τὰς τῶν ἀνθρώπων δόξας.

7. Λέγει αὐτῷ ἄλλος Γέρων γνωστικώτατος· ἐγὼ καὶ πάνυ αὐτοὺς ἀποδέχομαι, συμφέρει γὰρ νεωτέρῳ κενοδοξεῖν, καὶ μὴ ἀμελεῖν· πάντως γὰρ κενοδοξοῦντι αὐτῷ, ἀνάγκη καὶ ἐγκρατεύεσθαι, καὶ ἀγρυπνεῖν, καὶ γυμνητεύειν, καὶ ἀγάπην κτᾶσθαι, καὶ τὰς θλίψεις βαστάζειν διὰ τὸν ἔπαινον.

8. Μετὰ οὖν τὸ πολιτεύεσθαι οὕτως, ἔρχεται αὐτῷ ἡ Χάρις τοῦ Θεοῦ λέγουσα· διατί οὐ κάμνεις δι' ἐμέ, ἀλλὰ διὰ τοὺς ἀνθρώπους; Καὶ τότε πείθεται μὴ προσέχειν δόξῃ ἀνθρωπίνῃ, ἀλλὰ τῇ τοῦ Θεοῦ. Καὶ ἀκούσαντες οἱ λοιποὶ Γέροντες, εἶπον· ὄντως οὕτως ἔχει.

9. Ἀδελφὸς εἶπε τῷ Ἀββᾷ Ποιμένι· ἐὰν δῷ τῷ ἀδελφῷ μου μικρὸν ἄρτον, ἢ ἕτερόν τι, οἱ δαίμονες μολύνουσιν αὐτά, ὡς κατὰ ἀνθρωπαρέσκειαν γίνεται. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· εἰ καὶ κατὰ ἀνθρωπαρέσκειαν γίνεται, ἀλλ' ἡμεῖς τὴν χρείαν δώσομεν τῷ ἀδελφῷ.

10. Εἶπε δὲ αὐτῷ καὶ παραβολὴν τοιαύτην· ἄνθρωποι δύο ἦσαν γεωργοί, οἰκοῦντες ἐν πόλει μιᾷ· καὶ ὁ μὲν εἷς ἐξ αὐτῶν ἐποίησε σπείρας μικρὰ ἀκάθαρτα, ὁ δὲ ἄλλος ἀμελήσας τοῦ σπεῖραι, ἐποίησεν ὅλως οὐδέν· λιμοῦ οὖν γενομένου, τίς ἐκ τῶν δύο εὑρίσκεται ζῆσαι;

11. Καὶ ἀπεκρίθη ὁ ἀδελφός· ὁ ποιήσας τὰ μικρὰ καὶ ἀκάθαρτα. Λέγει ὁ Γέρων· οὕτως οὖν καὶ ἡμεῖς, σπείρωμεν ὀλίγα καὶ ἀκάθαρτα, ἵνα τῷ λιμῷ μὴ ἀποθάνωμεν.

12. Εἶπεν ἡ Ἀμμᾶς Σάῤῥα· καλόν ἐστι καὶ δι' ἀνθρώπους ποιεῖν ἐλεημοσύνην, εἰ γὰρ καὶ δι' ἀνθρωπαρέσκειαν ἐξ ἀρχῆς γίνεται, ἀλλ' ἔρχεται ὕστερον εἰς Θεοῦ ἀρέσκειαν.

Ἑρμηνεία

ΗΛΘΕ κάποτε ἕνας ἀδελφὸς πρὸς τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ εἶπε:

—Σπέρνω τὸ χωράφι μου καὶ ἀπὸ τὴν συγκομιδὴν τοῦ καρποῦ προσφέρω ἐλεημοσύνην· κάμω καλά;

—Καλῶς κάμνεις—ἀπήντησεν ὁ Γέρων.

Μετὰ τὴν ἀπάντησιν αὐτὴν ἀνεχώρησεν εὐχαριστημένος ὁ ἀδελφὸς καὶ ἐπροθυμοποιήθη νὰ αὐξήσῃ τὴν προσπάθειάν του, διὰ νὰ δίδῃ περισσοτέραν ἐλεημοσύνην.

2. Ἐν τῷ μεταξὺ ὁ Ἀββᾶς Ἀνοὺβ ἐπληροφορήθη τὴν συμβουλὴν ποὺ ἔδωσεν ὁ Ἀββᾶς Ποιμὴν εἰς ἐκεῖνον τὸν ἀδελφόν, καὶ λέγει πρὸς τὸν Ἀββᾶν Ποιμένα:

—Δὲν φοβεῖσαι τὸν Θεόν, ποὺ εἶπες αὐτὰ εἰς τὸν ἀδελφόν;

Ὁ Γέρων ἤκουσεν, ἀλλὰ δὲν ὡμίλησε.

3. Μετὰ ἀπὸ δύο ἡμέρας ἔστειλεν ὁ Ἀββᾶς Ποιμὴν καὶ ἐκάλεσε πλησίον του τὸν ἀδελφόν· παρόντος δὲ καὶ τοῦ Ἀββᾶ Ἀνοὺβ τοῦ λέγει:

—Τί μοῦ εἶπες προχθές; Διότι δὲν τὸ ἐνθυμοῦμαι, ἐπειδὴ ὁ νοῦς μου ἦτο ἀλλοῦ.

—Σοῦ εἶπα—ἐπανέλαβεν ὁ ἀδελφός—ὅτι σπέρνω τὸ χωράφι μου καὶ ἀπὸ τὴν συγκομιδὴν δίδω ἐλεημοσύνην.

—Ἐγὼ ἐνόμιζα,—εἶπεν ὁ Ἀββᾶς Ποιμὴν—ὅτι μοῦ ἔλεγες διὰ τὸν ἀδελφόν σου τὸν κοσμικόν· ἐὰν ὅμως εἶσαι σὺ ποὺ κάμνεις αὐτὴν τὴν ἐργασίαν, πρέπει νὰ γνωρίζῃς, ὅτι αὐτὸ δὲν ταιριάζει εἰς τὴν μοναχικήν σου ἰδιότητα.

4. Ὁ ἀδελφός, μόλις ἤκουσεν αὐτά, ἐλυπήθη καὶ εἶπεν:

—Ἐγὼ δὲν γνωρίζω ἄλλην ἐργασίαν ἐκτὸς ἀπὸ αὐτὴν καὶ δὲν ἠμπορῶ νὰ μὴ σπέρνω τὸ χωράφι μου.

Ἀφοῦ εἶπεν αὐτὰ ὁ ἀδελφὸς ἔφυγε λυπημένος.

Ὅταν εἶδεν αὐτὸ τὸ πρᾶγμα ὁ Ἀββᾶς Ἀνούβ, ἔβαλε μετάνοιαν εἰς τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ εἶπε:

—Συγχώρησέ με.

5. Ὁ Γέρων τὸν συνεχώρησε καὶ τοῦ εἶπε:

—Καὶ ἐγώ, εὐθὺς ἐξ ἀρχῆς, ἐγνώριζα, ὅτι ἡ ἀπασχόλησις μὲ τὴν σπορὰν τοῦ ἀγροῦ, δὲν εἶναι ἔργον μοναχικόν, ἀλλὰ τοῦ ὡμίλησα σύμφωνα μὲ τὸν πόθον του καὶ τοῦ ἐνίσχυσα τὴν προθυμίαν εἰς τὸ ἔργον τῆς φιλαδελφίας καὶ τῆς ἐλεημοσύνης. Τώρα ὅμως καὶ λυπημένος ἔφυγε καὶ τὸ ἴδιον θὰ κάμῃ.

6. Ἕνας Γέρων εἶπεν: ἐμίσησα τὰς κενοδοξίας τῶν νεωτέρων, διότι, ἐνῷ κοπιάζουν, δὲν λαμβάνουν μισθόν, ἐπειδὴ ἀποβλέπουν εἰς τὴν δόξαν τῶν ἀνθρώπων.

7. Ἕνας ἄλλος ὅμως Γέρων, γνωστικώτερος, τοῦ ἀπήντησεν:

—«Ἐγὼ πάρα πολὺ τοὺς παραδέχομαι· συμφέρει ὁ νεώτερος νὰ κενοδοξῇ, παρὰ νὰ ἀδιαφορῇ διὰ τὰ πνευματικὰ ἔργα. Διότι ὁπωσδήποτε, ὅταν ὁ νέος κενοδοξῇ, ἀναγκάζεται καὶ νὰ ἐγκρατεύεται, καὶ νὰ ἀγρυπνῇ, καὶ νὰ γυμνητεύῃ, καὶ νὰ ἀποκτᾷ τὴν ἀγάπην, καὶ νὰ ὑπομένῃ τὰς θλίψεις, ἀποβλέπων πάντοτε εἰς τὸν ἔπαινον τῶν ἀνθρώπων».

8. «Ἀφοῦ λοιπὸν θὰ πολιτεύεται τοιουτοτρόπως, ἀσκῶν τὸ ἔργον τῆς ἀρετῆς δι' ἀνθρωπαρέσκειαν, θὰ ἐπέλθῃ καὶ ἡ Χάρις τοῦ Θεοῦ εἰς αὐτὸν καὶ θὰ τοῦ εἴπῃ διὰ τῶν μυστικῶν της ψιθύρων: Διατί κοπιάζεις διὰ τοὺς ἀνθρώπους καὶ ὄχι δι' ἐμέ; Καὶ τότε, κατανυγομένης ὑπὸ τῆς Χάριτος τῆς καρδίας, πείθεται νὰ μὴ προσέχῃ πλέον εἰς τὴν δόξαν τῶν ἀνθρώπων, ἀλλὰ νὰ ἀποβλέπῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ».

Οἱ ὑπόλοιποι Γέροντες, μόλις ἤκουσαν αὐτά, εἶπον:

—Πράγματι ἔτσι εἶναι.

9. Ἕνας ἀδελφὸς εἶπεν εἰς τὸν Ἀββᾶν Ποιμένα:

—Ἐὰν προσφέρω εἰς τὸν ἀδελφόν μου ὀλίγον ἄρτον, ἢ ὁποιοδήποτε ἄλλο εὐτελὲς ἀντικείμενον, οἱ δαίμονες μολύνουν τοὺς λογισμούς μου, ὅτι ἡ προσφορὰ αὕτη γίνεται ἐξ ἀνθρωπαρεσκείας καὶ οὐχὶ ἀπὸ καθαρὰν πρὸς τὸ ἀγαθὸν ἀγάπην.

Εἰς αὐτὰ ὁ Γέρων ἀπήντησε:

—Καὶ κατ' ἀνθρωπαρέσκειαν ἂν γίνεται ἡ προσφορά, ἡμεῖς ὅμως πρέπει νὰ ἱκανοποιήσωμεν τὴν ἀνάγκην τοῦ ἀδελφοῦ.

10. Διὰ νὰ γίνῃ δὲ περισσότερον ἀντιληπτὸν τοῦτο, εἶπε καὶ τὴν ἑξῆς παραβολήν: Δύο γεωργοὶ κατοικοῦσαν εἰς τὴν ἰδίαν πόλιν· ὁ ἕνας ἀπὸ τοὺς δύο εἰργάσθη καὶ ἔσπειρεν εἰς τὸν ἀγρόν του ὀλίγον καὶ ἀκαθάριστον σπόρον, ὁ ἄλλος ἠδιαφόρησε νὰ σπείρῃ καὶ δὲν ἔκαμε τελείως τίποτε. Ὅταν λοιπὸν πέσῃ πεῖνα εἰς τὴν περιοχήν, ποῖος θὰ ἠμπορέσῃ νὰ ζήσῃ;

11. Ὁ ἀδελφὸς εἰς τὴν ἐρώτησιν αὐτὴν τοῦ Γέροντος ἀπήντησεν:

—Ἐκεῖνος ποὺ ἔσπειρε τὸν ὀλίγον καὶ ἀκαθάριστον σπόρον.

Καὶ ὁ Γέρων διετύπωσε τὸ συμπέρασμα:

—Ἔτσι λοιπὸν νὰ κάμωμεν καὶ ἡμεῖς· ἂς σπείρωμεν, ἔστω καὶ ὀλίγον καὶ ἀκαθάριστον, διὰ νὰ μὴ ἀποθάνωμεν πνευματικῶς ἀπὸ τὴν ἔλλειψιν οἱουδήποτε ἔργου ἀγαθοῦ.

12. Ἡ Ἀμμᾶς Σάρρα εἶπε· καλὸν εἶναι νὰ κάμωμεν ἐλεημοσύνην, ἔστω καὶ διὰ τὴν δόξαν τῶν ἀνθρώπων. Διότι ἐάν, εἰς τὴν ἀρχήν, γίνεται ἡ ἐλεημοσύνη ἀπὸ ἀνθρωπαρέσκειαν, ὅμως ὕστερα θὰ ἔλθῃ ἡ στιγμὴ ποὺ ἡ ἐλεημοσύνη θὰ γίνεται, ἐπειδὴ ἀρέσει εἰς τὸν Θεόν.



ΥΠΟΘΕΣΙΣ ΜΕ΄

Ὅτι δεῖ τὸν προεστῶτα τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν ποτὲ καὶ διὰ τῶν δυνατωτέρων τὴν ὑπακοὴν καὶ τὴν ὑπομονὴν καὶ τὴν λοιπὴν ἄσκησιν ἐκπαιδεύειν, καὶ τῶν ἀρχομένων ὡς μάλιστα φείδεσθαι.

Ὁ Ἡγούμενος πρέπει διὰ τῶν δυνατωτέρων νὰ ἐκπαιδεύῃ καὶ τοὺς ἀσθενεστέρους ἐκ τῶν ἀδελφῶν εἰς τὴν ὑπακοήν, τὴν ὑπομονὴν καὶ τὴν λοιπὴν ἄσκησιν· ὅσον δὲ ἠμπορεῖ νὰ εἶναι ἐπιεικὴς πρὸς τοὺς ἀρχαρίους.

Α΄. Ἐν τῷ Γεροντικῷ.

Ὁ ΑΒΒΑΣ Ἀγάθων λίαν ἠγάπα τὸν Ἀββᾶν Ἀλέξανδρον, διὰ τὸ ἀσκητικώτατον αὐτὸν εἶναι, καὶ μέτριον τῷ φρονήματι, καὶ ἐπιεικέστατον.

2. Ποτὲ οὖν ὅλων τῶν μαθητῶν αὐτοῦ πλυνόντων τὰ θρῦα εἰς τὸν ποταμόν, ἔπλυνε καὶ ὁ Ἀλέξανδρος ἐπιεικῶς· οἱ δὲ λοιποὶ ἀδελφοὶ εἶπον τῷ Γέροντι· ὁρᾷς, Πάτερ; ὁ Ἀββᾶς Ἀλέξανδρος οὐδὲν ποιεῖ. Καὶ θέλων αὐτοὺς θεραπεῦσαι ὁ Γέρων, εἶπε τῷ Ἀλεξάνδρῳ· καλῶς πλύνον αὐτά, ἀδελφὲ Ἀλέξανδρε.

3. Ὁ δὲ ὡς ἤκουσεν ἠπορεῖτο τί βούλεται τὸ ῥῆμα τοῦ Γέροντος. Καὶ μετὰ τοῦτο εἶπεν αὐτῷ ὁ Γέρων· μὴ ξενίζου, ἀδελφέ· μὴ γὰρ οὐκ ἤδειν ὅτι καλῶς ποιεῖς; ἀλλὰ τοῦτο εἰπόν σοι ἐπὶ αὐτῶν, ἵνα θεραπεύσω τὸν λογισμὸν αὐτῶν ἐν τῇ ὑπακοῇ.

Ἑρμηνεία

Ὁ ΑΒΒΑΣ Ἀγάθων ἠγάπα πάρα πολὺ τὸν Ἀββᾶν Ἀλέξανδρον, ἐπειδὴ ἦτο ἀσκητικώτατος, μετριόφρων, πολὺ δὲ ἤρεμος καὶ πρᾶος.

2. Κάποτε λοιπὸν ὅλοι οἱ ὑποτακτικοὶ τοῦ Ἀββᾶ Ἀγάθωνος ἔπλυναν εἰς τὸν ποταμὸν τὰ βοῦρλα. Μεταξὺ αὐτῶν ἔπλυνε καὶ ὁ Ἀββᾶς Ἀλέξανδρος μὲ ἠρεμίαν, ὥστε νὰ μὴ φαίνεται ἡ ἐργασία του. Οἱ ὑπόλοιποι ἀδελφοὶ λέγουν τότε εἰς τὸν Γέροντά των:

—Βλέπεις, Πάτερ; ὁ Ἀββᾶς Ἀλέξανδρος τίποτε δὲν κάμνει.

Ὁ Ἀββᾶς Ἀγάθων, ἐπιθυμῶν νὰ τοὺς θεραπεύσῃ τὸν λογισμόν, εἶπε πρὸς τὸν Ἀλέξανδρον:

—Ἀδελφὲ Ἀλέξανδρε, νὰ πλύνῃς καλὰ τὰ βοῦρλα.

3. Ὅταν ἤκουσε τὴν σύστασιν αὐτὴν ὁ Ἀββᾶς Ἀλέξανδρος, ἤρχισε νὰ ἀπορῇ καὶ νὰ διερωτᾶται, τί ἐννοοῦσε διὰ τοῦ λόγου αὐτοῦ ὁ Γέρων, δεδομένου, ὅτι καλῶς εἰργάζετο.

Μετ' ὀλίγον τὸν ἐπλησίασεν ὁ Γέρων καὶ τοῦ λέγει:

—Μὴ παραξενεύεσαι, ἀδελφέ μου· μήπως δὲν ἐγνώριζα, ὅτι καλῶς ἐργάζεσαι; Σοῦ τὸ εἶπα ὅμως αὐτό, ἐμπρὸς εἰς τοὺς ἄλλους ἀδελφούς, διὰ νὰ ἀναπαύσω τὸν λογισμόν των διὰ τῆς ὑπακοῆς.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΚΑΤΑ μέρος, ἀδελφοί, οἰκοδομεῖται πόλις, καὶ κατὰ κυβέρνησιν γίνεται πόλεμος· καὶ πάντα κατὰ μικρὸν αὐξάνει, καὶ εἰς τελείωσιν ἔρχεται· οὐ δύναται ἄπειρος ἐν τῷ πολέμῳ ὡς ὁ ἔμπειρος κατέχειν τόξον, ἢ μάχεσθαι, καὶ οὐ δύναται παιδίον τρέχειν ἐπίσης ἀνδρός.

2. Ἐὰν ἐπιθήσῃς παιδίῳ βάρος ὑπὲρ τὴν δύναμιν αὐτοῦ, βλάψεις αὐτῷ. Καὶ πάλιν, εἰ ἀμελήσεις τοῦ παιδεύειν αὐτό, ἀχρεῖον ἀποβήσεται.

3. Οὕτω δὴ καὶ τὸν ἀρχάριον μετὰ διακρίσεως κυβερνᾶν, καὶ μήτε ἐξ ὑψηλοφροσύνης ἐπιτιθέναι αὐτῷ βάρος ὑπὲρ ὃ δύναται, μήτε πάλιν ἀμελῶς πρὸς αὐτὸν διακεῖσθαι καὶ καταφρονεῖν τῆς ψυχῆς αὐτοῦ· ἀλλ' ὥσπερ φυτὸν φυτεύσας γεωργὸς ἐν τῷ ἀγρῷ αὐτοῦ παντοίως ἐπιμελεῖται αὐτοῦ, οὕτω καὶ σύ.

4. Ὡς νεοπαγοῦς ὄντος τοῦ ἀδελφοῦ, προσφυῶς αὐτῷ καὶ ἐπιστημόνως ἐπιχορήγει τὴν ἄσκησιν, ἀναλογιζόμενος πῶς καὶ σὺ ὑπετάγης τῷ μειζοτέρῳ σου. Κἂν ἀσθενῇ τῷ σώματι, μὴ ἀποβάλῃς αὐτόν, ἀλλὰ συγκοπίασον αὐτῷ μακροθυμῶν ἐπ' αὐτῷ.

5. Δεῖ δὲ ἑκάστου τῶν ὑποτεταγμένων σοι τὰ μέτρα σκοπεῖν, καὶ κατὰ δύναμιν ἀπαιτεῖν, μνημονεύων τοῦ Κυρίου λέγοντος περὶ τῶν ὑποδεχομένων τὸν πνευματικὸν σπόρον, ὅτι καρποφορεῖ καὶ ποιεῖ, «ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα», ἵνα ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι τῷ Θεῷ εὐαρεστήσῃ.

6. Νέον παρὰ σοί, ἀγαπάτω σου ἡ ψυχή, καὶ μὴ ἐπιθῇς αὐτῷ βάρος ὑπὲρ δύναμιν, ὅπως τὴν ψυχὴν αὐτοῦ σώσῃς ἐν Κυρίῳ· καὶ «φανερωθέντος τοῦ Ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον».

7. Ἐν ἀρχαρίῳ μακροθύμησον, πάντα γὰρ δυνατὰ τῷ Θεῷ· ἀρχάριος δὲ μισῶν ταπείνωσιν, ὅπλον οὐκ ἔχει κατὰ τῶν ἐναντίων· διὸ καὶ πολλὰ ὁ τοιοῦτος συντριβήσεται.

8. Συνετὸς Ἡγούμενος οὐκ ἐξουδενώσει διὰ τὸ ἀκούειν ἀμφιλογίαν ἀρχαρίου μετὰ μειζοτέρου αὐτοῦ, ἀλλ' ἐξερευνήσει τὴν ἀκρίβειαν τοῦ πράγματος, καὶ ἐν φόβῳ μεσάσει αὐτοῖς.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ μου, ἡ πόλις οἰκοδομεῖται σιγὰ-σιγὰ καὶ ὁ πόλεμος διεξάγεται συστηματικῶς, μὲ σχέδιον. Κατ' ἀναλογίαν καὶ ὅλα τὰ πράγματα ὀλίγον κατ' ὀλίγον αὐξάνουν καὶ τελειοποιοῦνται. Δὲν εἶναι δυνατὸν ἕνας ἀγύμναστος, κατὰ τὴν διάρκειαν τοῦ πολέμου, νὰ κρατᾷ τὸ τόξον καὶ νὰ μάχεται ὅπως ὁ ἔμπειρος· οὔτε δύναται ἕνα παιδάκι νὰ τρέχῃ ὅπως ἕνας μεγάλος ἄνδρας.

2. Ἐὰν ἀποθέσῃς εἰς τοὺς ὤμους ἑνὸς μικροῦ παιδίου βάρος μεγαλύτερον ἀπὸ τὴν ἀντοχήν του, ἀσφαλῶς θὰ τὸ βλάψῃς· ὅπως ἐπίσης,

ἐὰν δὲν φροντίσῃς νὰ τὸ ἐκπαιδεύσῃς, ἀσφαλῶς θὰ καταντήσῃ ἄχρηστον καὶ κακόν.

3. Τοιουτοτρόπως πρέπει καὶ ὁ Ἡγούμενος νὰ κατευθύνῃ μὲ διάκρισιν τὸν ἀρχάριον εἰς τὴν μοναχικὴν ζωήν, ὥστε οὔτε ἀπὸ ὑψηλοφροσύνην νὰ τὸν φορτώνῃ μὲ ἀσκητικὰ βάρη μεγαλύτερα ἀπὸ τὴν ἀντοχήν του, οὔτε πάλιν νὰ παραμένῃ ἀδιάφορος ἀπέναντί του καὶ νὰ καταφρονῇ τὴν ψυχήν του· ἀλλ' ὅπως ἀκριβῶς ὁ γεωργός, ποὺ φυτεύει ἕνα φυτὸν εἰς τὸν κῆπον του, τὸ φροντίζει παντοιοτρόπως, τοιουτοτρόπως καὶ σύ.

4. Σκεπτόμενος ὅτι εἶναι νεόφερτος ὁ ἀδελφός, νὰ τοῦ ἐπιβάλῃς τὴν ἄσκησιν μὲ σύνεσιν καὶ ἀναλόγως τοῦ χαρακτῆρος του, ἐνθυμούμενος πάντοτε πῶς καὶ σύ, κάποτε, εἶχες ὑποταχθῆ εἰς τὸν μεγαλύτερόν σου. Ἔστω καὶ ἂν εἶναι ἀσθενὴς κατὰ τὸ σῶμα, μὴ τὸν ἀποδιώξῃς, ἀλλὰ νὰ κοπιάσῃς μαζί του, ἐπιδεικνύων ἀπέναντί του μακροθυμίαν.

5. Πρέπει ὁ Ἡγούμενος νὰ γνωρίζῃ τὰς πνευματικὰς δυνατότητας καὶ τὰ μέτρα τῶν ὑποτακτικῶν του, ὥστε νὰ ζητῇ ἀπὸ αὐτοὺς τὸ κατὰ δύναμιν, ἐνθυμούμενος πάντοτε αὐτό, ποὺ λέγει ὁ Κύριος, σχετικῶς μὲ αὐτούς, ποὺ ὑποδέχονται τὸν πνευματικὸν σπόρον ὅτι, ἀναλόγως τῶν δυνάμεών του, «ἄλλος μὲν καρποφορεῖ ἑκατόν, ἄλλος ἑξήκοντα καὶ ἄλλος τριάκοντα» (Ματθ. ιγ' 8). Διὰ τοῦ τρόπου αὐτοῦ ὁ καθένας θὰ εὐαρεστήσῃ τὸν Θεὸν ἀναλόγως τῶν ἱκανοτήτων μὲ τὰς ὁποίας ἐπροικίσθη παρὰ Θεοῦ.

6. Τὸν νέον, κατὰ τὴν ἡλικίαν καὶ τὸν χρόνον τῆς προσελεύσεως, νὰ ἀγαπᾷ ἡ ψυχή σου, καὶ νὰ μὴ τὸν φορτώσῃς μὲ βάρη ἀσκήσεως, ὑπέρτερα τῆς δυνάμεώς του, διὰ νὰ σώσῃς τὴν ψυχήν του μὲ τὴν δύναμιν τοῦ Κυρίου, ἵνα κατὰ τὴν Δευτέραν Παρουσίαν «ὅταν φανερωθῇ ὁ Ἀρχιποίμην Χριστὸς κερδίσητε τὸν ἀμαράντινον τῆς δόξης στέφανον» (Α' Πέτρ. ε' 4).

7. Ἀπέναντι τοῦ ἀρχαρίου νὰ ἐπιδείξῃς μακροθυμίαν, διότι ὅλα εἶναι δυνατὰ ἀπὸ τὸν Θεόν. Ὁ ἀρχάριος ὅμως, ποὺ μισεῖ τὴν ταπείνωσιν, δὲν ἔχει εἰς χεῖρας του ὅπλον ἐναντίον τῶν νοητῶν ἐχθρῶν· δι' αὐτὸ καὶ ὁ τοιοῦτος θὰ πολεμηθῇ πάρα πολὺ ὑπὸ τοῦ διαβόλου, μέχρι συντριβῆς.

8. Ὁ συνετὸς Ἡγούμενος ποτὲ δὲν θὰ ταπεινώσῃ τὸν ἀρχάριον, οὔτε θὰ τὸν ἐξευτελίσῃ, ὅταν τὸν ἰδῇ νὰ φιλονεικῇ μὲ μεγαλύτερόν του· ἀλλὰ θὰ ἐξετάσῃ μετὰ προσοχῆς τὰ αἴτια καὶ τὴν οὐσίαν τοῦ ζητήματος καὶ μετὰ φόβου θὰ τοὺς συμβιβάσῃ.

ὙΠΟΘΕΣΙΣ ΜϚ΄.

Ὅτι οὐ πάντας δεῖ ἐπίσης τὴν ἄσκησιν ἀπαιτεῖν, ἀλλὰ πρὸς τὸν προλαβόντα βίον καὶ τὴν ἕξιν τοῦ σώματος.

Δὲν πρέπει νὰ ζητῶμεν ἀπὸ ὅλους τὴν ἰδίαν ἄσκησιν, ἀλλὰ ἀναλόγως πρὸς τὴν προηγουμένην ζωήν των καὶ τὴν σωματικήν των ἀντοχήν.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΑΝΗΡ τις ἦν πλούσιος ἐκ Ῥώμης ἐλθών· καὶ γενόμενος Μοναχὸς ᾤκησεν ἐν τῇ Σκήτει πλησίον τῆς Ἐκκλησίας. Εἶχε δὲ καὶ ἕνα τῶν αὐτοῦ δούλων ἀκολουθήσαντα αὐτῷ καὶ ὑπηρετοῦντα.

2. Ἰδὼν δὲ ὁ κατὰ τὴν Ἐκκλησίαν Πρεσβύτερος τὴν ἀσθένειαν τοῦ ἀνδρός, καὶ μαθὼν ἐκ ποίας ἀναπαύσεώς ἐστιν, ἐκ τῶν προσφερομένων εἰς τὴν Ἐκκλησίαν, ἔπεμπεν αὐτῷ.

3. Ποιήσας οὖν ὁ ἀνὴρ οὗτος ἐν τῇ Σκήτει εἴκοσι πρὸς τοῖς πέντε ἔτεσι, γέγονε διορατικὸς καὶ ὀνομαστός· ἀκούσας δέ τις τῶν μεγάλων Γερόντων τῶν Αἰγυπτίων περὶ αὐτοῦ, ἦλθεν ἰδεῖν αὐτόν, προσδοκῶν οὐ σωματικήν τινα πολιτείαν ἰδεῖν ἐν αὐτῷ. Εἰσελθὼν οὖν, ἠσπάσατο αὐτόν, καὶ ποιήσαντες εὐχὴν ἐκαθέσθησαν.

4. Βλέπει οὖν αὐτὸν ὁ Αἰγύπτιος φοροῦντα ἱμάτια τρυφερά, καὶ σανδάλια ἐν τοῖς ποσίν, ἔτι τε χαράδριον εἰς ὃ ἐκοιμᾶτο, καὶ δέρμα ὑπεστρωμένον, καὶ μικρὸν προσκεφάλαιον, καὶ ἐσκανδαλίσθη ταῦτα θεασάμενος, ὅτι ἐν τῷ τόπῳ οὐχ ὑπῆρχε τοιαύτη διαγωγή, ἀλλὰ μᾶλλον σκληραγωγία.

5. Ὁ δὲ Γέρων, διορατικὸς ὤν, ἔγνω τὸν Αἰγύπτιον σκανδάλισθέντα· καὶ μηδὲν πρὸς αὐτὸν ἐμφανίσας, λέγει τῷ ὑπηρετοῦντι αὐτῷ· ποίησον ἡμῖν ἑορτὴν διὰ τὸν Ἀββᾶν σήμερον. Ὁ δὲ ἥψησε βραχὺ λάχανον, καὶ τῇ ὥρᾳ ἔφαγον.

6. Εἶχε δὲ καὶ βραχὺν οἶνον ὁ Γέρων διὰ τὴν ἀσθένειαν αὐτοῦ, καὶ ἔπιον ἐξ αὐτοῦ· καὶ ὡς ἐγένετο ὀψέ, ἔβαλον τοὺς δώδεκα ψαλμοὺς καὶ ἐκοιμήθησαν, καὶ πάλιν πρὸ τοῦ ὄρθρου ἀναστάντες, μέχρις ἡμέρας προσηύξαντο.

7. Τὸ δὲ πρωῒ λέγει αὐτῷ ὁ Αἰγύπτιος· εὖξαι ὑπὲρ ἐμοῦ· καὶ συνταξάμενος αὐτῷ, ἐξῆλθε μηδὲν ὠφεληθείς, καὶ ἐπορεύετο. Ὁ δὲ Γέρων, θέλων αὐτὸν ὠφελῆσαι, πέμψας μετεκαλέσατο αὐτόν.

8. Καὶ εἰσελθόντα, ἐπηρώτησεν αὐτὸν λέγων· ποίας χώρας εἶ; Ὁ δὲ ἔφη, Αἰγύπτιος· ποίας πόλεως; Καὶ ἀπεκρίθη· ἐγὼ ὅλως οὐκ εἰμὶ πολίτης. Λέγει ὁ Γέρων· τί ἦν τὸ ἔργον σου εἰς τὴν κώμην σου; Καὶ εἶπε· τηρητής· κἀκεῖνος πάλιν· ποῦ ἐκοιμῶ; Ὁ δὲ Αἰγύπτιος· εἰς τὸν ἀγρόν. Καὶ ὁ Γέρων· εἶχες στρωμνὴν ὑποκάτω σου; Ὁ δὲ εἶπεν· εἰς ἀγρὸν εἶχον θεῖναι στρῶμα ὑποκάτω μου; οὐδαμῶς, ἀλλὰ χαμαί.

9. Καὶ πάλιν ὁ Γέρων· καὶ τί εἶχες βρῶμα εἰς τὸν ἀγρόν, ἢ ποῖον οἶνον

ἔπινες; Ἀπεκρίθη ὁ Αἰγύπτιος· ἔνι βρῶμα ἢ οἶνος εἰς ἀγρόν; Ἀλλὰ πῶς ἔζης, φησίν; Ὁ δὲ εἶπε· ξηρὸν ἄρτον ἤσθιον, καὶ εἰ εὕρισκον μικρὸν ταρίχιν, καὶ ἔπινον ὕδωρ. Καὶ ἀποκριθεὶς ὁ Γέρων ἔφη· μέγας κόπος· ἔνι δὲ καὶ βαλανεῖον εἰς τὴν κώμην, ἵνα λούησθε; Ὁ δὲ εἶπεν· οὐχί, ἀλλ' εἰς τὸν ποταμόν, ὅτε θέλομεν.

10. Ὡς οὖν ἠρώτησεν αὐτὸν ὁ Γέρων ταῦτα πάντα, καὶ ἔμαθε τοῦ προτέρου βίου αὐτοῦ τὴν θλῖψιν, θέλων ὠφελῆσαι αὐτόν, διηγήσατο καὶ αὐτὸς τὴν οἰκείαν διαγωγὴν τὴν ἐν τῷ κόσμῳ, εἰπών· ἐμὲ τὸν ταπεινὸν βλέπεις; ἐκ τῆς μεγάλης πόλεως Ῥώμης εἰμί, μέγας γενόμενος εἰς τὸ παλάτιον τοῦ βασιλέως.

11. Ὁ δὲ Αἰγύπτιος, ὡς ἤκουσε τὴν ἀρχὴν τοῦ λόγου, κατενύγη καὶ ἀκριβῶς προσεῖχε τοῖς λεγομένοις· ὁ δὲ διηγεῖτο· κατέλιπον οὖν τὴν πόλιν, καὶ ἦλθον εἰς τὴν ἔρημον ταύτην· καὶ πάλιν ἐμὲ ὃν βλέπεις, οἴκους μεγάλους εἶχον καὶ χρήματα πολλὰ καὶ καταφρονήτας αὐτῶν, ἦλθον εἰς τὸ μικρὸν κελλίον τοῦτο.

12. Εἶχον δὲ καὶ κραββάτους ὁλοχρύσους ἔχοντας πολυτίμους στρωμνάς, καὶ ἀντ' αὐτῶν δέδωκέ μοι ὁ Θεὸς τὸ χαράδριον τοῦτο καὶ τὸ δέρμα· πάλιν τὰ ἐνδύματά μου, πολλῆς τιμῆς ἄξια ἦν καὶ ἀντ' ἐκείνων φορῶ τὰ εὐτελῆ ταῦτα ἱμάτια· καὶ εἰς τὸ ἄριστόν μου δὲ πολὺ χρυσίον ἀνηλίσκετο, καὶ ἀντ' ἐκείνου, ἔδωκέ μοι ὁ Θεὸς τὸ μικρὸν λάχανον τοῦτο καὶ τὸ μικρὸν ποτήριον τοῦ οἴνου.

13. Ἦσαν δὲ οἱ ὑπηρετοῦντές μοι παῖδες πολλοί· καὶ ἰδοὺ ἀντ' ἐκείνων, κατένυξεν ὁ Θεὸς τὸν Γέροντα τοῦτον ὑπηρετῆσαί μοι. Καὶ ἀντὶ βαλανείων δέ, βάλλω τὸ μικρὸν ὕδωρ εἰς τοὺς πόδας μου, καὶ τὰ σανδάλια διὰ τὴν ἀσθένειάν μου.

14. Πάλιν ἀντὶ μουσικῶν, καὶ κιθαρῶν, λέγω τοὺς δώδεκα ψαλμούς· ὁμοίως καὶ ἐν τῇ νυκτί, ἀντὶ τῶν ἁμαρτιῶν ὧν ἐποίουν, ἄρτι μετὰ ἀναπαύσεως ποιῶ τὴν μικράν μου λειτουργίαν· παρακαλῶ οὖν σε, Ἀββᾶ, μὴ σκανδαλισθῇς εἰς τὴν ἀσθένειάν μου.

15. Ταῦτα ἀκούσας ὁ Αἰγύπτιος, στενάξας ἐκ βάθους, εἶπε· οὐαί μοι, ὅτι ἀπὸ πολλῆς θλίψεως τοῦ κόσμου ἦλθον εἰς ἀνάπαυσιν καὶ ἃ οὐκ εἶχον ποτέ, νῦν ἔχω, σὺ δὲ ἀπὸ πολλῆς ἀναπαύσεως, εἰς θλῖψιν ἦλθες, καὶ ἀπὸ πολλῆς δόξης καὶ πλούτου ἦλθες εἰς ταπείνωσιν καὶ πτωχείαν.

16. Καὶ πολλὰ ὠφεληθεὶς ἀπῆλθε καὶ ἐγένετο αὐτοῦ φίλος· καὶ παρέβαλλεν αὐτῷ συνεχῶς δι' ὠφέλειαν· ἦν γὰρ ὁ ἀνὴρ διακριτικός, καὶ πλήρης εὐωδίας τοῦ Ἁγίου Πνεύματος.

17. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀρσενίου, ὅτι ἀσθενήσαντα αὐτόν ποτε εἰς τὴν Σκῆτιν, ἤνεγκεν ὁ Πρεσβύτερος εἰς τὴν Ἐκκλησίαν, καὶ ἔθηκεν αὐτὸν εἰς χαράδριον, καὶ μικρὸν προσκεφάλαιον πρὸς τῇ κεφαλῇ αὐτοῦ.

18. Καὶ ἰδού τις τῶν Γερόντων ἐλθὼν ἐπισκέψασθαι αὐτόν, ὡς εἶδεν αὐτὸν εἰς τὸ χαράδριον κείμενον, καὶ τὸ προσκεφάλαιον ὑπὸ κάτω αὐτοῦ, ἐσκανδαλίσθη καὶ εἶπεν· οὗτός ἐστιν ὁ Ἀββᾶς Ἀρσένιος, καὶ εἰς ταῦτα ἀνάκειται;

19. Λαβὼν δὲ αὐτὸν ὁ Πρεσβύτερος κατ' ἰδίαν, εἶπεν αὐτῷ· τί ἦν τὸ ἔργον σου ἐν τῇ κώμῃ; Ὁ δὲ εἶπε· ποιμὴν ἤμην. Εἶτα ὁ Πρεσβύτερος· πῶς οὖν, φησι, διῆγες τὸν βίον σου; Ὁ δὲ εἶπεν· ἐν πολλῷ κόπῳ. Πάλιν ὁ Πρεσβύτερος· νῦν οὖν πῶς διάγεις ἐν τῷ κελλίῳ σου; Καὶ ἀπεκρίθη ἐκεῖνος· μᾶλλον ἀναπαύομαι.

20. Λέγει οὖν αὐτῷ ὁ Πρεσβύτερος· βλέπεις τοῦτον τὸν Ἀββᾶν Ἀρσένιον; Οὗτος πατὴρ βασιλέων ὑπῆρχεν ἐν τῷ κόσμῳ ὤν· καὶ χίλιοι δοῦλοι χρυσόζωνοι, καὶ σηρικὰ φοροῦντες, παρειστήκεισαν αὐτῷ· καὶ στρώματα ἦν ὑπὸ κάτω αὐτοῦ πολύτιμα. Σὺ δὲ ποιμὴν ὤν, οὐκ εἶχες ἐν τῷ κόσμῳ, ἣν ἔχεις ἀνάπαυσιν· οὗτος δὲ τὴν τρυφήν, ἣν εἶχεν ἐν τῷ κόσμῳ, ὧδε οὐκ ἔχει· ἰδοὺ σὺ ἀναπαύῃ, αὐτὸς δὲ κακουχεῖται.

21. Ὁ δὲ ἀκούσας ταῦτα κατενύγη, καὶ ἔβαλε μετάνοιαν λέγων· συγχώρησόν μοι, Ἀββᾶ, ἡμάρτηκα, ἀληθῶς αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδός· ὅτι οὗτος ἦλθεν εἰς ταπείνωσιν, ἐγὼ δὲ εἰς ἀνάπαυσιν.

Ἑρμηνεία

ΕΝΑΣ πλούσιος ἄνθρωπος ἦλθε κάποτε ἀπὸ τὴν Ρώμην καὶ ἀφοῦ ἔγινε Μοναχός, κατῴκησεν εἰς τὴν Σκήτην, πλησίον τῆς Ἐκκλησίας. Μαζί του εἶχε καὶ ἕνα δοῦλον του, ποὺ τὸν ἠκολούθησε καὶ τὸν ὑπηρέτει.

2. Ὁ Πρεσβύτερος τῆς Ἐκκλησίας τῆς Σκήτης, βλέπων τὴν ἀδυναμίαν αὐτὴν τοῦ ἐπισήμου Ρωμαίου καὶ πληροφορηθεὶς πόσον ἀνέτως ἔζη εἰς τὴν πατρίδα του, ἀπέστελλε πρὸς αὐτὸν ἀπὸ τὰ πρόσφορα ποὺ προσέφερον εἰς τὴν Ἐκκλησίαν.

3. Αὐτὸς λοιπὸν ὁ ἔνδοξος καὶ πλούσιος ἄνθρωπος, ἀφοῦ ἠσκήτευσεν εἰς τὴν Σκήτην περὶ τὰ εἰκοσιπέντε ἔτη, κατέστη περίφημος καὶ ἐπλουτίσθη ὑπὸ τοῦ Θεοῦ μὲ διορατικὸν χάρισμα. Τὴν φήμην του αὐτὴν ἐπληροφορήθη ἕνας ἀπὸ τοὺς μεγάλους Γέροντας τῆς Αἰγύπτου καὶ ἦλθε διὰ νὰ τὸν γνωρίσῃ, μὲ τὴν βεβαιότητα ὅτι δὲν θὰ συναντοῦσεν εἰς τὴν ἐν γένει συμπεριφοράν του τίποτε τὸ φιλόσαρκον καὶ κοσμικόν. Ὅταν λοιπὸν εἰσῆλθεν εἰς τὸ κελλί του τὸν ἠσπάσθη καὶ ἀφοῦ προσηυχήθησαν ἀπὸ κοινοῦ ἐκάθισαν νὰ συνομιλήσουν.

4. Βλέπει ὅμως ὁ Αἰγύπτιος Μοναχός, ὅτι ἐφοροῦσε ράσα μαλακά, σανδάλια εἰς τοὺς πόδας του· ἀκόμη ὅτι εἶχεν ἕνα ὑφαντὸν στρωσίδι εἰς τὸ ὁποῖον ἐκοιμᾶτο, μιὰ προβειὰ στρωμένη ἀπὸ κάτω καὶ ἕνα μικρὸ μαξιλάρι. Ὅλα αὐτά, ποὺ εἶδε, τὸν ἐσκανδάλισαν, διότι εἰς ἐκείνην τὴν περιοχὴν δὲν ἐσυνηθίζετο τοιοῦτος τρόπος ζωῆς, ἀλλὰ σκληραγωγία καὶ αὐστηρότης.

5. Ὁ Γέρων, ὡς διορατικός, ἀντελήφθη, ὅτι ἐσκανδαλίσθη ὁ Αἰγύπτιος. Δὲν ἐφανέρωσεν ὅμως τὰς σκέψεις του πρὸς αὐτόν· ἀπ' ἐναντίας, ὡς νὰ μὴ συνέβαινε τίποτε, λέγει πρὸς τὸν ἄνθρωπον, ποὺ τὸν ὑπηρέτει: Ἂς πανηγυρίσωμεν τὴν σημερινὴν ἡμέραν τῆς ἐπισκέψεως τοῦ Ἀββᾶ· ἑτοίμασέ μας λοιπὸν ἑορταστικὴν τράπεζαν. Τότε ὁ ὑπηρετῶν ἔβρασεν ὀλίγα λάχανα καὶ ἔφαγον τὴν καθωρισμένην ὥραν.

6. Κατὰ τὸ γεῦμα ὁ Γέρων παρέθεσε καὶ ὀλίγον οἶνον, τὸν ὁποῖον εἶχε διὰ τὴν ἀσθένειάν του, καὶ ἔπιον. Ὅταν ἐνύκτωσεν, ἀνέγνωσαν τοὺς δώδεκα ψαλμοὺς καὶ ἐκοιμήθησαν. Μετὰ τὸ μεσονύκτιον ἐξύπνησαν καὶ προσηυχήθησαν ἕως ὅτου ἐξημέρωσε.

7. Τὸ πρωῒ λέγει ὁ Αἰγύπτιος πρὸς τὸν Γέροντα: «Προσευχήσου ὑπὲρ ἐμοῦ». Ἀφοῦ δὲ τὸν ἀπεχαιρέτησεν, ἀνεχώρησε, χωρὶς νὰ ὠφεληθῇ καὶ ἐπορεύετο πρὸς τὸν τόπον του. Ὁ Γέρων, θέλων νὰ τὸν ὠφελήσῃ, ἔστειλε τὸν ὑπηρέτην του καὶ τὸν ἐκάλεσε πάλιν πλησίον του.

8. Ὅταν ἐπανῆλθεν ὁ Αἰγύπτιος, ὁ Γέρων τὸν ἠρώτησεν: «Ἀπὸ ποῦ εἶσαι, Πάτερ μου»; «Ἀπὸ τὴν Αἴγυπτον», ἀπήντησεν ἐκεῖνος. «Ἀπὸ ποίαν πόλιν τῆς Αἰγύπτου»; ἐρωτᾷ ὁ Γέρων. «Δὲν εἶμαι καθόλου ἀπὸ πόλιν, ἀλλ' ἀπὸ χωρίον», ἀπήντησεν ὁ Αἰγύπτιος. Ἐρωτᾷ πάλιν ὁ Γέρων. «Τί δουλειὰ ἔκαμνες εἰς τὸ χωριό σου»; «Ἀγροφύ-

λακας», ἀπήντησεν ἐκεῖνος. «Ποῦ ἐκοιμώσουν»; ἐρωτᾷ ὁ Γέρων. «Εἰς τὰ χωράφια», ἀπήντησεν ἐκεῖνος. «Ἐκοιμόσουνα ἐπάνω σὲ στρῶμα»; ἠρώτησεν ὁ Γέρων. «Εἰς τὰ χωράφια ἠδυνάμην νὰ ἔχω στρῶμα»; ἀπήντησεν ὁ Αἰγύπτιος, «δὲν εἶχα καθόλου στρῶμα, ἀλλ' ἐκοιμώμουν πάντοτε κατάχαμα».

9. «Εἰς τὸ χωράφι—ἐρωτᾷ πάλιν ὁ Γέρων—τί φαγητὸν ἔτρωγες καὶ τί κρασὶ ἔπινες»; «Εἶναι ποτὲ δυνατὸν—ἀπαντᾷ ὁ Αἰγύπτιος—νὰ εὑρεθοῦν εἰς τὸ χωράφι μαγειρευμένον φαγητὸν καὶ κρασί»; «Ἀλλὰ τότε πῶς ἐζούσατε»; ἠρώτησεν ἐκ νέου ὁ Γέρων. «Ἔτρωγα ξερὸ ψωμί,—ἀπήντησεν ὁ Αἰγύπτιος,—καὶ ἐὰν εὕρισκον καμμίαν φορὰν τίποτε παστὸν καὶ ἐπίναμε νερόν». «Πολὺ σκληρὴ ζωή», ἀπεφάνθη ὁ Γέρων καὶ κατόπιν ἐρωτᾷ πάλιν: «εἰς τὸ χωρίον σας εἴχατε λουτρὸν διὰ νὰ λούζεσθε»; «Ποῦ τέτοιο πρᾶγμα· ὅταν ἠθέλαμεν, ἐπηγαίναμεν καὶ ἐλουόμεθα εἰς τὸν ποταμόν», ἀπήντησεν ὁ Αἰγύπτιος.

10. Ἀφοῦ ἐπληροφορήθη ὁ Γέρων ὅλα αὐτὰ καὶ ἔμαθε μὲ πόσην θλῖψιν καὶ στενοχωρίαν ἔζη πρὶν γίνῃ Μοναχός, ἐπιθυμῶν νὰ τὸν ὠφελήσῃ, ἤρχισε νὰ διηγῆται καὶ αὐτὸς τὴν προηγουμένην του ζωὴν εἰς τὸν κόσμον.

—Μὲ βλέπεις ἐμένα τὸν ταπεινόν; κατάγομαι ἀπὸ τὴν μεγάλην πόλιν τῆς Ρώμης καὶ κατεῖχον πολὺ ὑψηλὸν ἀξίωμα εἰς τὸ παλάτιον τοῦ βασιλέως.

11. Ὁ Αἰγύπτιος, μόλις ἤρχισεν ὁ Γέρων νὰ διηγῆται τὴν ζωήν του, ηὔξησε τὸ ἐνδιαφέρον του καὶ τὴν προσοχήν του, διὰ νὰ ἀκούσῃ. «Ἄφησα λοιπὸν αὐτὴν τὴν πόλιν—συνέχισεν ὁ Γέρων—καὶ ἦλθα εἰς αὐτὴν τὴν ἔρημον· ἐμένα, ποὺ μὲ βλέπεις, εἶχα μεγάλας οἰκίας καὶ πολλὰ χρήματα. Καὶ ὅμως τὰ κατεφρόνησα ὅλα αὐτὰ καὶ ἐγκατεστάθην εἰς αὐτὸ ἐδῶ τὸ στενὸν κελλίον».

12. «Εἶχα δὲ καὶ ὁλόχρυσα κρεββάτια, ποὺ ἦσαν στολισμένα μὲ πολύτιμα στρώματα. Ἀντὶ ὅλων αὐτῶν τῶν ἀγαθῶν, ποὺ ἐγκατέλειψα δι' ἀγάπην Θεοῦ, μοῦ ἔδωσεν ὁ Θεὸς αὐτὸ τὸ στρωσίδι καὶ αὐτὸ τὸ δέρμα, ποὺ βλέπεις. Τὰ ἐνδύματα μου ἦσαν βαρύτιμα καὶ ἤξιζαν πολύ· ἀντ' ἐκείνων φορῶ τώρα αὐτὰ τὰ πτωχικὰ ἱμάτια. Εἰς τὸ τραπέζι μου καθημερινῶς ἐδαπανᾶτο ἄφθονον χρῆμα διὰ φαγητὰ καὶ ποτὰ καὶ τώρα ὁ Θεὸς μοῦ ἔδωσεν αὐτὰ τὰ ὀλίγα χόρτα καὶ αὐτὸ τὸ ποτηράκι τὸ κρασί».

13. «Εἰς τὸ σπίτι μου εἶχα πολλοὺς δούλους, ποὺ μὲ ὑπηρέτουν. Καὶ νὰ τώρα! ἀντὶ ὅλων ἐκείνων, ὁ Θεὸς ἔδωσεν αἴσθημα συμπόνιας εἰς αὐτὸν τὸν Γέροντα, διὰ νὰ μὲ ὑπηρετῇ. Ἀντὶ τῶν λουτρῶν, χρησιμοποιῶ αὐτὸ τὸ ὀλίγον ὕδωρ διὰ τοὺς πόδας μου καὶ φορῶ αὐτὰ τὰ σανδάλια διὰ τὴν ἀσθένειάν μου».

14. «Ἀντὶ πάλιν τῶν μουσικῶν καὶ τῶν κιθαρῶν, ποὺ εἶχον τότε, λέγω τώρα τοὺς δώδεκα ψαλμούς. Κατὰ δὲ τὸ διάστημα τῆς νυκτός, ἀντὶ τῶν ἁμαρτιῶν ποὺ ἔκαμνα τότε, τώρα μὲ ὅλην μου τὴν ἀ-

νάπαυσιν ἐκτελῶ τὸν μικρὸν αὐτὸν κανόνα. Σὲ παρακαλῶ λοιπόν, Ἀββᾶ μου, μὴ σκανδαλισθῇς ἀπὸ τὴν ἀσθένειαν μου, ἐξ αἰτίας τῆς ὁποίας ἡ ἄσκησίς μου δὲν εἶναι σκληρὰ καὶ αὐστηροτάτη».

15. Ὅταν ἤκουσεν αὐτὰ ὁ Αἰγύπτιος, ἀνεστέναξε βαθειὰ καὶ εἶπεν:

—Ἀλλοίμονον εἰς ἐμέ· ἀπὸ τὴν μεγάλην θλῖψιν, ποὺ ἀντιμετώπιζα εἰς τὸν κόσμον, ἦλθα τώρα ἐδῶ καὶ ἀναπαύομαι, καὶ ὅσα δὲν εἶχον τότε, λόγῳ τῆς ἐνδείας μου, τὰ ἀπολαμβάνω τώρα εἰς τὸν Μοναχικὸν βίον. Σὺ ὅμως, Γέροντά μου, ἔφυγες ἀπὸ τὰς ἀνέσεις τῆς ἀναπαυτικῆς ζωῆς καὶ προσῆλθες εἰς τὴν στενοχωρίαν τοῦ Μοναχικοῦ βίου· ἔφυγες ἀπὸ τὴν δόξαν καὶ τὸν πλοῦτον καὶ προσῆλθες εἰς τὴν ταπείνωσιν καὶ τὴν πτωχείαν.

16. Ὠφεληθεὶς λοιπὸν ὁ Αἰγύπτιος ἀπὸ ὅσα ἤκουσεν, ἀνεχώρησε καὶ ἐγένετο φίλος τοῦ Γέροντος, τὸν ὁποῖον ἐπεσκέπτετο συχνά, διὰ νὰ ὠφελῆται, διότι ὁ Γέρων αὐτὸς ἦτο διακριτικὸς καὶ ἀνέδιδε τὴν εὐωδίαν τοῦ Ἁγίου Πνεύματος.

17. Διὰ τὸν Ἀββᾶν Ἀρσένιον διηγοῦντο τὸ ἑξῆς περιστατικόν. Κάποτε ἠσθένησεν εἰς τὴν Σκήτην καὶ ὁ Πρεσβύτερος τὸν μετέφερεν εἰς ἕνα κελλὶ τῆς Ἐκκλησίας. Ἐκεῖ τὸν ἐτοποθέτησεν ἐπάνω εἰς ἕνα στρωσίδι καὶ ἔβαλε καὶ μαξιλάρι εἰς τὴν κεφαλήν του.

18. Ἐν τῷ μεταξὺ ἕνας ἀπὸ τοὺς Γέροντας τῆς Σκήτης ἦλθε νὰ τὸν ἐπισκεφθῇ· μόλις ὅμως τὸν εἶδεν ἐπάνω εἰς στρωσίδι καὶ μαξιλάρι τοποθετημένον ὑπὸ τὴν κεφαλήν του, ἐσκανδαλίσθη καὶ εἶπεν:

—Αὐτὸς λοιπὸν εἶναι ὁ περίφημος Ἀσκητὴς Ἀρσένιος καὶ τοιουτοτρόπως ἀναπαύεται;

19. Ὁ Πρεσβύτερος τότε ἐπῆρεν ἰδιαιτέρως τὸν σκανδαλισθέντα Γέροντα καὶ τὸν ἠρώτησε: «Ποίαν ἐργασίαν ἔκαμνες εἰς τὸ χωρίον σου»; «Ἤμουν βοσκός», εἶπεν ἐκεῖνος. «Καὶ πῶς περνοῦσες τὴν ζωήν σου»; τὸν ἠρώτησεν ὁ Πρεσβύτερος. «Μὲ μεγάλον κόπον καὶ σκληραγωγίαν», ἀπήντησεν ὁ σκανδαλισθεὶς Γέρων. «Τώρα πῶς περνᾷς εἰς τὸ κελλί σου»; ἐρωτᾷ πάλιν ὁ Πρεσβύτερος. Καὶ ἀπαντᾷ ἐκεῖνος: «Μᾶλλον ἀναπαύομαι».

20. Τότε ὁ Πρεσβύτερος λέγει πρὸς αὐτόν: «Βλέπεις αὐτὸν ἐδῶ τὸν Ἀββᾶν Ἀρσένιον; Αὐτός, ὅταν εὑρίσκετο εἰς τὸν κόσμον, ἦτο πατὴρ βασιλέων (1), χίλιοι δοῦλοι μὲ μεταξωτὰ ἐνδύματα καὶ χρυσῆν ζώνην εἰς τὴν μέσην εὑρίσκοντο εἰς τὴν ὑπηρεσίαν του, ἐκοιμᾶτο δὲ ἐπάνω εἰς πολύτιμα καὶ μαλακὰ στρώματα. Ὅπως βλέπεις, τὴν τρυφὴν καὶ τὴν ἀνάπαυσιν, μὲ τὴν ὁποίαν ἔζη εἰς τὸν κόσμον, δὲν τὴν ἔχει ἐδῶ εἰς τὴν Σκήτην. Ὥστε ἐκ τῶν πραγμάτων ἀποδεικνύεται, ὅτι αὐτὸς μέν, ὁ Ἀββᾶς Ἀρσένιος, κακοπερνᾷ, ἐνῷ σὺ ἀναπαύεσαι».

---

1) Εἰς τὸν θεῖον Ἀρσένιον εἶχεν ἀναθέσει ὁ Μέγας Θεοδόσιος τὴν ἀνατροφὴν τῶν τέκνων του Ἀρκαδίου καὶ Ὀνωρίου, τῶν μετέπειτα βασιλέων.

21. Ὁ Γέρων, μόλις ἤκουσεν αὐτά, κατενύχθη καὶ βάλλων μετάνοιαν, εἶπε:

—Συγχώρησόν με, Ἀββᾶ, ἡμάρτησα· πράγματι αὐτὴ εἶναι ἡ ἀληθινὴ ὁδός. Τὸ συμπέρασμα εἶναι ὀρθότατον· αὐτὸς ἦλθεν εἰς ταπείνωσιν, ἐκλέξας τὸν ἀσκητικὸν βίον, ἐνῷ ἐγὼ ἦλθον εἰς ἀνάπαυσιν».

Β'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΜΗ ἀποβιάζου Γέροντα εἰς ἔργον, διότι κατέτριψεν ἐν ἀσκήσει σάρκας νεότητος αὐτοῦ· ἀρκεῖ δὲ ἡ συνείδησις τῷ φοβουμένῳ τὸν Κύριον· ἤγουν τῷ ἤδη γηράσαντι κατὰ Θεόν, ἀρκεῖ ἡ νοερὰ ἐργασία καὶ ἡ ἐκπλήρωσις, ὧν ἡ συνείδησις ὑποτίθησιν.

2. Ἀπόνεμε τιμὴν γέρουσι διὰ τὸν Κύριον, καὶ διὰ τοὺς γνωστικωτέρους τῶν ἀδελφῶν, οἳ τὴν ἀρετὴν τιμωμένην ὁρῶντες, ἐπὶ πλέον ζηλώσουσι.

3. Σκόπει, ἀδελφέ, τὰ μέτρα ἑκάστου τῶν ὑποτεταγμένων σοι, διὰ τὸν εἰπόντα ὅτι καρποφορεῖ, «ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα».

Ἑρμηνεία

ΤΟΝ Γέροντα Μοναχὸν νὰ μὴ τὸν βιάζῃς νὰ ἐκτελέσῃ ἔργον ἀνώτερον τοῦ γήρατος του, διότι οὗτος κατεμάρανε τὴν σωματικήν του δύναμιν εἰς τὴν ἄσκησιν. Εἰς αὐτὸν ὁ ὁποῖος φοβεῖται καὶ σέβεται τὸν Θεὸν εἶναι ἀρκετὴ ἡ συνείδησίς του· δηλαδὴ αὐτὸς ποὺ ἐγήρασε κατὰ Θεόν, δὲν εἶναι ἀνάγκη νὰ κάμῃ χειρωνακτικὴν ἐργασίαν· εἶναι ἀρκετὴ ἡ νοερὰ ἐργασία (προσευχὴ καὶ θεωρία) καὶ ἡ ἐφαρμογὴ αὐτῶν, ποὺ ὑπαγορεύει ἡ συνείδησις.

2. Εἰς ἐκείνους, οἱ ὁποῖοι ἐγήρασαν ἐπιτυχῶς εἰς τὸ θεῖον ἔργον, νὰ ἀποδίδῃς τὴν ὀφειλομένην τιμὴν καὶ πρὸς δόξαν τοῦ Κυρίου, ἀλλὰ καὶ πρὸς πνευματικὴν ὠφέλειαν τῶν συνετωτέρων ἀδελφῶν, οἱ ὁποῖοι, ὅταν βλέπουν νὰ τιμᾶται ἡ ἀρετὴ εἰς τὸ πρόσωπον τῶν ἐναρέτων Γερόντων, ἀσφαλῶς θὰ φιλοτιμηθῶσιν, ὥστε νὰ προκόψωσι περισσότερον εἰς τοὺς πνευματικοὺς ἀγῶνας.

3. Ἀδελφέ μου, νὰ ἐξετάζῃς μετὰ προσοχῆς τὴν ἱκανότητα τῆς πνευματικῆς ἐπιδόσεως καὶ τὸ μέτρον τῆς σωματικῆς δυνάμεως ἑνὸς ἑκάστου τῶν ὑποτακτικῶν σου, νὰ ἔχῃς δὲ πάντοτε ὑπ' ὄψιν σου τὴν ἀλάνθαστον ἀλήθειαν, ποὺ εἶπεν ὁ Κύριος, ὅτι «ἄλλος μὲν (καρποφορεῖ) ἑκατόν, ἄλλος ἑξήκοντα καὶ ἄλλος τριάκοντα» (Ματθ. ιγ' 8).

*Ἀδιαλείπτως προσεύχεσθε·
Κύριε Ἰησοῦ Χριστέ ἐλέησόν με

ΥΠΟΘΕΣΙΣ ΜϚ΄

Ὅτι δεῖ τῶν ἀσθενῶν μάλιστα φροντίζειν καὶ συγκαταβαίνειν αὐτοῖς μικρόν, ἐν οἷς οὐκ ἔστι παράβασις ἐντολῆς Θεοῦ, ἵνα μὴ σκανδαλίζωνται. Καὶ ὅτι κατὰ τὴν ἑκάστου ἰσχύν, καὶ τὸ ἐπιτήδευμα, καὶ τὰ κατορθώματα, καὶ τὰ ἁμαρτήματα κρίνεται.

Πρέπει νὰ φροντίζωμεν ἰδιαιτέρως διὰ τοὺς ἀδυνάτους καὶ νὰ εἴμεθα συγκαταβατικώτεροι μὲ αὐτούς, εἰς ὅσας περιπτώσεις δὲν συμβαίνει παράβασις κάποιας ἐντολῆς τοῦ Θεοῦ, διὰ νὰ μὴ σκανδαλίζωνται. Τὰ ἐπιτεύγματα καὶ τὰ ἁμαρτήματα ἑνὸς ἑκάστου κρίνονται ἀνάλογα μὲ τὴν δύναμιν καὶ τὰς γνώσεις του.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΠΑΡΕΒΑΛΟΝ ποτε τρεῖς Γέροντες τῷ Ἀββᾷ Ἀχιλλᾷ· ὁ δὲ εἷς ἐξ αὐτῶν εἶχε φήμην κακήν.

2. Εἶπεν οὖν τῷ Ἀββᾷ Ἀχιλλᾷ ὁ εἷς ἐξ αὐτῶν· Ἀββᾶ, ποίησόν μοι μίαν σαγήνην. Ὁ δὲ εἶπεν· οὐ ποιῶ. Καὶ ὁ ἄλλος εἶπεν· ποίησον ἀγάπην, ποίησον ἡμῖν μίαν σαγήνην, ἵνα ἔχωμεν μνημόσυνόν σου εἰς τὴν Μονήν. Ὁ δὲ ἔφη· οὐ σχολάζω.

3. Λέγει αὐτῷ ὁ ἄλλος, ὁ ἔχων τὴν κακὴν φήμην· Ἀββᾶ, ἐμοὶ ποίησον σαγήνην, ἵνα ἔχω ἐκ τῶν χειρῶν σου. Ὁ δὲ ἀποκριθεὶς εὐθέως, εἶπεν αὐτῷ· ἐγώ σοι ποιῶ.

4. Καὶ εἶπον αὐτῷ κατ' ἰδίαν οἱ δύο Γέροντες· πῶς ἡμεῖς παρεκαλέσαμέν σε καὶ οὐκ ἠθέλησας ἡμῖν ποιῆσαι, καὶ τούτῳ εἶπας· ἐγώ σοι ποιῶ;

5. Λέγει αὐτοῖς ὁ Γέρων· εἶπον ὑμῖν οὐ ποιῶ, καὶ οὐκ ἐλυπήθητε, ὡς μὴ σχολάζοντός μου· τούτῳ δέ, ἂν μὴ ποιήσω, ἐρεῖ· διὰ τὴν ἁμαρτίαν μου, ἀκούσας ὁ Γέρων, οὐκ ἠθέλησε ποιῆσαι· καὶ εὐθέως κόπτομεν τὸ σχοινίον· διήγειρα οὖν αὐτοῦ τὴν ψυχήν, ἵνα μὴ τῇ λύπῃ καταποθῇ.

6. Συνέβη τινὰς τῶν Πατέρων παραβαλεῖν εἰς οἰκίαν φιλοχρίστου τινός, ἐν οἷς ἦν καὶ ὁ Ἀββᾶς Ποιμήν· καὶ ἐν τῷ ἐσθίειν αὐτούς, παρετέθη κρέα· ἔφαγον δὲ πάντες χωρὶς τοῦ Ἀββᾶ Ποιμένος.

7. Καὶ ἐθαύμαζον οἱ Γέροντες, ὅτι οὐκ ἤσθιεν, εἰδότες τὴν διάκρισιν αὐτοῦ· ὡς δὲ ἀνέστη, λέγουσιν αὐτῷ· σὺ εἶ Ποιμήν, καὶ τοῦτο ἐποίησας;

8. Ἀπεκρίθη ὁ Γέρων αὐτοῖς· ὑμεῖς ἐφάγετε, καὶ οὐδεὶς ἐσκανδαλίσθη· ἐγὼ δὲ ἐὰν ἔφαγον, ἐπεὶ πολλοὶ ἀδελφοὶ ἔρχονται ἔγγιστά μου, εἶχον βλαβῆναι, λέγοντες· Ποιμὴν ἔφαγε κρέα, καὶ ἡμεῖς οὐκ ἐσθίομεν; Καὶ ἀκούσαντες ἐθαύμασαν τὴν διάκρισιν αὐτοῦ.

9. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων, ἐὰν μιαίνεταί τις λογιζόμενος

ῥυπαρὸν λογισμόν. Ὄντων δὲ καὶ ἄλλων ἐκεῖ, καὶ γενομένης ἐξετάσεως περὶ τούτου, οἱ μὲν ἔλεγον· ναί, μιαίνεται· οἱ δὲ οὐχί· ἐπεὶ οὐ δυνάμεθα σωθῆναι ἡμεῖς οἱ ἰδιῶται, ἀλλὰ τοῦτό ἐστι τὸ μὴ πρᾶξαι αὐτὸν σωματικῶς.

10. Ὁ δὲ ἀδελφὸς ἀπελθὼν εἰς δοκιμώτατον Γέροντα, ἠρώτησεν αὐτὸν περὶ τούτου, καὶ λέγει ὁ Γέρων· τοῦτο πρὸς τὸ μέτρον ἑκάστου ζητεῖται· ἰδοὺ γάρ, φησι, κεῖται ἐνταῦθα σκεῦος ἐπιθυμητόν, καὶ εἰσῆλθον δύο ἀδελφοί· ὁ εἷς ἔχων μέτρα μεγάλα, ὁ δὲ ἕτερος ἥττονα.

11. Ἐὰν οὖν εἴπῃ ὁ λογισμὸς τοῦ τελείου, ἤθελον ἔχειν τὸ σκεῦος τοῦτο, μὴ ἐπιμείνῃ δέ, ἀλλὰ ταχέως ἐκκόψῃ, οὐκ ἐμιάνθη· ὁ δὲ μήπω φθάσας εἰς μέτρα μεγάλα, ἐὰν ἐπιθυμήσῃ μέν, καὶ ἀδολεσχήσῃ ἐν τῷ λογισμῷ, μὴ ἄρῃ δὲ αὐτό, οὐκ ἐμιάνθη.

Ἑρμηνεία

ΤΡΕΙΣ Γέροντες ἐπεσκέφθησαν κάποτε τὸν Ἀββᾶν Ἀχιλλᾶν. Ὁ ἕνας ἐκ τῶν τριῶν αὐτῶν εἶχε κακὴν φήμην.

2. Ὁ πρῶτος λέγει πρὸς τὸν Ἀββᾶν Ἀχιλλᾶν:

—Ἀββᾶ, πλέξε μου ἕνα δίχτυ.

—Δὲν σοῦ πλέκω—ἀπήντησε ξηρὰ ὁ Ἀββᾶς.

Καὶ ὁ δεύτερος εἶπε:

—Κάμε ἀγάπην καὶ πλέξε μας ἕνα δίχτυ, διὰ νὰ τὸ ἔχωμεν ἐνθύμιόν σου εἰς τὸ Μοναστήρι.

—Δὲν εὐκαιρῶ,—ἀπήντησεν ὁ Ἀββᾶς.

3. Τότε καὶ ὁ τρίτος, ὁ ἔχων τὴν κακὴν φήμην, λέγει πρὸς τὸν Ἀββᾶν Ἀχιλλᾶν:

—Ἀββᾶ, πλέξε μου ἕνα δίχτυ, διὰ νὰ ἔχω ἀπὸ τὰ χέρια σου.

—Ναί, θὰ σοῦ πλέξω—τοῦ ἀπήντησεν ἀμέσως ὁ Ἀββᾶς.


4. Αὐτὸ προεκάλεσε τὴν περιέργειαν τῶν δύο ἄλλων Γερόντων, οἱ ὁποῖοι τὸν ἐκάλεσαν ἰδιαιτέρως καὶ τοῦ εἶπον:

—Διατί, ὅταν σὲ παρεκαλέσαμεν ἡμεῖς, μᾶς ἠρνήθης, ἐνῷ ὅταν σοῦ εἶπεν αὐτός, ἀπήντησες, ἐγὼ θὰ σοῦ πλέξω τὸ δίχτυ;

5. Ὁ Γέρων ἀπήντησε:

—Σᾶς εἶπα, ὅτι δὲν σᾶς πλέκω δίχτυ, καὶ δὲν ἐλυπήθητε, ἐπειδὴ ἀντελήφθητε ὅτι δὲν εὐκαιρῶ· ἐὰν ὅμως εἰπῶ καὶ εἰς αὐτόν, ὅτι δὲν θὰ τοῦ κάμω, θὰ εἴπῃ καθ' ἑαυτόν· «ὁ Γέρων ἐπληροφορήθη διὰ τὴν ἁμαρτίαν μου καὶ δι' αὐτὸ δὲν ἠθέλησε νὰ πραγματοποιήσῃ τὴν ἐπιθυμίαν μου». Διὰ τοῦ τρόπου ὅμως αὐτοῦ, διὰ τῆς ἀρνήσεως δηλαδή, ἀμέσως ἀποκόπτομεν τὸ σχοινὶ τῆς ἀγάπης καὶ τὸν ἐκθέτομεν εἰς τὸν κίνδυνον τῆς ἀπελπισίας. Ἐπεδίωξα λοιπὸν τὴν ἀφύπνισιν τῆς ψυχῆς του, διὰ νὰ μὴ τὸν καταπιῇ ἡ λύπη.

6. Κάποτε μερικοὶ Πατέρες ἐπεσκέφθησαν τὴν οἰκίαν ἑνὸς φιλοχρίστου καὶ εὐσεβοῦς ἀνθρώπου· μεταξὺ αὐτῶν ἦτο καὶ ὁ Ἀββᾶς Ποιμήν. Ἐνῷ δὲ ἔτρωγον, μεταξὺ τῶν ἄλλων φαγητῶν, τοὺς προσέφεραν καὶ κρέας. Ὅλοι ἔφαγον, ἐξ αὐτοῦ, ἐκτὸς τοῦ Ἀββᾶ Ποιμένος.


Ο ΑΒΒΑC ΑΧΙΛΑC

7. Οἱ Πατέρες ἐξεπλάγησαν, ἐπειδὴ δὲν ἔφαγε, διότι ἐγνώριζαν πόσον διακριτικὸς ἦτο. Ἀφοῦ ἐτελείωσαν τὸ φαγητὸν καὶ ἐσηκώθησαν, τοῦ λέγουν:

—Σὺ ὁ Ποιμὴν ἔκαμες αὐτό! (1)

8. Εἰς τὴν ἐρώτησιν αὐτὴν ἀπήντησεν ὁ Ἀββᾶς Ποιμήν:

—Σεῖς ἐφάγατε καὶ κανεὶς δὲν ἐσκανδαλίσθη. Ἐπειδὴ ὅμως ἐμένα μὲ πλησιάζουν πολλοί, ἐὰν ἔτρωγον, θὰ ἐσκανδαλίζοντο λέγοντες· «ἀφοῦ ἔφαγεν ὁ Ποιμὴν κρέας, διατὶ νὰ μὴ φάγωμεν καὶ ἡμεῖς»;

Ὅταν οἱ ὑπόλοιποι Πατέρες ἤκουσαν αὐτὴν τὴν ἐξήγησιν, ἐθαύμασαν τὸ ὕψος τῆς διακρίσεως τοῦ Ἀσκητοῦ.

9. Ἕνας ἀδελφὸς ἠρώτησε κάποτε κάποιον ἐκ τῶν Πατέρων:

—Μιαίνεται κανεὶς ψυχικῶς, ὅταν τοῦ ἔλθῃ ῥυπαρὸς λογισμός;

Εἰς τὸ κελλὶ αὐτοῦ τοῦ Πατρός, ποὺ ἠρωτήθη, παρευρίσκοντο καὶ ἄλλοι· ὡς ἐκ τούτου ἐγένετο συζήτησις ἐπ' αὐτοῦ. Αἱ γνῶμαι ἐδιχάσθησαν. Ἄλλοι μὲν ἔλεγον, ὅτι ἐκ τοῦ ῥυπαροῦ λογισμοῦ μιαίνεται ὁ ἄνθρωπος· ἄλλοι ὅμως ἰσχυρίζοντο, ὅτι δὲν μιαίνεται κανεὶς ψυχικῶς ἐκ τοῦ ῥυπαροῦ λογισμοῦ, ἐφ' ὅσον δὲν πραγματοποιήσῃ τὸν λογισμὸν αὐτὸν σωματικῶς. Διότι, ἀλλοίμονον, συνέχιζον, ἐὰν ἐμιαίνετο ὁ ἄνθρωπος μὲ τὸν ἁπλοῦν λογισμόν· τότε οὐδεὶς θὰ ἐσῴζετο.

10. Ὁ ἀδελφός, ποὺ ὑπέβαλε τὴν ἐρώτησιν, δὲν ἱκανοποιήθη ἀπὸ αὐτὴν τὴν ἀμφιβολίαν, δι' αὐτὸ καὶ προσέτρεξεν εἰς ἕνα πάρα πολὺ ἄξιον καὶ ἱκανὸν Γέροντα καὶ ἐζήτησε παρ' αὐτοῦ τὴν ἐξήγησιν τῆς ἀπορίας του. Ὁ Γέρων, ἀφοῦ ἤκουσε προσεκτικῶς, τοῦ ἀπήντησεν:

—Αὐτό, τὸ νὰ μιανθῇ δηλαδὴ ἢ ὄχι, ἀπὸ ῥυπαρὸν λογισμὸν ὁ ἄνθρωπος, ἐξαρτᾶται ἀπὸ τὰ μέτρα τῆς πνευματικῆς καταστάσεως ἑνὸς ἑκάστου. Ἐπὶ παραδείγματι· ἂς ὑποθέσωμεν, ὅτι εὑρίσκεται ἐδῶ σκεῦος, ποὺ δύναται νὰ διεγείρῃ τὴν ἐπιθυμίαν. Ἔξαφνα εἰς τὸν χῶρον αὐτὸν εἰσέρχονται δύο ἀδελφοί· ὁ ἕνας ἔχει μεγαλυτέρας πνευματικὰς ἱκανότητας καὶ ὁ ἄλλος μικροτέρας.

11. Ἐὰν λοιπὸν εἴπῃ ὁ λογισμὸς αὐτοῦ, ποὺ ἔχει τὰς μεγαλυτέρας πνευματικὰς ἱκανότητας, «ἤθελα νὰ εἶχα αὐτὸ τὸ σκεῦος», δὲν δώσῃ ὅμως προσοχὴν εἰς αὐτὸν τὸν λογισμὸν καὶ τὸν ἀποδιώξῃ ἀμέσως, ἀσφαλῶς δὲν ἐμιάνθη. Ἐκεῖνος πάλιν, ποὺ δὲν ἔφθασεν εἰς αὐτὰ τὰ ὑψηλὰ μέτρα, ἐὰν ἐπιθυμήσῃ μὲν αὐτὸ τὸ σκεῦος καὶ ἀπασχοληθῇ μὲ τὸν λογισμὸν αὐτόν, δὲν πάρῃ ὅμως τὸ σκεῦος τῆς ἐπιθυμίας, καὶ αὐτὸς δὲν ἐμιάνθη (2).

---

1) Τὸ νόημα τῆς ἀπορίας εἶναι, πῶς, ὡς διακριτικός, δὲν ἔφαγεν ἀπὸ τὰ παρατιθέμενα, διὰ νὰ μὴ λυπήσῃ τοὺς φιλοξενοῦντας.

2) Ἡ «συνομιλία» λογισμοῦ καὶ ψυχῆς, ἡ χαρακτηριζομένη ἐν τῷ κειμένῳ, ὡς ἀδολεσχία, ἀποτελεῖ τὴν πρὸ τῆς πράξεως ἐνέργειαν τῆς συνειδήσεως, τὴν ἀναφερομένην εἰς τὴν ἀμφιβολίαν περὶ τὴν ἐκλογήν.

Β' Τοῦ Ἁγίου Ἐφραίμ.

ΑΔΕΛΦΕ, βάσταζε τὸν ἀσθενῆ· ὁ γὰρ ἰσχύων, οὐ χρείαν σου ἔχει· γέγραπται γάρ· «οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες» καὶ «Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν».

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, νὰ ὑπομένῃς τὸν ἀσθενῆ· διότι αὐτός, ποὺ εἶναι γερός, δὲν ἔχει τὴν ἀνάγκην σου. Εἰς τὸ Ἱερὸν Εὐαγγέλιον ἔχει γραφῆ· «οἱ ὑγιεῖς δὲν ἔχουν ἀνάγκην ἀπὸ ἰατρόν, ἀλλ' ἐκεῖνοι, ποὺ ὑποφέρουν» (Ματθ. θ' 12). Εἰς ἄλλο πάλιν σημεῖον γράφει ἡ Καινὴ Διαθήκη· «Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ νὰ ὑπομένωμεν τὰς ἀδυναμίας τῶν ἀδυνάτων» (Ρωμ. ιε' 1).



ὙΠΟΘΕΣΙΣ ΜΗ΄

Ὅτι δεῖ τὸν εἰς ἁμαρτίαν πεσόντα καὶ τῇ ἀπογνώσει ἐγγίζοντα μὴ ἐπιτρίβειν εὐθὺς ἀποτόμοις ἐλέγχοις, ἀλλὰ παρακαλεῖν συμπαθῶς καὶ πρᾴως ἀνακαλεῖσθαι τοῦ πτώματος· ὁμοίως καὶ τὸν χωρισθέντα τοῦ Κοινοβίου, εἶτα ἐπανελθόντα, προσηνῶς ὑποδέχεσθαι.

Ἐκεῖνον, ὁ ὁποῖος περιέπεσεν εἰς κάποιο ἁμάρτημα καὶ διὰ τοῦτο ἔχει περιέλθει εἰς ἀπελπισίαν, δὲν πρέπει νὰ τὸν καταθλίβωμεν ἀμέσως μὲ ἀπότομον ἔλεγχον, ἀλλὰ νὰ τὸν παρηγορῶμεν μὲ συμπάθειαν καὶ νὰ προσπαθῶμεν μὲ καλωσύνην νὰ τὸν σηκώσωμεν ἀπὸ τὴν πτῶσιν του. Ὁμοίως καὶ ἐκεῖνον, ὁ ὁποῖος ἀπεχωρίσθη ἀπὸ τὸ Κοινόβιον καὶ κατόπιν ἐπέστρεψε, πρέπει νὰ τὸν ὑποδεχώμεθα μὲ καλὸν τρόπον.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΕΣΥΚΟΦΑΝΤΗΘΗ ἀδελφὸς εἰς Κοινόβιον περὶ πορνείας, καὶ ἀναστὰς ἦλθε πρὸς τὸν Ἀββᾶν Ἀντώνιον· ἦλθον δὲ καὶ ἀδελφοὶ ἀπὸ τοῦ Κοινοβίου θεραπεῦσαι αὐτὸν καὶ λαβεῖν. Καὶ ἤρξαντο ἐλέγχειν, ὅτι οὕτως ἐποίησας· ὁ δὲ ἀπελογεῖτο, ὅτι οὐδὲν τοιοῦτον ἐποίησα.

2. Παρῆν δὲ ἐκεῖ ὁ Ἀββᾶς Παφνούτιος ὁ Κεφαλᾶς, καὶ εἶπε παραβολὴν τοιαύτην.

3. Εἶδον εἰς τὴν ὄχθην τοῦ ποταμοῦ ἄνθρωπον βληθέντα εἰς βόρβορον ἕως τῶν γονάτων αὐτοῦ· καὶ ἐλθόντες τινὲς δοῦναι αὐτῷ χεῖρα, κατεπόντισαν αὐτὸν ἕως τραχήλου.

4. Εἶπε δὲ ὁ Ἀντώνιος· ἰδοὺ ἄνθρωπος ἀληθινός, δυνάμενος θεραπεῦσαι καὶ σῶσαι ψυχάς. Κατανυγέντες οὖν οἱ ἀδελφοὶ τῷ λόγῳ τῶν Γερόντων ἔβαλον μετάνοιαν τῷ ἀδελφῷ, καὶ παρακληθέντες ὑπὸ τῶν Πατέρων, ἔλαβον τὸν ἀδελφὸν εἰς τὸ Κοινόβιον.

5. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἐὰν ἁμαρτήσῃ ἄνθρωπος καὶ ἀρνήσηται λέγων οὐχ ἥμαρτον, μὴ ἐλέγξῃς αὐτόν· εἰ δὲ μή γε ἐκκόπτεις αὐτοῦ τὴν προθυμίαν· ἀλλὰ μᾶλλον εἰπὲ αὐτῷ· μὴ ἀθυμήσῃς, ἀδελφέ, ἀλλὰ φύλαξαι τοῦ λοιποῦ· καὶ διεγείρεις αὐτοῦ τὴν ψυχὴν εἰς μετάνοιαν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς Κοινοβίου ἐσυκοφαντήθη κάποτε, ὅτι ἐπόρνευσεν. Ἀμέσως τότε κατέφυγεν εἰς τὸν Μέγαν Ἀντώνιον. Μετ' ὀλίγον ἔφθασαν ἐκεῖ καὶ ἀδελφοὶ ἀπὸ τὸ Κοινόβιον, διὰ νὰ τὸν ἐλ-

κύσουν (κατὰ τὴν ἰδικήν των γνώμην) εἰς μετάνοιαν, καὶ νὰ τὸν παραλάβουν μαζί των εἰς τὸ Κοινόβιον. Ἤρχισαν ὅμως νὰ τὸν ἐλέγχουν καὶ νὰ τὸν ἐπιτιμοῦν, ἰσχυριζόμενοι, ὅτι πράγματι ἐπόρνευσεν. Ὁ ἀδελφὸς ἀπελογεῖτο καὶ ἔλεγεν, ὅτι δὲν διέπραξα τοιοῦτον ἁμάρτημα.

2. Κατὰ τὴν συζήτησιν αὐτὴν παρευρίσκετο, κατὰ σύμπτωσιν, καὶ ὁ Ἀββᾶς Παφνούτιος ὁ Κεφαλᾶς. Ὅταν ἤκουσε τὰ συμβαίνοντα, εἶπε τὴν ἑξῆς παραβολήν:

3. Κάποτε εἶδον ἕνα ἄνθρωπον εἰς τὴν ὄχθην τοῦ ποταμοῦ, ποὺ εἶχε βουλιάξει ἕως τὰ γόνατα εἰς τὸν βόρβορον. Μερικοὶ ἄνθρωποι προσέτρεξαν διὰ νὰ τὸν βοηθήσουν, ἀλλὰ τὸν ἐβύθισαν ἀκόμη περισσότερον, μέχρι τοῦ λαιμοῦ.

4. Ὅταν ἤκουσε τὴν παραβολὴν ὁ Ἀββᾶς Ἀντώνιος, εἶπεν:

—Ἰδοὺ ἄνθρωπος ἀληθινός, ποὺ ἠμπορεῖ νὰ θεραπεύσῃ ψυχὰς πληγωμένας ἀπὸ τὴν ἁμαρτίαν καὶ νὰ τὰς σώσῃ.

Οἱ ἀδελφοί, ποὺ ἦλθον ἀπὸ τὸ Κοινόβιον, κατενύγησαν ἀπὸ τοὺς διδακτικοὺς αὐτοὺς λόγους τῶν Γερόντων, τοῦ Παφνουτίου καὶ τοῦ Ἀντωνίου, καὶ ἔβαλαν μετάνοιαν εἰς τὸν συκοφαντημένον ἀδελφόν. Ἀφοῦ λοιπὸν ἐπανεπαύθησαν ὑπὸ τῶν Πατέρων καὶ εἰρήνευσαν, παρέλαβον πάλιν τὸν ἀδελφὸν καὶ ἐπέστρεψαν εἰς τὸ Κοινόβιον.

5. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν· ἐὰν ἕνας ἄνθρωπος ἁμαρτήσῃ, καὶ ἀρνηθῇ τὴν ἐνοχήν του, ἰσχυριζόμενος, ὅτι δὲν ἡμάρτησε, μὴ τὸν ἐλέγξῃς· διαφορετικά, ἐὰν τὸν ἐλέγξῃς, εἶναι ἐνδεχόμενον νὰ τοῦ ἀποκόψῃς τὴν προθυμίαν πρὸς μετάνοιαν καὶ νὰ τὸν ἀπογοητεύσῃς. Προτιμότερον εἶναι νὰ τοῦ εἴπῃς: ἀδελφέ μου, μὴ ἀπελπίζεσαι, πρόσεξε ἀπὸ ἐδῶ καὶ πέρα. Τοιουτοτρόπως θὰ ξυπνήσῃς μέσα εἰς τὴν ψυχήν του τὸν πόθον τῆς μετανοίας.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ.

ΕΑΝ ἀδελφὸς τοῦ Κοινοβίου χωρισθῇ, οἱαδήποτε προφάσει, καὶ περιπέσῃ ἀῤῥωστίᾳ, ἢ καὶ μεταγνοὺς ὑποστρέψῃ, οὐ δεῖ αὐτὸν παρορᾶν, ἀλλὰ προσλαμβάνεσθαι μᾶλλον ὡς ἴδιον μέλος· εἰ γὰρ καὶ ἥμαρτεν ἀποστάς, ἀλλὰ σὺ ποίησον τὸ ἔλεος μετ' αὐτοῦ διὰ τὸν Κύριον τὸν εἰπόντα· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε».

2. Τὸ γὰρ περὶ ἑαυτοῦ μόνου φροντίζειν ἀπηγόρευται, τοῦ Σωτῆρος εἰπόντος· «μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τί πίητε» καὶ τὰ ἑξῆς. Παραγγέλλει δὲ καὶ ὁ Ἀπόστολος λέγων· «μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων»· καὶ τὴν ἀγάπην πάντων τῶν κατορθωμάτων καὶ τῶν χαρισμάτων ὑπερεπιτίθησι.

3. Καλὴ μὲν γὰρ ἡ προσευχὴ μετὰ νηστείας· ταύτην δὲ ἡ ἐλεημοσύνη βεβαιοῖ· «ἔλεον» γάρ φησι, «θέλω, καὶ οὐ θυσίαν».

4. Ὅρα δὲ καὶ τὸν Προφήτην πῶς διελέγχει τοὺς ἀνελεήμονας λέγων· «ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι». Καὶ πάλιν· «ὅτι ὃν σὺ

ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν».

5. Καὶ ὁ Σωτὴρ δὲ οἰκτίρμονας ἡμᾶς εἶναι παρεκελεύεται λέγων· «Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί»· μακαρίζει δὲ καὶ τοὺς ἐλεήμονας λέγων· «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται»· καὶ πρὸς τὸν Πατέρα λέγειν προσευχομένους ἐπέτρεψεν· «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

6. Δέξαι οὖν τὸν πλανηθέντα καὶ μετανοοῦντα, εἰ ὄντως καθαρὰν καὶ γνησίαν ἐνδείκνυται τὴν μετάνοιαν· καὶ ἄκουσον τοῦ Ἀποστόλου λέγοντος· «Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος, διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην».

7. Καὶ πάλιν λέγει· «Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους· ἀντέχεσθε τῶν ἀσθενῶν· μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε, καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας».

8. Καὶ γὰρ ὁ Κύριος τῆς δόξης οὐκ ἀπεβάλετο τὸν ἄσωτον υἱόν, ἀλλὰ προσελάβετο αὐτόν, ὡς ἐκ νεκρῶν ἀναστάντα, καὶ ἐνέδυσε τὴν πρώτην στολήν· καὶ ὑπέδησε, καὶ δακτύλιον ἐχαρίσατο, καὶ τὸν σιτευτὸν μόσχον ἔθυσε, τοῦ εὐφρανθῆναι ἐπὶ τῇ εὑρέσει τοῦ ἀπολωλότος υἱοῦ.

9. Τοῦ δὲ ἑτέρου λυπηθέντος, καὶ αὐτὸν παρακαλέσας ἐθεράπευσεν εἰπών· «τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη».

10. Καὶ σὺ δέ, ἀδελφέ, ἐλέους τυχών, μὴ καταφρόνει, ἀλλὰ μίμησαι καὶ αὐτὸς τὸν μετανοήσαντα, καὶ ἐπιστρέψαντα υἱόν· καὶ πρόσπεσε τῷ Πατρί σου ἐν ταπεινώσει, καὶ ἐξομολόγησαι τὸ ἁμάρτημα ἐν ἀληθείᾳ, καὶ οὐκ ἐν ὑποκρίσει λέγων· «Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν Σου, οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός Σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων Σου».

11. Καὶ μετὰ τοιαύτης κατανύξεως καὶ πόνου πρόσπεσε αὐτῷ, καὶ τυχὼν συγγνώμης, φύλαξαι τοῦ λοιποῦ ἐν φόβῳ καὶ ταπεινοφροσύνῃ δουλεύειν τῷ Κυρίῳ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, μεμνημένος τῆς εὐεργεσίας, ἧς ἔτυχες.

12. Μὴ οὖν πρὸς ὀλίγον ἐνδείξῃ ταπείνωσιν καὶ σιωπήν, εἶτα, μετὰ βραχύ, προπέτειαν καὶ ἀναισχυντίαν, ἢ ὀκνηρίαν πρὸς τὴν λειτουργίαν καὶ ἀγρυπνίαν. Μὴ σήμερον εὐχαριστήσῃς ὑπὲρ τῶν παρατιθεμένων τῇ τραπέζῃ, καὶ αὔριον γογγύσῃς κατὰ τοῦ μαγείρου ἢ τοῦ τραπεζοποιοῦ.

13. Μνήσθητι τοῦ Προφήτου λέγοντος· «σποδὸν ὡσεὶ ἄρτον ἔφαγον» καὶ τοῦ ὄξους καὶ τῆς χολῆς ὧν ἐγεύσατο δι' ἡμᾶς ὁ Δεσπότης· καὶ εὐχαρίστως μεταλάμβανε τῶν παρακειμένων, οἷα ἂν εἰσι.

14. Καὶ συντόμως εἰπεῖν, μὴ νῦν εἰσδεχθείς, ἐγκράτειαν καὶ εὐλάβειαν καὶ πᾶσαν ἄλλην ἀρετὴν ἐπιδείξῃ, καὶ μετὰ τοῦτο εἰς ἀκρασίαν καὶ ἀδιαφορίαν ἐκδῷς, μήποτε βαρεῖαν ἐπισπάσῃ κατὰ σοῦ τὴν ἀγανάκτησιν, ὡς καὶ μετὰ τὴν συγχώρησιν τοῦ Εὐεργέτου καταφρονήσας, καὶ ὡς σεσηπὸς μέλος καὶ νοσοῦν ἀνίατα τοῦ λοιποῦ σώματος ἐκκοπῇς καὶ τοῦ λοιποῦ οὐχ εὑρήσεις τόπον μετανοίας ἢ διορθώσεως, ὡς ὁ Κύριος εἶπεν· «ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον σοί τι γένηται».

15. Ἐν φόβῳ Θεοῦ κατεργάζου ἀεὶ τὴν σεαυτοῦ σωτηρίαν, ἵνα τὴν προτέραν ἧτταν ἀνακαλέσασθαι δυνηθῇς, καὶ ἀξιωθῇς τῆς χαρᾶς τοῦ Κυρίου σου, μετὰ πάντων τῶν εὐαρεστησάντων Αὐτῷ.

16. Ἐὰν πολεμηθεὶς ἀδελφὸς φύγῃ ἐκ τοῦ Μοναστηρίου, καὶ ἐξέλθῃς εἰς ἐπιζήτησιν αὐτοῦ, εὑρών, εἰρηνικῶς ἀποκρίθητι αὐτῷ, ἵνα μὴ προσθῇς ἄλγος ἐπὶ τῷ ἄλγει αὐτοῦ, «σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρασθῇς».

Ἑρμηνεία

ΕΑΝ ἕνας ἀδελφὸς φύγῃ ἐκ τοῦ Κοινοβίου, ὑπὸ οἱανδήποτε πρόφασιν, καὶ ἀρρωστήσῃ ἢ καὶ ἐπιστρέψῃ μετανοημένος, δὲν πρέπει νὰ τὸν καταφρονήσῃς καὶ νὰ ἀδιαφορήσῃς, ἀλλὰ νὰ τὸν δεχθῇς μὲ στοργὴν καὶ ἀγάπην, θεωρῶν αὐτὸν ὡς μέλος τοῦ σώματός σου. Διότι καὶ ἐὰν ἀκόμη ἔσφαλεν ἀπομακρυνθεὶς καὶ ἐγκαταλείψας τὸ Κοινόβιον, σὺ ὅμως νὰ τὸν εὐσπλαγχνισθῇς, χάριν τοῦ Κυρίου, ποὺ εἶπε· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» (Ματθ. κε' 40).

2. Τὸ νὰ φροντίζωμεν μόνον διὰ τὸν ἑαυτόν μας ἔχει ἀπαγορευθῆ ἀπὸ τὸν Σωτῆρα, ὅστις διεκήρυξε· «μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε καὶ τὶ πίητε» καὶ τὰ ἑπόμενα τῆς Κυριακῆς συστάσεως (Ματθ. ς' 25). Τὰ ἴδια παραγγέλλει καὶ ὁ Ἀπόστολος Παῦλος μὲ τοὺς λόγους του· «μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων» (Φιλιπ. β' 4)· εἶναι γνωστὸν δέ, ὅτι ὁ Ἀπόστολος Παῦλος ἐτοποθέτησε τὴν ἀγάπην ὑπεράνω ὅλων τῶν ἄλλων χαρισμάτων καὶ κατορθωμάτων (Α' Κορ. ιγ' 1—13 καὶ ἀλλαχοῦ).

3. Διότι εἶναι μὲν καλὴ ἡ προσευχὴ μαζὶ μὲ τὴν νηστείαν, ταύτην ὅμως ἐπισφραγίζει ἡ ἐλεημοσύνη, συμφώνως καὶ πρὸς τὴν θείαν ἐπιθυμίαν· «ἔλεον θέλω καὶ οὐ θυσίαν» (Ματθ. θ' 13, ιβ' 7, Ὠσηὲ ς' 6).

4. Πρόσεξε δὲ νὰ ἴδῃς πῶς καὶ ὁ Προφήτης ἐλέγχει τοὺς ἀνελεήμονας καὶ ἀσπλάγχνους· ἰδοὺ τί λέγει· «ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι» (Ψαλμ. ρη' 16). Εἰς ἄλλο πάλιν σημεῖον λέγει· «ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν» (Ψαλμ. ξη' 27).

5. Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Σωτὴρ μᾶς συμβουλεύει καὶ μᾶς διατάσσει νὰ εἴμεθα οἰκτίρμονες· «Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστὶ» (Λουκ. ς' 36). Εἰς ἄλλο ἐπίσης σημεῖον τοῦ Ἱεροῦ Εὐαγγελίου μακαρίζει τοὺς ἐλεήμονας. «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται» (Ματθ. ε' 7). Ἐπίσης μᾶς ἐπέτρεψεν, ὁσάκις προσευχόμεθα πρὸς τὸν Ἐπουράνιον Πατέρα, νὰ λέγωμεν· «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν» (Ματθ. ς' 12).

6. Δέξου λοιπὸν καὶ σὺ αὐτὸν ποὺ ἐπλανήθη καὶ μετενόησε, ἐὰν πράγματι ἐπιδεικνύῃ καθαρὰν καὶ γνησίαν τὴν μετάνοιαν, προσέχων αὐτὰ ποὺ συμβουλεύει ὁ Ἀπόστολος λέγων· «Ὥστε τώρα ἀπαιτεῖται ἡ ἀντίθετος πρὸς τὴν ἐπίπληξιν συμπεριφορά. Πρέπει τώρα νὰ τοῦ δώσετε σεῖς χάριν, νὰ τὸν συγχωρήσητε καὶ νὰ τὸν παρηγορήσετε, μήπως, ἕνεκα τῆς ὑπερβολικῆς λύπης οὗτος ἀπελπισθῇ καὶ τὸν καταπίῃ ὁ διάβολος. Δι' αὐτὸ σᾶς παρακαλῶ νὰ δείξετε εἰς αὐτὸν ἀγαπην» (Β' Κορ. β' 7—8).

7. Εἰς ἄλλο πάλιν σημεῖον λέγει· «Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας» (Α' Θεσ. ε' 14—15).

8. Καὶ αὐτὸς ἀκόμη ὁ Κύριος τῆς δόξης δὲν ἔδιωξε τὸν ἄσωτον υἱόν, ὅταν ἐπέστρεψεν, ἀλλὰ τὸν ἐδέχθη, ὡς νὰ εἶχεν ἀναστηθῆ ἐκ νεκρῶν, καὶ τὸν ἐνέδυσε μὲ τὴν προηγουμένην λαμπρὰν στολήν, καὶ τοῦ ἔδωσε νὰ φορέσῃ ὑποδήματα, καὶ τοῦ ἐχάρισε δακτυλίδι, καὶ χάριν αὐτοῦ, τοῦ ἐπιστρέψαντος ἀσώτου, ἐθυσίασε τὸν σιτευτὸν μόσχον, διὰ νὰ διασκεδάσουν καὶ νὰ χαροῦν διὰ τὴν ἀνεύρεσιν τοῦ χαμένου υἱοῦ (Λουκ. ιε' 11—24).

9. Ὅταν δὲ ὁ ἄλλος υἱὸς ἐλυπήθη διὰ τὰς ἐκδηλώσεις αὐτάς, τὸν ἐθεράπευσε παρηγορῶν μὲ τὰς λέξεις· «τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη» (Λουκ. ιε' 31—32).

10. Καὶ σὺ πάλιν, ἀδελφέ μου, ποὺ ἔτυχες συγγνώμης καὶ εὐσπλαγχνίας, νὰ μὴ καταφρονῇς, ἀλλὰ νὰ μιμῆσαι καὶ σὺ αὐτὸν τὸν υἱόν, ποὺ ἐπέστρεψεν εἰς τὸν πατέρα του καὶ μετενόησε, καὶ νὰ προσπέσῃς καὶ σὺ εἰς τὸν πατέρα Σου καὶ μὲ ταπείνωσιν νὰ ἐξομολογηθῇς εἰλικρινῶς τὸ ἁμάρτημά σου καὶ νὰ εἴπῃς, χωρὶς ὑποκρισίαν· «Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν Σου, οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός Σου· ποίησον με ὡς ἕνα τῶν μισθίων Σου» (Λουκ. ιε' 18 - 19).

11. Μὲ τόσην θέρμην καὶ κατάνυξιν νὰ προσπέσῃς πρὸς αὐτόν, καὶ ἀφοῦ τύχῃς συγγνώμης, νὰ ἐπαγρυπνῇς εἰς τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς σου, νὰ δουλεύῃς τὸν Κύριον μὲ φόβον καὶ ταπεινοφροσύνην ὅλας τὰς ἡμέρας τῆς ζωῆς σου, ἐνθυμούμενος πάντοτε τὴν μεγάλην εὐεργεσίαν, τῆς ὁποίας ἔτυχες.

12. Πρόσεχε ἀκόμη νὰ μὴ ἐπιδείξῃς, δι' ὀλίγον μόνον χρόνον ταπείνωσιν καὶ σιωπήν, καὶ μετὰ ἀμέσως, αὐθάδειαν, ἀδιαντροπιὰν ἢ ὀκνηρίαν διὰ τὴν λειτουργίαν καὶ τὴν ἀγρυπνίαν. Μὴ εὐχαριστήσῃς μόνον σήμερον διὰ τὰ παρατεθέντα εἰς τὴν τράπεζαν φαγητά, καὶ αὔριον, ἐὰν δὲν εἶναι τῆς ἀρεσκείας σου, νὰ γογγύσῃς κατὰ τοῦ μαγείρου ἢ τοῦ τραπεζάρη.

13. Νὰ ἐνθυμῆσαι τὸν Προφήτην, ποὺ λέγει· «σποδὸν (στάκτην) ὡσεὶ ἄρτον ἔφαγον» (Ψαλμ. ρα' 10) · ὅπως ἐπίσης καὶ τὸ ὄξος καὶ τὴν χολήν, ποὺ ἐγεύθη, χάριν τῆς σωτηρίας μας, ὁ Δεσπότης Χριστός. Σκεπτόμενος ὅλα αὐτὰ νὰ τρώγῃς εὐχάριστα ὅ,τιδήποτε σοῦ προσφέρουν εἰς τὴν τράπεζαν.

14. Καὶ διὰ νὰ τελειώνω· ὅταν σὲ δεχθοῦν πάλιν μέσα εἰς τὸ Κοινόβιον, νὰ μὴ ἐπιδείξῃς, χάριν ἐμφανίσεως, προσωρινὴν ἐγκράτειαν, εὐλάβειαν, καὶ διαφόρους ἄλλας ἀρετάς, καὶ ὕστερον νὰ ἀφήσῃς τὸν

ἑαυτόν σου ἐλεύθερον εἰς τὴν ἀδιαφορίαν, καὶ τὴν ἀκράτειαν, μὴ τυχόν, τοιουτοτρόπως, ἐπισύρῃς κατὰ σοῦ τὴν ἀγανάκτησιν, ἐπειδὴ κατεφρόνησες τὸν εὐεργέτην σου, μετὰ τὴν συγχώρησιν, καὶ οὕτω ἀποκοπῇς τοῦ ὑπολοίπου σώματος ὁριστικῶς, ὡς σάπιο μέλος καὶ ὡς ἀθεράπευτα ἄρρωστος. Τότε πλέον δὲν θὰ δυνηθῇς νὰ εὕρῃς μέρος διὰ νὰ μετανοήσῃς καὶ νὰ διορθωθῇς, ὅπως εἶπε καὶ ὁ Κύριος· «ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον σοί τι γένηται» (Ἰωάν. ε΄ 14). Εἶναι ὡσὰν νὰ τοῦ εἶπε δηλαδή· «Ἰδού· τώρα ἔχεις γίνει καλά· πρόσεξε λοιπὸν νὰ μὴ ἁμαρτήσῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ τίποτε χειρότερον ἀπὸ τὴν ἀσθένειαν ποὺ εἶχες. Ἔχε ὑπ' ὄψιν σου ὅτι ἡ ἀσθένεια ἐκείνη σοῦ συνέβη ἀπὸ τὰς ἁμαρτίας σου· ἐὰν λοιπὸν ἐπιστρέψῃς καὶ πάλιν εἰς τὰ ἴδια ἁμαρτήματα, εἶναι ἐνδεχόμενον καὶ τὴν ὑγείαν τοῦ σώματος νὰ καταστρέψῃς καὶ τὴν ψυχήν σου νὰ χάσῃς».

15. Μὲ φόβον Θεοῦ πάντοτε νὰ φροντίζῃς καὶ νὰ ἀπεργάζεσαι τὴν σωτηρίαν σου, διὰ νὰ ἠμπορέσῃς νὰ διορθώσῃς τὴν προηγουμένην σου ἧτταν καὶ νὰ ἀξιωθῇς νὰ ἀπολαύσῃς τὴν χαρὰν τοῦ Κυρίου σου, μαζὶ μὲ ὅλους ποὺ τὸν εὐηρέστησαν.

16. Ἐὰν ἕνας ἀδελφὸς φύγῃ ἀπὸ τὸ Μοναστήρι, ἐξ αἰτίας πολέμου ψυχικοῦ, καὶ ἐξέλθῃς νὰ τὸν ἀναζητήσῃς, πρόσεξε, ὅταν τὸν εὕρῃς, νὰ τοῦ ὁμιλήσῃς εἰρηνικά, διὰ νὰ μὴ προσθέσῃς πόνον ἐπάνω εἰς τὸν πόνον του· «Πρόσεχε δὲ τὸν ἑαυτόν σου, νὰ μὴ περιπέσῃς καὶ σὺ εἰς πειρασμὸν» (Γαλ. ς΄ 1). Νὰ μὴ παρασυρθῇς δηλαδὴ ἀπὸ τὴν λύπην καὶ τὴν ἀνυπομονησίαν καὶ περιπέσῃς καὶ σὺ εἰς τὸ αὐτὸ ἢ καὶ εἰς ἄλλα ἁμαρτήματα.

Γ΄. Ἐν τῷ Γεροντικῷ.

ΓΕΡΩΝ τις εἶχε μαθητὰς δώδεκα· συνέβη οὖν ἀπὸ πειρασμοῦ τοῦ διαβόλου ἕνα ἐξ αὐτῶν ἀπελθόντα εἰς κώμην διά τινα χρείαν πεσεῖν εἰς πορνείαν· ἔκτοτε συνήθειαν λαβὼν τοῦ κακοῦ, ἀπῄει πολλάκις λάθρα μετὰ τὴν ὀρθρινὴν δοξολογίαν εἰς τὴν κώμην καὶ ὑπέστρεφε πρωΐας ἔτι οὔσης.

2. Ἐγνώσθη οὖν τοῖς λοιποῖς ἀδελφοῖς, ὃ ἐποίει· εἶτα καὶ αὐτῷ τῷ Ἀββᾷ, καὶ οὐκ ἤλεγξεν αὐτὸν εὐθύς, ἀλλὰ ἀφῆκεν οὕτως ἐπὶ καιρόν, προσποιησάμενος τοῦ πράγματος παντελῆ ἄγνοιαν.

3 Εἶτα τῶν ἄλλων ἀδελφῶν καταχραζόντων ἐκείνου τοῦ ἀδελφοῦ, καὶ τὴν τοῦ Ἡγουμένου σιωπὴν αἰτιωμένων, ὡς ἄκαιρον, ἐν μιᾷ ἀπέρχεται ὁ Ἀββᾶς εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ πρωΐ· ἔτυχε δὲ κἀκεῖνον ἐκ τῆς κώμης ἐπανελθεῖν, εἰς ἥν, ὡς εἶπον, διὰ τὴν αἰσχρουργίαν λάθρα ἀπήρχετο.

4. Τότε οὖν ὑποστρέψαι σπουδάζων, τὸ μαφόριον τῆς γυναικὸς ἀντὶ τοῦ ἰδίου μανδύου περιεβάλετο· ὃ καὶ ἐν τῇ ἑαυτοῦ κέλλῃ πρὸς τῇ γωνίᾳ τοῦ τοίχου μετὰ τὸ ὑποστρέψαι ἐκρέμασε, μὴ περιεργασάμενος, ἢ καταμαθὼν τί ἐστιν· ἤδη γὰρ καὶ τὸν προεστῶτα αἰσθόμενος ἐρχόμενον πρὸς αὐτόν, ὅλον ἑαυτὸν ἀπησχόλει πρὸς τὴν ἐκείνου ὑπάντησιν, καὶ τί αὐτῷ ἀπολογίσηται ἐπὶ νοῦν ἔστρεφεν.

5. Ὡς οὖν εἰσελθὼν ὁ Ἀββᾶς εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ, τὸ μαφόριον τῆς γυναικὸς κρεμάμενον ἐθεάσατο, ἐσιώπησε μὲν τέως περὶ αὐτοῦ, εἶπε δὲ πρὸς

τὸν ἀδελφόν· ποῦ ἦς, ἀδελφέ; Ὁ δὲ ἐπλάσατο λέγων· εἰς τόν δε τὸν τόπον ἀπῆλθον δι' ἀπόκρισιν. Ἔφη δὲ ὁ Ἀββᾶς· οὐκ ἀπῆλθες οὖν εἰς τὴν κώμην; Ἔφησεν ἐκεῖνος· οὔ, Δέσποτα.

6. Τότε λέγει αὐτῷ ὁ Ἀββᾶς· καὶ τίνος τὸ μαφόριον τοῦτο τὸ κρεμάμενον; Ὡς δὲ τοῦτο ἰδὼν ὁ ἀδελφὸς ἔγνω ὅτι τῆς γυναικός ἐστι, ῥίπτει ἑαυτὸν εὐθὺς χαμαὶ εἰς τοὺς πόδας τοῦ Ἀββᾶ λέγων· συγχώρησόν μοι, καὶ οὐκέτι τοῦτο ποιῶ.

7. Ὁ δὲ συνεχώρησε, καὶ ἀναστήσας αὐτόν, παρεκάλεσε λέγων· πρόσεχε σεαυτῷ, τέκνον, τοῦ λοιποῦ. Τί γὰρ κερδαίνεις ἐκ τῆς ἀκαθαρσίας ἐκείνης; εἰμὴ ἐνταῦθα μέν παρὰ τοῖς ἀνθρώποις, αἰσχύνην καὶ ὄνειδος, ἐν δὲ τῷ μέλλοντι αἰῶνι, πῦρ ἄσβεστον, καὶ σκώληκα ἀκοίμητον; Μὴ παρακαλῶ, τέκνον, μηκέτι τῇ σαπρᾷ ταύτῃ καὶ βδελυρᾷ ἐγκυλισθῇς πράξει.

8. Ὁ δὲ ἀδελφός, σφόδρα κατανυγείς, αὖθις τοῖς ποσὶ τοῦ Γέροντος προσπεσών, ἱκανῶς αὐτοὺς τοῖς δάκρυσιν ἔλουσε, τὴν παρὰ Θεοῦ συγχώρησιν θερμῶς ἐξαιτούμενος.

9. Ἔκτοτε, οὐ μόνον τῆς αἰσχρᾶς ἐκείνης ἐπαύσατο πράξεως, ἀλλὰ καὶ τοιαύτην θερμὴν μετάνοιαν ἐπεδείξατο, ὥς καὶ τῷ Θεῷ εὐαρεστῆσαι διὰ τῆς καλῆς αὐτοῦ ἐργασίας, καὶ γενέσθαι δοκιμώτατος Μοναχὸς ἐν οὐ μακρῷ χρόνῳ, ὥστε καὶ τοὺς λοιποὺς ἀδελφοὺς θεωροῦντας αὐτοῦ τὴν μετάνοιαν καὶ κατὰ Θεὸν προκοπήν εὐχαριστεῖν τῷ Θεῷ.

10. Ποτὲ δὲ προσελθόντες τῷ Ἀββᾷ ἠρώτων αὐτὸν εἰπεῖν αὐτοῖς, τίνος χάριν οὐκ ἤλεγχε τὸν ἀδελφὸν οὕτως ἁμαρτάνοντα ἐπιστάμενος, ἀλλ' ἐμακροθύμει μέχρι καιροῦ;

11. Καὶ ἀποκριθεὶς ὁ Γέρων, εἶπεν αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν τὴν μίαν τοῦ ἀδελφοῦ χεῖρα κατέχοντα, καὶ ἕλκοντα εἰς τὸν κόσμον· κἀγὼ διὰ τῆς μακροθυμίας, τὴν ἑτέραν αὐτοῦ χεῖρα ἐκράτουν, ἵνα μὴ ἐλεγχθεὶς ἀποδράμῃ εὐθὺς εἰς τὸν κόσμον, ἔνθα αὐτὸν ὁ διάβολος ἔσυρεν. Ὅτε δὲ ηὐδόκησεν ὁ Θεὸς σῶσαι τὸ ἴδιον πλάσμα, ἰδοὺ ἔχομεν καὶ τὴν ἄλλην αὐτοῦ χεῖρα, καὶ ὅλον αὐτὸν σῳζόμενον.

Τοῦ Πατρός, ἤγουν τοῦ Εὐεργετινοῦ.

α' Καλὴ οὖν ἡ μακροθυμία μετὰ εὐχῆς, ὁ συγγραφεὺς ἐπιφέρει, ὅταν ἐνδεικνύμεθα ταύτην εἰς ἀδελφὸν πειρασθέντα ὑπὸ τοῦ κοινοῦ πολεμίου, καὶ εἰς ἀπόγνωσιν καταπίπτοντα· πολλάκις γὰρ παρακληθεὶς ὁ Θεός, καὶ οἰκτείρας τὸ ἑαυτοῦ πλάσμα, διορθοῦται τὸν σφαλέντα καὶ διανίστησιν ἐκ τοῦ πτώματος.

β' Ἡ δὲ ἀποτομία καὶ ὁ ἔλεγχος, ἐν οὐ καιρῷ γινόμενοι, ἐπιτρίβειν μᾶλλον, οὐ θεραπεύειν τὰ τῶν πεσόντων πεφύκασι τραύματα.

12. Ἀδελφῷ ποτε συνέβη πειρασμός, ἤγουν ὄλισθος ἁμαρτίας εἰς τὸ Κοινόβιον τοῦ Ἀββᾶ Ἠλία καὶ διωχθεὶς ἐκεῖθεν, ἀπῆλθε πρὸς τὸν Ἀββᾶν Ἀντώνιον εἰς τὸ ὄρος, καὶ ἔμεινε πρὸς αὐτὸν χρόνον τινά.

13. Εἶτα ἀπέστειλεν αὐτὸν ὁ Ἀββᾶς Ἀντώνιος εἰς τὸ Κοινόβιον, ὅθεν ἐξῆλθεν· οἱ δὲ ἐν τῷ Κοινοβίῳ οὐκ ἐδέξαντο αὐτόν, καὶ ἀνακάμψας πρὸς τὸν Ἀββᾶν Ἀντώνιον, ἀνήγγειλεν αὐτῷ λέγων· οὐκ ἠθέλησάν με δέξασθαι, Πάτερ.

14. Ὁ δὲ ἀποστείλας σὺν αὐτῷ ἀδελφόν, ἐδήλωσεν αὐτοῖς τάδε· πλοῖον ἐναυάγησεν ἐν τῷ πελάγει, καὶ ἀπώλεσε τὸν γόμον, καὶ μετὰ καμάτου ἐσώθη εἰς τὴν γῆν· ὑμεῖς δὲ τὸ διασωθὲν θέλετε καταποντίσαι;

15. Οἱ δὲ μαθόντες ὅτι ὁ Ἀββᾶς Ἀντώνιος ἀπέστειλεν αὐτόν, εὐθέως ἐδέξαντο τὸν ἀδελφόν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶχε δώδεκα μαθητάς. Κάποτε λοιπὸν ἕνας ἐξ αὐτῶν μετέβη εἰς ἕνα χωρίον, διὰ μίαν ὑπόθεσιν τῆς ἀδελφότητος· ἐκεῖ, ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ, ἔπεσεν εἰς πορνείαν. Ἀπὸ τότε συνήθισε πλέον εἰς τὴν ἁμαρτίαν καὶ μετέβαινε, κρυφίως, μετὰ τὴν δοξολογίαν τοῦ ὄρθρου, εἰς τὸ χωρίον, ἀπ' ὅπου ἐπέστρεφε τὸ πρωΐ.

2. Αὐτὴν τὴν αἰσχρὰν συνήθειαν ἀντελήφθησαν καὶ οἱ ἀδελφοὶ καὶ ὁ Ἀββᾶς, ὅστις ἐν τούτοις δὲν τὸν ἤλεγξεν ἀμέσως, ἀλλὰ προσεποιήθη, ὅτι ἀγνοεῖ τὴν ὑπόθεσιν.

3. Ὕστερον ὅμως οἱ ἀδελφοὶ ἤρχισαν πλέον νὰ κατηγοροῦν ἐμφανῶς τὸν ἁμαρτάνοντα ἀδελφὸν καὶ νὰ θεωροῦν ὡς αἰτίαν τῆς ἁμαρτωλῆς συνηθείας τὴν σιωπὴν τοῦ Ἡγουμένου, τὴν ὁποίαν ἐχαρακτήριζον, εἰς τὴν περίπτωσιν αὐτήν, τελείως ἄσκοπον καὶ ἐπιζήμιον. Μίαν ἡμέραν λοιπὸν ὁ Ἀββᾶς μεταβαίνει πρωΐ—πρωΐ εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ· μόλις εἶχεν ἐπιστρέψει εἰς τὸ κελλὶ καὶ ὁ ἐν λόγῳ ἀδελφὸς ἀπὸ τὸ χωρίον, εἰς τὸ ὁποῖον, ὅπως εἶπον, μετέβαινε διὰ τὴν αἰσχρὰν πρᾶξιν.

4. Ὁ Μοναχὸς ὅμως, ἐν τῇ σπουδῇ του νὰ ἐπιστρέψῃ γρήγορα εἰς τὸ κελλίον του, διὰ νὰ μὴ γίνῃ ἀντιληπτός, ἔρριψεν ἐπάνω του τὸ ἐπανωφόρι τῆς γυναικός, ἀντὶ τοῦ ράσου του. Ἀφῃρημένος δέ, ὅπως ἦτο ἀπὸ τὴν ἁμαρτίαν, μετὰ τὴν ἐπιστροφήν του εἰς τὸ κελλίον ἐκρέμασεν εἰς μίαν γωνίαν τοῦ κελλίου τὸ γυναικεῖον αὐτὸ ἐπανωφόρι, χωρὶς νὰ τὸ περιεργασθῇ ἢ νὰ προσέξῃ τί ἦτο, διότι μάλιστα ἐκείνην τὴν στιγμὴν ἀντελήφθη ἐρχόμενον τὸν προεστῶτα, καὶ ἀπησχολεῖτο ἐξ ὁλοκλήρου μὲ τὴν συνάντησίν του σκεπτόμενος τί νὰ ἀπολογηθῇ.

5. Εἰς αὐτὴν λοιπὸν τὴν κατάστασιν εὑρισκόμενον, τὸν ἐπεσκέφθη ὁ Ἀββᾶς, ὅστις μόλις εἰσῆλθεν, εἶδε τὸ κρεμασμένον γυναικεῖον ἐπανωφόριον· δὲν εἶπεν ὅμως τίποτε ἀμέσως περὶ αὐτοῦ, ἀλλ' ἠρώτησε, δῆθεν ἀδιαφόρως, τὸν ἀδελφόν:

—Ποῦ ἦσουν, ἀδελφέ μου;

—Ἐπῆγα εἰς τὸ τάδε μέρος—ἀπήντησε ψευδόμενος ἐκεῖνος—διὰ κάποιαν ἐργασίαν.

—Δὲν ἐπῆγες εἰς τὸ χωρίον;—ἠρώτησε πάλιν ὁ Ἀββᾶς.

—Ὄχι, Δέσποτα—ἀπήντησεν ὁ ἀδελφός.

6. Τότε ὁ Ἡγούμενος ἐρωτᾷ μὲ ἠρεμίαν.

—Καὶ αὐτὸ τὸ ἐπανωφόριον τίνος εἶναι;

Μόλις ὁ ἀδελφὸς ἀντελήφθη, ὅτι τὸ ἐπανωφόρι εἶναι γυναικεῖον, ἀμέσως ρίπτεται πρὸ τῶν ποδῶν τοῦ Ἀββᾶ καὶ τοῦ λέγει:

—Συγχώρεσέ με, Πάτερ μου, δὲν τὸ ξανακάμνω.

7. Τότε ὁ Ἀββᾶς τὸν συνεχώρησε, τὸν ἐσήκωσεν ἀπὸ κάτω καὶ μὲ γλυκύτητα τὸν παρηγορεῖ καὶ τοῦ λέγει:

—Τέκνον μου, πρόσεχε τοὐλάχιστον εἰς τὸ ἑξῆς νὰ μὴ ἁμαρτήσῃς, διότι τί κερδίζεις ἀπὸ τὴν ἀκαθαρσίαν αὐτήν; Καὶ εἰς αὐτὸν ἐδῶ

τὸν κόσμον θὰ δοκιμάζῃς περιφρόνησιν καὶ ἐντροπὴν ἐκ τῶν ἀνθρώπων, ἀλλὰ καὶ κατὰ τὸν μέλλοντα αἰῶνα θὰ κληρονομήσῃς τὸ ἄσβεστον πῦρ καὶ τὸν ἀκοίμητον σκώληκα. Σὲ παρακαλῶ λοιπόν, τέκνον μου, ποτὲ πλέον νὰ μὴ ξανακάμῃς αὐτὴν τὴν σιχαμερὰν καὶ αἰσχρὰν πρᾶξιν.

8. Ὁ ἁμαρτήσας ἀδελφὸς κατενύγη ἀπὸ τοὺς λόγους αὐτοὺς καὶ πίπτει πάλιν πρὸ τῶν ποδῶν τοῦ Γέροντος, βρέχων αὐτοὺς μὲ πολλὰ δάκρυα καὶ ζητῶν ὁλοψύχως νὰ τὸν συγχωρήσῃ ὁ Θεός.

9. Ἀπὸ τότε ὄχι μόνον ἔπαυσε τὴν αἰσχρὰν ἐκείνην πρᾶξιν τῆς ἁμαρτίας, ἀλλὰ καὶ τόσον θερμὴν μετάνοιαν ἐπέδειξεν, ὥστε εὐηρέστησε τὸν Θεὸν μὲ τὴν καλὴν αὐτοῦ πνευματικὴν ἐργασίαν ἀναδειχθείς, ἐντὸς ὀλίγου χρόνου, δοκιμώτατος Μοναχός· οἱ ὑπόλοιποι ἀδελφοὶ βλέποντες τὴν μετάνοιάν του καὶ τὴν κατὰ Θεὸν προκοπήν του, εὐχαριστοῦσαν τὸν Θεὸν διὰ τὴν μεταστροφήν του αὐτήν.

10. Κάποτε δέ, μετὰ τὴν μεταστροφὴν αὐτήν, προσῆλθον οἱ ὑπόλοιποι μαθηταὶ πρὸς τὸν Ἀββᾶν καὶ τὸν παρεκάλουν νὰ τοὺς εἰπῇ, διατὶ δὲν ἤλεγχε τὸν ἁμαρτήσαντα ἀδελφὸν καίτοι ἐγνώριζε πολὺ καλά, ὅτι ἡμάρτανεν, ἀλλὰ ἐμακροθυμοῦσε τόσον καιρόν;

11. Καὶ ὁ Γέρων εἰς ἀπάντησιν τοὺς εἶπε:

—Ἔβλεπα τὸν σατανᾶν νὰ τὸν κρατῇ ἀπὸ τὸ ἕνα χέρι καὶ νὰ τὸν σύρῃ πρὸς τὸν κόσμον καὶ ἐγώ, μὲ τὴν μακροθυμίαν, τὸν ἐκρατοῦσα ἀπὸ τὸ ἄλλο χέρι, διὰ νὰ μὴ λιποτακτήσῃ τελείως πρὸς τὸν κόσμον, ἐκεῖ δηλαδὴ ποὺ τὸν ἔσυρεν ὁ διάβολος. Ὅταν δὲ ὁ Θεὸς εὐδόκησε νὰ σώσῃ τὸ πλάσμα Του, ἔχομεν πλέον ἐλεύθερον καὶ τὸ ἄλλο του χέρι ἀπὸ τὸ διάβολον, ἀλλὰ καὶ ὁλόκληρον σωθέντα ἀπὸ τὴν αἰχμαλωσίαν τῆς ἁμαρτίας.

Σχόλιον τοῦ Πατρός, ἤτοι τοῦ ἐρανιστοῦ τοῦ Εὐεργετινοῦ.

α'. Ἡ μακροθυμία λοιπὸν εἶναι καλὴ καὶ ὠφέλιμος, ὅταν συνοδεύεται ἀπὸ προσευχὴν ὑπὲρ πολεμουμένου καὶ ὁσάκις ἐπιδεικνύομεν αὐτὴν πρὸς ἀδελφὸν πειρασθέντα ἀπὸ τὸν κοινὸν ἐχθρὸν καὶ ὑποκείμενον εἰς ἐνδεχομένην ἀπελπισίαν. Διότι ἔχει παρατηρηθῆ, ὅτι πολλὰς φορὰς ἐδυσωπήθη ὁ Θεὸς ἀπὸ παρακλήσεις καὶ ἐλυπήθη τὸ πλάσμα του, τὸ ὁποῖον οὕτω διώρθωσε τὸ σφάλμα του καὶ ἀνεστήθη ἀπὸ τὸ πτῶμα τῆς ἁμαρτίας.

β'. Ἀπ' ἐναντίας ἡ αὐστηρότης καὶ ὁ ἀπότομος ἔλεγχος, ὅταν δὲν γίνωνται εἰς κατάλληλον καιρόν, παροξύνουν περισσότερον τὸν ἔνοχον, παρὰ θεραπεύουν τὰ τραύματα αὐτῶν ποὺ πίπτουν.

12. Εἰς ἕνα ἀδελφὸν συνέβη κάποτε πειρασμός, δηλαδὴ γλίστρημα πρὸς ἁμαρτίαν. Ὁ ἀδελφὸς αὐτὸς διέμενεν εἰς τὸ Κοινόβιον τοῦ Ἀββᾶ Ἠλία καὶ ἐξεδιώχθη ἀπὸ τοὺς ἀδελφούς· ὁ ἐκδιωχθεὶς μετέ-


βη τότε πρὸς τὸν Ἀββᾶν Ἀντώνιον εἰς τὸ ὄρος καὶ ἔμεινε πλησίον του ἐπί τινα χρόνον.

13. Μετὰ ταῦτα ὁ Ἀββᾶς Ἀντώνιος τὸν ἀπέστειλεν εἰς τὸ Κοινόβιον, ἀπὸ τὸ ὁποῖον ἐξεδιώχθη, ἀλλ᾿ οἱ ἀδελφοὶ δὲν τὸν ἐδέχθησαν· λυπημένος λοιπὸν ἐπέστρεψεν εἰς τὸν Ἀββᾶν Ἀντώνιον καὶ τοῦ εἶπε:

—Πάτερ μου, δὲν ἠθέλησαν νὰ μὲ δεχθοῦν.

14. Ὁ Ἀββᾶς Ἀντώνιος τὸν ἀπέστειλε πάλιν μὲ τὴν συνοδείαν καὶ ἑνὸς ὑποτακτικοῦ του, παραγγείλας πρὸς τοὺς Κοινοβιάτας τὰ ἑξῆς: «Ἕνα πλοῖον ἐκινδύνευε κατὰ τὸ ταξίδιόν του νὰ ναυαγήσῃ εἰς τὸ πέλαγος. Ἐξ αἰτίας τοῦ κινδύνου ἔχασε τὸ φορτίον του καὶ μετὰ κόπου κατέφυγεν εἰς τὸν λιμένα. Σεῖς λοιπὸν τὸ μετὰ τοιούτου κόπου διασωθὲν πλοῖον θέλετε νὰ τὸ καταβυθίσετε»;

15. Ταῦτα οἱ Κοινοβιάται ἀκούσαντες, καὶ πληροφορηθέντες, ὅτι τὸν ἐκδιωχθέντα ἀδελφὸν ἀπέστειλεν ὁ Ἀββᾶς Ἀντώνιος, ἀμέσως τὸν ἐδέχθησαν.



ΥΠΟΘΕΣΙΣ ΜΘ΄

Ὅτι οὐ δεῖ τὸν προεστῶτα τοῖς ὑπ' αὐτὸν ἁμαρτάνουσιν ἐφησυχάζειν, ἀλλ' ἐλέγχειν καὶ ἐπιτιμᾶν καὶ παντὶ τρόπῳ θεραπεύειν.

Ὁ Ἡγούμενος δὲν πρέπει ποτὲ νὰ ἡσυχάζῃ καὶ νὰ ἀδιαφορῇ ὁσάκις ἁμαρτάνουσιν οἱ ὑποτακτικοί του, ἀλλὰ νὰ τοὺς ἐλέγχῃ, νὰ τοὺς ἐπιτιμᾷ καὶ μὲ κάθε τρόπον νὰ τοὺς διορθώνῃ.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΠΑΡΕΒΑΛΕ ποτε ὁ Ἀββᾶς Μακάριος ὁ Ἀλεξανδρεὺς πρὸς τὸν Ἀββᾶν Παχώμιον τὸν Ταβεννησιώτην· ὁ δὲ Παχώμιος ἠρώτησεν αὐτὸν λέγων, ὅτι εἰσὶν ὑπ' ἐμὲ ἀδελφοὶ ἄτακτοι· τί οὖν, παιδεύσω αὐτούς;

2. Ἔφη αὐτῷ ὁ Ἀββᾶς Μακάριος· παίδευσον, καὶ κρῖνον δικαίως τοὺς ὑπὸ σέ· τινὰ δὲ τῶν ἔξω μὴ κρίνῃς· γέγραπται γάρ· «οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει».

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Μακάριος ὁ Ἀλεξανδρεὺς ἐπεσκέφθη τὸν Ἀββᾶν Παχώμιον τὸν Ταβεννησιώτην. Ὁ Ἀββᾶς Παχώμιος, ἐπ' εὐκαιρίᾳ, ἠρώτησεν:


—Εἰς τὴν συνοδείαν μου εὑρίσκονται μερικοὶ ἀδελφοὶ ἄτακτοι· τί μὲ συμβουλεύεις νὰ κάμω; Νὰ τοὺς τιμωρήσω;

2. Ὁ Ἀββᾶς Μακάριος τοῦ ἀπήντησε:

—Νὰ τιμωρῇς καὶ νὰ κρίνῃς δίκαια τοὺς ὑποτακτικούς σου. Νὰ προσέχῃς ὅμως νὰ μὴ κρίνῃς κανένα, ὁ ὁποῖος δὲν ἀνήκει εἰς τὴν συνοδείαν σου. Διότι πρέπει νὰ ἐφαρμόζῃς τὴν ἐντολὴν τοῦ θείου Παύλου, ὅστις ἔγραψε πρὸς Κορινθίους· «δὲν κρίνετε σεῖς τοὺς ἐντὸς τῆς Ἐκκλησίας; (ἔτσι καὶ ἐγὼ κρίνω τοὺς πιστούς), τοὺς δὲ ἐκτὸς τῆς Ἐκκλησίας (τοὺς ἀπίστους) τοὺς κρίνει ὁ Θεός» (Α΄ Κορ. ε΄ 12—13).

Β΄. Τοῦ Ἁγίου Ἐφραίμ.

ΤΟΙΣ ἀτάκτοις τῶν ἀδελφῶν καὶ ἀμελέσιν οὐ δεῖ ἐφησυχάζειν τὴν βακτηρίαν τοῦ προεστῶτος· οἱ γὰρ μὴ βουλόμενοι τῷ θείῳ φόβῳ χαλινοῦν τὴν ἑαυτῶν καρδίαν, δι' αὐτῆς τῶν ἀνωφελῶν ἀπόσχονται, ὃν τρόπον δοῦλος σωφρονεῖ δι' αὐστηρίαν δεσπότου.


Ο ἈΒΒΑϹ ΜΑΚΑΡΙΟϹ
ὁ Ἀλεξανδρεύς

Ἑρμηνεία

Η ΡΑΒΔΟΣ τοῦ Ἡγουμένου δὲν πρέπει ποτὲ νὰ ἡσυχάζῃ, ἀλλὰ νὰ κινῆται κατὰ τῶν ἀτάκτων καὶ ἀμελῶν ἀδελφῶν· διότι ὅσοι δὲν θέλουν νὰ χαλιναγωγήσουν τὴν καρδίαν των μὲ τὸν φόβον τοῦ Θεοῦ, μόνον μὲ τὴν ἀπειλὴν τῆς τιμωρίας θὰ ἀπομακρυνθοῦν ἀπὸ τὰ ἀνωφελῆ καὶ ἐπιβλαβῆ, ὅπως ἀκριβῶς, δηλαδή, καὶ ἕνας δοῦλος σωφρονίζεται μὲ τὴν αὐστηρότητα τοῦ κυρίου του.

Γ΄. Τοῦ Ἀββᾶ Μάρκου.

Ο ΥΠΟΤΑΚΤΙΚΩ ὅπου οὐ δεῖ ἀντιλέγοντι παραχωρῶν, πλανᾷ αὐτὸν ἐν ἐκείνῳ τῷ πράγματι, καὶ τὰς συνθήκας τῆς ὑποταγῆς ἀθετεῖν παρασκευάζει.

2. Μὴ γίνου δίγλωσσος, ἑτέρως μὲν τῷ λόγῳ, ἑτέρως δὲ τῇ συνειδήσει διακείμενος· τὸν γὰρ τοιοῦτον ἡ Γραφὴ ὑπὸ κατάραν ἵστησι.

3. Ἔστιν ὁ ἀλήθειαν λέγων καὶ ὑπὸ ἀφρόνων μισούμενος, καὶ ἔστιν ὁ ὑποκρινόμενος, καὶ διὰ τοῦτο ἀγαπώμενος· ὅμως, οὐδὲν ἕτερον τῶν ἀνταποδόσεων τούτων πολυχρόνιον γίνεται, διότι ὁ Κύριος ἐν ἰδίῳ καιρῷ, ἑκάστῳ τὸ δέον ἀνταποδίδωσιν.

Ἑρμηνεία

Ο ΗΓΟΥΜΕΝΟΣ, ποὺ ἀφήνει τὸν ὑποτακτικόν του νὰ ἀντιλέγῃ ἐκεῖ ποὺ δὲν πρέπει καὶ νὰ κάμνῃ τὸ θέλημά του, τὸν πλανᾷ εἰς ἐκεῖνο τὸ ζήτημα, ἀλλὰ καὶ τὸν προετοιμάζει εἰς τὸ νὰ συνηθίσῃ νὰ παραβαίνῃ τοὺς ὅρους τῆς ὑπακοῆς, τὴν ὁποίαν ἔχει ὑποσχεθῆ νὰ φυλάττῃ.

2. Νὰ μὴ γίνεσαι δίγλωσσος, ἄλλα νὰ λέγῃς μὲ τὸ στόμα καὶ ἄλλα νὰ ἔχῃς εἰς τὴν συνείδησίν σου· διότι τὸν τύπον αὐτὸν τὸν θέτει ὑπὸ ἐπιτίμιον καὶ κατάραν ἡ Ἁγία Γραφὴ (Σειρ. κη´ 13, ε´ 14).

3. Ὑπάρχει ὁ ἄνθρωπος ἐκεῖνος, ποὺ λέγει τὴν ἀλήθειαν καὶ μισεῖται ἀπὸ τοὺς ἄφρονας καὶ ἐκεῖνος, ποὺ ὑποκρίνεται καὶ διὰ τοῦτο τὸν ἀγαποῦν (οἱ ἄφρονες). Καμμία ὅμως ἐξ αὐτῶν τῶν περιπτώσεων δὲν ἀργεῖ νὰ δεχθῇ τὴν ὑπὸ τοῦ Θεοῦ ἀνταπόδοσιν, διότι ὁ Κύριος εἰς ὡρισμένον καιρὸν ἀνταποδίδει αὐτὸ ποὺ πρέπει εἰς τὸν καθένα.



·ὙΠΟΘΕCΙC Ν΄·

Ὅτι δεῖ τὸν ἀδιόρθωτα ἁμαρτάνοντα καὶ τῷ κοινῷ τῆς ἀδελφότητος λυμαινόμενον, μετὰ τὴν πρέπουσαν ἐπιμέλειαν, ὡσαύτως ἔχοντα, ἐκδιώκειν, καὶ μὴ τῇ συμπαθείᾳ ὑπὲρ τὸ μέτρον χρώμενον τὸν προεστῶτα, καὶ ἑαυτὸν καὶ τοὺς λοιποὺς καταβλάπτειν.

Αὐτόν, ποὺ παραμένει ἀδιόρθωτος εἰς τὴν ἁμαρτίαν καὶ ζημιώνει μὲ τὴν ἐπιμονήν του αὐτὴν τὴν ἀδελφότητα, ἀφοῦ καταβληθῇ πρὸς ὠφέλειαν του ἡ πρέπουσα φροντὶς καὶ δὲν φέρῃ ἀποτέλεσμα, πρέπει νὰ τὸν ἀποδιώκωμεν. Εἰς τὴν περίπτωσιν αὐτὴν ὁ Ἡγούμενος δὲν πρέπει, χρησιμοποιῶν ὑπὲρ τὸ μέτρον τὴν συμπάθειαν, νὰ ζημιώνῃ καὶ τὸν ἑαυτόν του καὶ τοὺς ὑπολοίπους.

Α΄. Ἐν τῷ Γεροντικῷ.

ΔΙΗΓΗΣΑΤΟ ὁ Ἀββᾶς Δανιήλ, ὅτι ὅτε ἦν ἐν τῇ Σκήτει ὁ Ἀββᾶς Ἀρσένιος, ἦν τις ἐκεῖ Μοναχός, ὃς ἔκλεπτε τὰ σκεύη τῶν Γερόντων· ἔλαβεν οὖν αὐτὸν ὁ Ἀββᾶς Ἀρσένιος εἰς τὴν κέλλαν αὐτοῦ, θέλων αὐτὸν κερδῆσαι, καὶ τοὺς Γέροντας ἀναπαῦσαι.

2. Καὶ λέγει αὐτῷ· εἴ τι ἂν θέλῃς, ἐγώ σοι παρέχω, μόνον μὴ κλέψῃς· καὶ ἐδίδου αὐτῷ ὃ ἤθελε, καὶ χρυσίον καὶ κέρμα, καὶ ἱμάτιον, καὶ πᾶν ὃ ἐζήτει· ὁ δὲ πάλιν ἔκλεπτεν.

3. Οἱ δὲ Γέροντες, ἰδόντες ὅτι οὐκ ἐπαύσατο, ἐδίωξαν αὐτὸν εἰπόντες, ὅτι ἐὰν εὑρεθῇ ἀδελφὸς ἔχων τι ἐλάττωμα, ὃ τὸ κοινὸν οὐ βλάπτει, δεῖ βαστάζειν αὐτόν· εἰ δὲ καὶ τοὺς λοιποὺς ταράττει, δεῖ ἐκδιώκειν αὐτόν, ἵνα μὴ σὺν αὐτῷ καὶ ἄλλοι ἀπόλωνται.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Δανιὴλ διηγήθη τὸ ἑξῆς περιστατικόν: Ὅταν ὁ Ἀββᾶς Ἀρσένιος παρέμενεν εἰς τὴν Σκήτην, εὑρίσκετο ἐκεῖ καὶ ἕνας Μοναχός, ποὺ εἶχε τὴν κακὴν συνήθειαν νὰ κλέπτῃ τὰ διάφορα πράγματα τῶν Γερόντων. Ὁ Ἀββᾶς Ἀρσένιος, ἐπιθυμῶν καὶ τὴν ψυχὴν τοῦ Μοναχοῦ νὰ κερδίσῃ, ἀλλὰ καὶ τοὺς Γέροντας νὰ ἀφήσῃ ἡσύχους ἀπὸ αὐτὸν τὸν κλεπτομανῆ, τὸν ὡδήγησεν εἰς τὸ κελλί του.

2. Ἀφοῦ λοιπὸν τὸν παρέλαβε, λέγει πρὸς αὐτόν:

—Πρόσεξε, ὅ,τι θέλεις, ἐγὼ μετὰ προθυμίας θὰ σοῦ τὸ παρέχω, ἀρκεῖ μόνον νὰ μὴ κλέψῃς αὐτὸ ποὺ θὰ ἐπιθυμήσῃς.

Πράγματι ὁ Ἀββᾶς Ἀρσένιος τοῦ ἔδιδεν ὅ,τι ἤθελε· χρήματα, ἐνδύματα καὶ ὅ,τι, ἐν γένει ἐπεθύμει. Αὐτὸς ὅμως πάλιν ἔκλεπτε.

3. Οἱ Γέροντες τότε, βλέποντες, ὅτι δὲν διώρθωσε τὸ ἐλάττωμά του αὐτό, τὸν ἐξεδίωξαν ἀπὸ τὴν Σκήτην, λέγοντες: Ἐὰν ἀποκαλυφθῇ ἕνας ἀδελφὸς νὰ ἔχῃ ἐλάττωμα, ποὺ δὲν ζημιώνει τὴν ἀδελφότητα, πρέπει νὰ τὸν ἀνεχώμεθα· ἐφ' ὅσον ὅμως μὲ τὸ ἐλάττωμά του ταράσσει τοὺς ἀδελφοὺς καὶ τοὺς ἐνοχλεῖ, τότε πρέπει νὰ τὸν ἐκδιώκωμεν, διὰ νὰ μὴ χάνωνται μαζὶ μὲ αὐτὸν καὶ οἱ ἄλλοι.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ.

ἘΑΝ ἐμπιστευθῇς ἀρχάριον, μὴ πολὺς γίνου τῇ πρὸς ἐκεῖνον συμπαθείᾳ, ὑπὲρ ὃ ἀπαιτῇ παρὰ τοῦ Δημιουργοῦ, ἐάν περ σκολιάζῃ πρὸς τὸν χρηστὸν ζυγὸν τοῦ Κυρίου, μήποτε συγκατασπασθῇς· οὐδὲ γὰρ τοῦ σκάφους ἀποπεσόντος, ἤδη καὶ τῆς νηὸς καταφρονητέον.

2. Ἐν γνώσει δὲ Κυρίου ἔστωσαν αἱ πράξεις σου, καὶ τοῖς διαβολικοῖς βρόχοις οὐκ ἐμπλακήσῃ· ἔθος γὰρ αὐτῷ ἐστι τοὺς ἀγωνιζομένους ἀπὸ τῶν δεξιῶν κλέπτειν, καὶ τὸ κακὸν διὰ τοῦ ἀγαθοῦ κατεργάζεσθαι.

3. Ἐὰν παρακαλῇς Ἡγούμενον ὑπὲρ ἀδελφοῦ τῆς Μονῆς ἐκβεβλημένου, ὡς διαστροφὴν ἐν τῇ ἀδελφότητι ποιήσαντος, μὴ ἀποβιάζου ὑπὲρ τούτου τὸν Πατέρα, ἀλλ' ἴσθι ὡς ὑπομιμνήσκων· τὸ δὲ λοιπόν, καταλιμπάνων τῷ τοῦ Θεοῦ βουλήματι.

4. Μήπως ὁ ἀδελφὸς οὔπω εἰς αἴσθησιν ἦλθε τῆς ἑαυτοῦ κακοφροσύνης, καὶ εἰσδεχθεὶς διὰ τῆς σῆς μεσιτείας, βλάβην ἐμποιήσῃ τῇ ἀδελφότητι, καὶ εὑρεθῇς σὺ τοῦ κακοῦ αἴτιος.

5. Καὶ γὰρ σπινθὴρ ἐν ἅλωνι ἐμπεσών, ὅλου τοῦ ἐνιαυτοῦ τὸν κάματον ἐμπίπρησι. Δεῖ γὰρ ἕκαστον βαστάζειν τὸν πλησίον, ὅσον ἀπαιτεῖ ὁ λόγος, καὶ μὴ ὑπὲρ τὸ μέτρον· πλήν, μακάριος ὁ βαστάζων τὸν πλησίον διὰ τὴν εἰς Θεὸν ἀγάπην· οὐαὶ δὲ τῷ βασταζομένῳ καὶ μὴ συνιέντι.

6. Ἐὰν σχῇς μαθητὴν μετὰ σεαυτοῦ, καὶ τῇ ἀμελείᾳ καὶ ἀπροσεξίᾳ αὐτοῦ ἀποστῇ τοῦ ζυγοῦ τῆς εὐσεβείας, μὴ ξενίζου ἐπὶ τούτῳ, μηδὲ πάρεχε χώραν τῇ ἀθυμίᾳ ἐπὶ πλεῖον κατατρύχειν τὴν σὴν διάνοιαν, μήποτε καὶ σεαυτὸν κακώσῃς, κἀκεῖνον οὐδὲν ὠφελήσῃς, ἀλλ' ἐννόησον τὸν λειτουργὸν τοῦ Προφήτου Ἐλισσαιέ.

7. Εἰ δὲ καὶ εἰς πολλὴν κακίαν ἐξωκείλει, ἀναλόγισαι τὸν ἐξ Ἀποστόλων προδότην γενόμενον· καὶ τὶς οὕτως ἀγνώμων καὶ δυσσεβής, ὃς τῷ διδασκάλῳ ἐπιγράψαι τὴν αἰτίαν τῆς ἐκείνου καταπτώσεως, καὶ οὐχὶ τῇ τοῦ μαθητοῦ κακῇ προαιρέσει;

8. Αὐτεξούσιον γὰρ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· διὸ τοῖς μὲν ἀγωνιζομένοις καλῶς, τιμαὶ καὶ στέφανοι ἀπόκεινται· τοῖς δὲ παραβάταις καὶ καταφρονηταῖς, τιμωρίαι καὶ βάσανοι.

Ἑρμηνεία

ἘΑΝ ἀναλάβῃς τὴν πνευματικὴν εὐθύνην ἀρχαρίου Μοναχοῦ, νὰ μὴ ἐπιδείξῃς ἀπέναντί του ἀσυλλόγιστον συμπάθειαν καὶ συγκατάβασιν, μεγαλυτέραν ἀπὸ ἐκείνην, ποὺ ἀπαιτεῖ ὁ Δημιουργός, ὁσάκις οὗτος ἀντιδρᾷ τυχὸν καὶ δυσανασχετεῖ πρὸς τὸν χρηστὸν τοῦ Κυρίου ζυγόν, ἵνα μὴ συντριβῇς καὶ σὺ μαζὶ μὲ αὐτόν. Διότι δὲν πρέπει νὰ ἀδιαφορήσῃ κανεὶς καὶ διὰ τὸ πλοῖον, ὅταν ἡ βάρκα ποὺ ἦτο δεμένη πίσω ἀπὸ αὐτὸ ἐναυάγησεν.

2. Αἱ πράξεις σου ἂς εἶναι πάντοτε σύμφωνοι μὲ τὸ θέλημα τοῦ Κυρίου· τότε νὰ εἶσαι βέβαιος, ὅτι δὲν θὰ πέσῃς εἰς τὰ δίκτυα τοῦ διαβόλου. Διότι μὴ λησμονῇς, ὅτι ὁ διάβολος συνηθίζει νὰ ὑποκλέπτῃ τοὺς κόπους τῶν ἀγωνιζομένων διὰ δεξιῶν παγίδων, καὶ νὰ ἐπιτυγχάνῃ τὸ κακὸν ὑπὸ τὸ πρόσχημα τῆς ἀγαθοεργίας (τῆς φαρισαϊκῆς, ἐπὶ παραδείγματι, ὑποκρισίας καὶ ἄλλων).

3. Ἐὰν παρακαλῇς τὸν Ἡγούμενον δι' ἕνα ἀδελφόν, ποὺ ἐξεδιώχθη ἀπὸ τὴν ἀδελφότητα, διότι ἔφερεν ἀνωμαλίαν καὶ σκάνδαλα εἰς αὐτήν, πρόσεξε νὰ μὴ ἐκβιάζῃς τὸν Πατέρα (δηλαδὴ τὸν Ἡγούμενον) χάριν τοῦ ἀποβληθέντος καὶ τὸν στενοχωρῇς· ἁπλῶς μὲ εὐγένειαν καὶ συστολὴν νὰ τοῦ τὸ ὑπενθυμίζῃς, ἀφήνων τὴν περαιτέρω ἔκβασιν τῆς ὑποθέσεως εἰς τὸ θέλημα τοῦ Θεοῦ.

4. Ὑπάρχει κίνδυνος ὁ ἀδελφός, ὑπὲρ τοῦ ὁποίου παρακαλεῖς τὸν Ἡγούμενον, νὰ μὴ ἔχῃ συναισθανθῆ ἀκόμη τὸ σφάλμα του, καὶ εἰσερχόμενος πάλιν εἰς τὸ Κοινόβιον, διὰ τῆς μεσιτείας σου, νὰ προξενήσῃ βλάβην εἰς τὴν ἀδελφότητα, ὁπόταν σὺ θὰ εἶσαι ὁ αἴτιος τοῦ κακοῦ.

5. Μία σπίθα, ὅσον μικρὰ καὶ ἐὰν εἶναι, ὅταν πέσῃ εἰς ἀλώνι, δύναται νὰ κατακαύσῃ τὸν κόπον ὁλοκλήρου τοῦ ἔτους. Πρέπει λοιπὸν ὁ καθένας ἐξ ἡμῶν νὰ ἀνέχεται τὰς ἀδυναμίας τοῦ πλησίον ὅσον ἀπαιτεῖ ἀπὸ ἡμᾶς ἡ λογικὴ καὶ ὄχι περισσότερον τοῦ μέτρου[1]. Πάντως εἶναι μακάριος ἐκεῖνος, ποὺ ἀνέχεται τὰς ἀδυναμίας καὶ τὰ ἐλαττώματα τοῦ πλησίον, χάριν τῆς εἰς Θεὸν ἀγάπης. Ἀλλοίμονον ὅμως εἰς ἐκεῖνον τὸν ὁποῖον ὑπομένουν οἱ ἄλλοι, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, ἀλλ' αὐτὸς παραμένει ἀδιόρθωτος.

6. Ἐὰν ἀποκτήσῃς μαθητὴν (ὑποτακτικὸν) καὶ ἀπὸ ἀμέλειάν του καὶ ἀπροσεξίαν του ἀπομακρυνθῇ τοῦ ζυγοῦ τῆς εὐσεβείας, νὰ μὴ ξαφνιασθῇς δι' αὐτό· οὔτε νὰ ἀφήσῃς τὴν λύπην νὰ κατατυραννῇ περισσότερον τοῦ δέοντος τὴν διάνοιάν σου, μὴ τυχὸν καὶ τὴν ψυχήν σου βασανίσῃς, ἀλλὰ καὶ ἐκεῖνον δὲν ἠμπορέσῃς νὰ τὸν ὠφελήσῃς καθόλου· εἰς τὴν περίπτωσιν αὐτὴν νὰ σκεφθῇς τὸν ὑπηρέτην τοῦ Προφήτου Ἐλισσαιέ (Δ' Βασ. ε' 20—27).

7. Ἀλλὰ καὶ ἐὰν ἀκόμη, ἐξ ἀμελείας του, περιπέσῃ εἰς μεγάλην κακίαν, μὴ λυπηθῇς περισσότερον τοῦ δέοντος, σκεπτόμενος, ὅτι ἐξ αὐτῶν τούτων τῶν Ἀποστόλων προῆλθεν ὁ προδότης Ἰούδας. Διότι ποῖος εἶναι τόσον ἀχάριστος καὶ ἀσεβής, ὥστε νὰ ἀποδώσῃ τὴν αἰτίαν τῆς καταπτώσεως τοῦ μαθητοῦ εἰς τὸν θεῖον Διδάσκαλον καὶ ὄχι εἰς τὴν κακὴν ἐκείνου προαίρεσιν;

8. Διότι ὁ Θεὸς ἐδημιούργησεν αὐτεξούσιον τὸν ἄνθρωπον. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον εἰς μὲν τοὺς καλῶς ἀγωνιζομένους δίδονται τιμαὶ καὶ στέφανοι, ἐνῷ διὰ τοὺς παραβάτας καὶ καταφρονητὰς τῶν ἐντολῶν ὑπάρχουν βασανιστήρια καὶ τιμωρίαι.

---

1) «Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν» (Ματθ. ιθ' 19, κβ' 39, Μάρκ. ιβ' 31, 33, Λουκ. ι' 27, Ρωμ. ιγ' 9, Γαλ. ε' 14, Ἰακ. β' 8, Λευϊτικὸν ιθ' 18).

Γ'. Τοῦ Ἀββᾶ Μάρκου.

ΟΤΑΝ ἡ τοῦ ἑνὸς βλάβη εἰς πολλοὺς διατρέχῃ, οὐ δεῖ μακροθυμεῖν οὔτε ζητεῖν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· διότι τῆς μονομεροῦς ἀρετῆς, ἡ πολυμερὴς ὠφελιμωτέρα τυγχάνει.

Ἑρμηνεία

ΟΤΑΝ ἡ βλάβη τοῦ ἑνὸς ζημιώνει πολλούς, τότε δὲν πρέπει νὰ μακροθυμῶμεν, οὔτε νὰ ζητῶμεν τὸ συμφέρον τοῦ ἑαυτοῦ μας, ἀλλὰ τὶ συμφέρει εἰς τοὺς πολλοὺς διὰ νὰ σωθῶσι, διότι ἡ ἀρετὴ τῶν πολλῶν εἶναι ὠφελιμωτέρα ἀπὸ τὴν ἀρετὴν τοῦ ἑνός.



Τῷ δὲ Θεῷ ἡμῶν τῷ συντελεστῇ τῶν καλῶν εἴη δόξα καὶ χάρις εἰς τοὺς αἰῶνας

ἈΜΗΝ



ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΕΥΕΡΓΕΤΙΝΟΥ :—

Τέλος τοῦ τετάρτου βιβλίου τοῦ εὐεργετινοῦ καὶ τῷ Θεῷ δόξα :—
∴ ἀμήν ∴


ΜΡ ΘΥ
Ἡ ΣΥΝΑΞΙΣ ΤΩΝ
ἘΝ ἉΓΙΩ ὌΡΕΙ
ΤΟΥ ἌΘΩΝΟΣ
ΔΙΑΛΑΜΨΑΝΤΩΝ
ὉΣΙΩΝ ΚΑῚ ΘΕΟΦΟ
ΡΩΝ ΠΑΤΕΡΩΝ